Ἀπηνεώθησαν ἐπὶ πλεῖστον· καὶ πρότερα δὴ ἡ Πύρρα φωνῇ τὴν σιωπὴν ἔρρηξε, καὶ ταῖς ἐντολαῖς τῆς θεᾶς ὑπείκειν (1) ἀναίνεται, καὶ συγγνώμην αἰτεῖται περιδεεῖ στόματι, καὶ δέδοικε τὴν μητρῴαν λυπῆσαι ψυχήν, τὰ ταύτης ὀστᾶ ῥίψασα. Μετὰ δὲ τοῦτο τὰ ἀσαφῆ τοῦ δοθέντος χρησμοῦ λόγια ἐξετάζουσι, καὶ ἐν ἑαυτοῖς καὶ πρὸς ἀλλήλους ἀνατυλίττουσιν. Ἔνθεν ὁ Προμηθείδης μειλιχίοις ἔπεσι τὴν Ἐπιμηθίδα (2) μέτεισι· καὶ « Ἡ ψευδὴς » εἶπεν « ἡμῖν » ἐστὶν ὁ Φοῖβος (3), ἢ ἀγαθοὶ τυγχάνουσιν ὄντες οἱ » χρησμοὶ καὶ οὐδὲν παράνομον πείθουσι. Μεγάλη

(1) B, ὑπ[illegible]κειν, se corrigens ipse. Iotacismus talia ubique peperit. Demosthenes adv. Aristocr. t. III, p. 32, Tauchn. τοῦτο παραγράψας τὸ δίαιρω σύμβολον πεποίηκεν, ᾧ γινώσκομεν ὅτι, ἂν ἀδίκως, λέξῃ. Rescribe λέῖσι. Nempe, γνώσκ. ὅτι λέῖσι. Idem adv. Timocrat. t. III, p. 137: ἐσκόπει πῶς λήσει τούτους καταλύσας, κἂν ἄρα ληφθῇ τοῦτο ποιῶν, μὴ δίξῃ δεινὸν μηδ' ἀναιδὲς μηδὲν εἰργάσθαι. Rescribe δίξει. Nempe ἐσκόπει πῶς λήσει καὶ πῶς μὴ δίξει.—Hæ emendationes nunc receptæ leguntur in renovata nuper a Plancio, collega doctissimo, Augerianæ versionis editione. Rursus in Aristocratea illa p. 11, pro ὡς δ' ἄν μοι δοκεῖτε τοὺς περὶ τοῦ παρανόμου λόγους αὐτοὺς ῥᾷστα μαθεῖν, τοῦθ' ὑμῖν φράσω, velim δοκῆτε, vel δοκοῖτε. Orat. in Macartat. p. 182: παραδίδωμι οὖν ὑμῖν τὸν παῖδα τουτονὶ ἐπιμεληθῆναι, ὅπως ὑμῖν δικαιότατα δοκεῖ εἶναι: forte, δοκοῖ.

(2) A, ἐπιμηθίδια.

(3) Quid hic φοῖβος sibi vult? Num Planudi imprudenti latinum *solertia* aliquid cum *sole* commune habere visum est?

» μήτηρ ἡ γῆ ἐστί· τοὺς λίθους ἐν τῷ σώματι τῆς
» γῆς ὀστᾶ δοκῶ λέγεσθαι· τούτους ῥιπτεῖν κελευό-
» μεθα κατὰ νώτων. » Ἡ Πύρρα τοίνυν, εἰ καὶ παρε-
πέπτωκε τῇ τοῦ ἀνδρὸς ἐξηγήσει, ὅμως ἐν ἀμφιβόλοις
εἶχε τὴν ἐλπίδα· κἀντεῦθεν (1) ταῖς οὐρανίαις ἐντολαῖς
ἄμφω διαπιστοῦσι. Τί δ' ὅμως βλάπτει διαπειρᾶ-
σαι; Ἀναχωροῦσι, καὶ καλύπτονται τὰς κεφαλάς,
καὶ ἀναζώννυνται τὰς ἐσθῆτας, καὶ τοὺς κελευσθέντας
λίθους ῥιπτοῦσι (2) κατὰ τῶν νώτων· καὶ οἱ λίθοι
(τίς τόδ' ἂν πιστεύσειεν, εἰ μὴ ἀντὶ μαρτυρίας ἡ
παλαιότης ἂν εἴη;) τὴν ἰδίαν σκληρότητα καὶ ἀν-
τίτυπίαν ἀποτίθεσθαι ἤρξαντο, καὶ κατ' ὀλίγον μα-
λάττεσθαι, καὶ μαλαττόμενοι λαμβάνειν μορφήν.
Ἐπεὶ δ' εὐθὺς ηὔξανον, φύσις ἐκείνοις ἀπαλωτέρα
συνέβαινεν, οὐχ ὡς τις φανερῶς δύνασθαι δοκεῖν
ἀνθρώπου μορφὴ, ἀλλ' ὡς ἂν τις ἐκ μαρμάρου λη-
φθεῖσα (3), οὐχ ἅλις ἐξειργασμένη, ἀλλ' ἀτέ-
χνοις (4) ἀνδριάσι παρόμοιος. Ὅσον μὲν οὖν ἐκείνων
ὑγρὸν χυμῷ τινὶ καὶ γήϊνον ἦν εἰς χρῆσιν μεταβέβλη-
ται σαρκός· ὃ δὲ στερρὸν ἦν καὶ ἀδύνατον κάμ-
πτεσθαι, εἰς ὀστᾶ μετημείφθη· ἃ δὲ φλεβώδη
ἦν ἐν τῷ αὐτῷ πάλιν ὀνόματι ἔμεινε· κἂν βραχεῖ
διαστήματι, τῇ τῶν οὐρανίων θειότητι (5), οἱ μὲν
βληθέντες ταῖς χερσὶ τοῦ ἀνδρὸς λίθοι ὄψιν ἐσπά-

(1) Latinum *adeo* vertendum, οὕτω. Legebat male, *ideo*.

(2) A, ῥίπτουσι.

(3) Lectionem *capta* vertere voluit et erravit: nam *capta* idem esse putavit τῷ *capta*.

(4) B, ἀλλὰ πάχνοις.

(5) Schol. in B ad οὐραν. Ἤτοι τῶν θεῶν. Planudes in suo codice Ovidii habuit lectionem *numine*, non *munere*; sed quam male illam vertit! *Numine*, non θεότητι hic, sed προνοίᾳ, θείᾳ δυνάμει.

σαντο ἀνδρῶν· ἐκ δὲ τῆς γυναικείας βολῆς ἡ γυνὴ πάλιν ἀνεκαινίσθη. Ἐντεῦθεν σκληρὸν ἐσμὲν γένος καὶ μόχθῳ δοκιμώταλον (1), καὶ σύμβολα δίδομεν τίνος ἐγεννήθημεν ῥίζης.

Τά γε μὴν λοιπὰ τῶν ζώων διαφόρως ἡ γῆ μορφαῖς αὐτομάτη προήνεγκεν, ἐπείπερ παλαιωθὲν τὸ ὑγρὸν ἐκ τοῦ ἡλιακοῦ πυρὸς ὑπερέζεσε, καὶ τέναγος ἅπαν καὶ ἰλὺς διωδηκότα τῷ θάλπει γέγονε, γόνιμά τε τὰ σπέρματα τῶν ὄντων τῇ ζωηρᾷ τρεφόμενα γῇ, ὥσπερ ἐκ νηδύος ηὐξάνετο (2) μητρικῆς, καί τι κατὰ μικρὸν εἶδος ἐλάμβανον· ὥσπερ που ἐπειδὰν τοὺς ἀγρυοὺς ὁ ἐπιλάρρους Νεῖλος ὑγρυοὺς καταλίπῃ, καὶ τῇ παλαιᾷ ῥύσει τὰ ἑαυτοῦ ῥεύματα δῷ, καὶ τὸ τέναγος πυρσφατον τῷ αἰθερίῳ ἄστρῳ ἐκπυρωθῇ, πλεῖστα τοῖς γεωργοῖς ζῷα τῆς βώλου σπερμοφείας εὑρίσκεται, κἀν τούτοις ἃ μὲν ἤδη ἀρξάμενα καὶ κατ' αὐτὸν τοῦ γεννᾶσθαι καιρὸν, ἃ δ' ἀτελῆ καὶ τῶν ἰδίων ἠκρωτηριασμένα μελῶν, κἀν τῷ αὐτῷ σώματι πολλάκις τὸ μέν τι τῶν μερῶν ζῇ, τὸ δ' ἀκατέργαστός (3) ἐστι γῆ. Καὶ καμὸν οὐδέν (4)· ἐπειδὰν γὰρ εὐκρασίαν τὸ ὑγρὸν καὶ θερμὸν λάβωσιν, ὁρμῶσι πρὸς σύλληψιν, κἀκ δυοῖν τούτων ἀνίσχει τὰ πάντα· καὶ τοῦ πυρὸς τῷ ὕδατι πολεμίου καθεστηκότος, ἀτμὸς ὑγρὸς τὰ πάντα δημιουργεῖ, καὶ ἀσύμφωνος συμφωνία ταῖς κινήσεσιν ἐφαρμόζει. Ἀμέλει δὴ καὶ ἡ γῆ, τεναγώδης οὖσα πρὸς σφάτῳ τῷ κατακλυσμῷ, τοῖς αἰθερίοις ἡλίοις καὶ

(1) Cod. B, μόχθω δοκιμώτερον.
(2) A, ηὔξατο. Statim B, καίτοι.
(3) B, ἀκατέργαστον.
(4) Hæc verba, καὶ κ. οὐδ. addidit e suo Planudes, ut quod est elliptici et fere obscuri in sequente conjunctione *quippe* suppleret et aperiret.

τῷ βαθεῖ κεύσωνι πυρωθεῖσα, μορφὰς ἀναριθμήτους ἀνέδωκε, καὶ πῆ μὲν τῶν παλαιῶν ἀπήνεγκε μορφῶν, πῆ δὲ τέρατα νέα δεδημιούργηκεν· ἐκεῖνα μὲν οὖν ἴσως οὐχ ἑκοῦσα· καὶ σὲ δὲ, ὦ μέγιστε Πύθων (1), τηνικαῦτα γεγέννηκε. Καὶ τοῖς ἀρτιγεννήτοις λαοῖς, ἀγνοούμενε δράκων, φόβος ἦσθα· τοσοῦτον διασήματος κατεῖχες ἐν γῇ. Τοῦτον τοίνυν ὁ τοξοφόρος θεὸς καὶ μηδέποτε πρότερον τοιούτοις ὅπλοις, ὅτι μὴ ἐπὶ χιμαίρας (2) καὶ φυζακινὰς αἶγας, χρησάμενος, χιλίοις βέλεσι βαρυνθέντα, μικροῦ δεῖν τῆς φαρέτρας ἐκκενωθείσης, διέφθειρεν, ἀναχυθέντος ἰοῦ περὶ τὰ μέλανα (3) τραύματα. Τοῦ δὲ μὴ τὴν τοῦ ἔργου φήμην δυνηθῆναι ἐξαλειφθῆναι τῇ γενναιότητι (4), ἐπὶ τῷ θεσπεσίῳ κατορθώματι ἱεροὺς ἐνεστήσατο ἀγῶνας, τὰ Πύθια τῷ τοῦ νικηθέντος δράκοντος ὀνόματι προσαγορευθέντας, ἔνθα τῶν νέων ὅστις ποτὲ χερσὶν, ἢ ποσὶν, ἢ τεθρίππῳ, νικήσειε, κλάδου τιμὴν τῆς πλατυφύλλου (5) ἐλάμβανεν· οὐ γὰρ ἦν πω δάφνη, καὶ ὁ Φοῖβος τοὺς τῇ μακρᾷ κόμῃ διαπρέποντας κροτάφους ἐκ παντὸς οὐτινοσοῦν περιέστεφε δένδρου.

(1) Sch. in B, Πύθων ἀφ' οὗ καὶ Πυθία, τὸ τοῦ Ἀπόλλωνος μαντεῖον.

(2) B, χιμαίρας. A, χμαίρας, e correctione.

(3) A, μέλαινα. Hoc mendum nonnunquam in codicibus offendi.

(4) Aliquid et hic passus est humani Planudes. Quum in textu sit *vetustas*, in versione exspectes τῇ χρονιότητι, τῷ χρόνῳ, simile quid. Erroris causam non assequor; nisi intellexerit *vetustas* de *generis* vetustate et *nobilitate*.

(5) In codd. deest τῆς πλατυφύλλου, et in A est etiam lacunæ indicium. Ovidius : *æsculeæ capiebat frondis honorem*. Defectum, ut vides, resarcivi. Infra libro x, versu 91, omissa quoque est vocis *æsculus* interpretatio. Nonnusquam in botanicis nominibus interpretis diligentiam desideres.

Πρῶτος ἔρως τοῦ Φοίβου ἡ Πηνειὰς γέγονε Δάφνη, ὃν οὐ τύχη ἀτέκμαρτος ἔδωκεν, ἀλλ' ὀργὴ τοῦ Ἔρωτος χαλεπή. Τοῦτον γὰρ ἄρτι, νενικημένου τοῦ δράκοντος, σοβαρώτερον ὁ Δήλιος εἶδε, τῆς νευρᾶς ἐμβληθείσης (1) τῷ τόξῳ, τὰ κέρατα κάμπτοντα· καὶ « Τί σοι, βλαξ παιδίον, καὶ τοῖς γενναίοις » ἔφησεν « ὅπλοις; Ταυρὶ τὰ φορήματα τοῖς ἡμῶν ὤμοις πρέ- » πει, οἵπερ εὔστοχα τρώματα καὶ θηρσὶ καὶ » ἐχθροῖς διδόναι δυνάμεθα, οἳ νῦν καὶ τὸν τῇ ἰο- » βόλῳ γαστρὶ τόσα πλέθρα πιέζοντα κατεστρώσα- » μεν Πύθωνα βέλεσιν ἀναριθμήτοις ἐξωδηκότα (2). » Σοὶ δ' ἀπόχρη τῇ σαυτοῦ λαμπάδι τοὺς ἔρωτας, » ἀγνοῶ τίνας, ἀνάπτειν· μήδε γε τὰς ἐμὰς ἄρ- » παζε τιμάς. » Πρὸς δὴ ταῦθ' ὁ τῆς Ἀφροδίτης παῖς « Τὸ μὲν σὸν τόξον, » εἶπεν « ὦ Φοῖβε, τὰ » πάντα βαλλέτω, σὲ δὲ τοὐμόν. Καὶ ὅσῳ τὰ ζῶα » πάντα τοῖς θεοῖς εἴκει, τοσούτῳ τῆς ἐμῆς ἡ σὴ » δόξα ἐστὶν ἐλάττων. » Εἶπε, καὶ, τὸν ἀέρα τύ- ψας ταῖς πτέρυξιν, ἄοκνος τῇ κατασκίῳ τοῦ Παρ- νάσου ἐπέστη κορυφῇ, καὶ τῆς ἰοδόκου φαρέτρας δύο προὐκόμισε βέλη διαφορῶν ἐνεργειῶν· τὸ μὲν γὰρ φυγαδεύει, τὸ δ' ἄλλο ποιεῖ ἔρωτα. Ὃ μὲν οὖν ποιεῖ χρυσοῦν ἐστὶν, ἀκίδι λάμπον ὀξείᾳ (3)· ὃ δ'

(1) Non cepit interpres sensum latinorum verborum, *adducto nervo*. Legebatne *inducto*? Puto legisse quod legimus, sed non intellexisse. Statim A, *κέρα*. In hac varietate, sæpius in sequentibus notanda, *τὸ κέρατα* prætuli, quod prosæ orationi magis est aptum. Si quando in *τῷ κέρα* uterque consentiet, et ipse *κέρα* scribam.

(2) Codices distinguunt post Πύθωνα, ita ut serpens ἐξωδηκὼς fuerit Callimachi. Ovidius : *Stravimus innumeris tumidum Pythona sagittis*. Potuit errare Planudes ; sed humane agere cum auctore editor debet, et, sublato commate importuno, sustuli fere interpretationis vitium.

(3) Λάμπον ὀξ. absunt a B.

οὖν φυγαδεύει ἀμβλύ, μόλιβδον μετὰ τὸν δύναμαι φέρον. Καὶ τοῦτο μὲν ὁ θεὸς ἐν τῇ Πηνηΐδι Νύμφῃ (1) κατέπηξεν, ἐκείνῳ δὲ τὰ ὀστᾶ διελθόντι τοὺς Ἀπολλωνίους ἐτραυμάτισε μυελούς. Αὐτίκα δὴ οὖν ὁ μὲν ἔρᾷ, ἡ δὲ τὸ τοῦ ἐρῶντος ὄνομα φεύγει (2), τοῖς κατασκίοις δρυμοῖς καὶ τοῖς λαφύγμοις τῶν ἁλισκομένων θηρῶν χαίρουσα, καὶ τὴν ἀνύμφευτον Φοίβην (3) ζηλοῦσα· ταινία δέ οἱ συνέσφιγξεν ἀτάκτως τοὺς πλοκάμους χειμένους. Πολλοὶ ταύτην ἠτήσαντο (4)· ἡ δ', ἀποστρεφομένη τοὺς αἰτουμένους, ἀπαθὴς καὶ ἄπειρος ἀνδρὸς, τὰ τῆς ὕλης ἄβατα πεινεῖ (5), οὐδέ οἱ μέλει τί μὲν Ὑμὴν, τί δ' Ἔρως, τί δ' ἐστὶ συζυγία. Πολλάκις εἶπεν ὁ πατήρ· « Γαμβρόν μοι, θύγατερ, ὀφείλεις· » ἡ δ' (6), ὥσπερ ἁμαρτήματα τὰς γαμικὰς δᾷδας ὑπερστυγοῦσα, καὶ τὸ καλὸν πρόσωπον τῷ τῆς αἰδοῦς ἐρυθήματι βάπτουσα, καὶ τῷ τοῦ πατρὸς τραχήλῳ περσαγωστέραις χερσὶ περισχομένη, « Δός μοι δίνεκεῖ, » πάτερ » εἶπε « φίλτατε (7), παρθενίαν χρῆσθαι· » δέδωκε τοῦτο καὶ ὁ πατὴρ τῇ Ἀρτέμιδι πρότερον. » Ἐκεῖνος μὲν οὖν ἐφίησιν· « Ἀλλά σε τοὶ τὸ » κάλλος » εἶπεν « ὅπερ εἶναι βούλει κωλύει· καὶ » τῇ σῇ εὐχῇ ἡ σὴ προσκρούει εὐχή (8). » Ὁ μὲν οὖν

(1) Codex B, ἐν τῇ πηΐδι νυμφῃ.

(2) Scribere debuerat τὸ τῆς ἐρώσης ὄνομα, aut melius absque articulo, ἐρώσης πύνομα. Non intellexit *amantis* esse in fœminino genere positam.

(3) B, τὴν ἀν. νύμφην.

(4) A, ἠπίσαντο.

(5) A, πεπίν.

(6) Omisit properantior librarius alterius interpretationem versus, *Sæpe pater dixit: Debes mihi, nata, nepotes*, sic fere vertendi : Πολλάκις εἶπεν ὁ πατήρ· Ὀΐδυς μοι, θύγατερ, ὀφείλεις.

(7) A, δίπτεκῆ — φιλπάτη.

(8) Quid sibi vult illa vocis εὐχὴ iteratio? Voluitne esse Ovidio in-

Φοῖβος ἐρᾷ· τὴν δὲ Δάφνην ἰδὼν, τοῦ γάμου ἐπιθυμεῖ, καὶ, οὗ ἐπιθυμεῖ, τοῦτ' ἐλπίζει· καὶ οἱ ἴδιοι σφάλλουσι τοῦτον χρησμοί. Ὡς δὲ κοῦφοι καλάμαι, τῶν ἀσταχύων τιμηθέντων, καίονται, καὶ λαμπάσι φλογμὸς πίμπραται, ἂς, οὕτω συμβαν, ὁδίτης ἢ σφόδρα συνέωσεν, ἢ ἤδη ὑπὸ τῇ φλογὶ (1) καταλέλοιπεν· οὕτως ὁ θεὸς εἰς φλόγας ἦλθεν, οὕτως ὅλῳ τῷ σήθει πίμπραται, καὶ σπεῖρον καὶ ἄκαρπον ἐλπίζων ἔρωτα τρέφει. Ὁρᾷ μὲν ἀτημελήτους τὰς κόμας τῷ τραχήλῳ ἐναπῳωρημένας, καὶ « Τί πρό; » ἔλεγεν « ἔσται, εἴπερ ἐπιμελείας τύχοιεν; » ὁρᾷ δὲ πυρὶ λάμποντας τοὺς ὀφθαλμοὺς ἐπίσης τοῖς ἄστροσιν· ὁρᾷ στόμα, ὅπερ οὐχ ἅλις ἦν μόνον ὁρᾶν. Θαυμάζει δακτύλους καὶ χεῖρας, βραχίονάς τε καὶ γυμνοὺς ἢ τὸ ἥμισυ (2) πήχεις· εἰ δέ τι κρύπτεται, χρεῖττον νομίζει. Ἡ δὲ ταχυτέρα φεύγει καὶ κούφης αὔρας, οὐδὲ πρὸς τάδε τὰ ῥήματα τούτου καλοῦντος ἵσταται· « Νύμφη Πηνειάς, ἱκετεύω, μένε· οὐχ » ὡς ἐχθρὸς διώκω· Νύμφη, μένε. Οὕτως ἀμνὰς λύ» κον, οὕτως ἔλαφος λέοντα, οὕτως ἀετὸν πτέρυξι » τρεμούσαις περισταὶ φεύγουσι, τοὺς αὐτῶν ἔκα» στα πολεμίους. Ἔρως ἐστί μοι τοῦ διώκειν αἰτία. » Οἴμοι, τάλας! Μὴ σφηνὸς πέσῃς, καὶ κνήμας » ἀναξίας βλάπτεσθαι διαγρόφωσιν ἄκανθαι, καί » σοι ὀδύνης αἴτιος γένωμαι. Τραχεῖς εἰσὶν ἐν οἷς » σπεύδεις τόποι. Μετειώτερον, ἀντιβολῶ, τρέχε, » καὶ τὴν φυγὴν ἔπεχε· μετειώτερον ἕψομαι αὐτός.

geniosior? Per me licet; sed malim illa styli lumina non esse tenebris similiora quam luci. Forte leg. πύκα.

(1) Vix credo verba *sub luce* a Planude fuisse intellecta.

(2) Ellipsis fit τοῦ μᾶλλον, vel a librariis adverbium est omissum.

» Τίνι γε μὴν ὄντι μοι ἀρέσκεις ἐρωτᾷν χρή. Οὐκ
» οἰκήτωρ ὄρεως ἐγὼ, οὐ ποιμὴν εἰμί· οὐκ ἀγέλας
» τάσδε ἢ ποίμνας αὐχμηρὸς (1) περιέπω. Ἀγνοεῖς,
» ἀπειρόκερε, ἀγνοεῖς τίνα φεύγεις· κἀντεῦθεν φεύ-
» γεις. Ἐμοὶ ἡ Δελφὶς γῆ, καὶ Κλάρος, καὶ Τένεδος
» καὶ τὸ Πατάρειον θέμα (2) δουλεύει. Ζεύς ἐστί μοι
» γενέτωρ. Δι' ἐμοῦ τὸ ἐσόμενον, καὶ γεγονὸς, καὶ
» ὂν φανεροῦται· δι' ἐμοῦ συμφωνοῦσιν ἀοίδιμα νευ-
» ρᾶς. Εὔστοχον μὲν τὸ ἡμέτερον βέλος· τούτου δ'
» ὅμως εὐστοχώτερον ἕτερον, ὅπερ ἐν κενῷ τῷ στή-
» θει τραῦμά μοι εἰργάσατο. Εὕρημα ἐμόν ἐστιν ἰα-
» τρικὴ, καὶ Παιήων ἀνὰ τὴν οἰκουμένην λέγομαι,
» τῶν τε βοτανῶν ἡ δύναμις ἡμῖν ὑποτέτακται· οἴμοι
» δ' ὅτι οὐδεμιᾷ βοτάνῃ θεραπεύσιμός ἐστιν ὁ ἔρως,
» οὐδέ με ὠφελοῦσιν αἱ τοῖς ἄλλοις λυσιτελέσασαι
» τέχναι! » Πλείω λέγειν μέλλοντα ἡ Πηνειὰς φο-
φοδεεῖ δρόμῳ φεύγει, καὶ σὺν ἐκείνῳ τοὺς λόγους
ἡμιτελεῖς καταλέλοιπε, τότε δὴ καὶ μᾶλλον καλ-
λίων δόξασα. Καὶ γὰρ ἄνεμος ἀπεγύμνου τοὺς πό-
δας (3), καὶ πνεῦμα κατὰ πρόσωπον τὰς ἐσθῆτας
ἐρρίπιζε καὶ αὖρα (4) κούφη ὠθουμένην εἰς τοὐπίσω
τὴν κόμην (5) ἐδίδου· καὶ πύξηται τῷ δρόμῳ τὸ κάλ-

(1) B, αὐχμηρῶς, et supra, αὐχμηρός. Modo videtur legisse Planudes *hæc armenta*, male.

(2) A recentiore vocabulo θέμα in geographicis melius abstinuisset. In B, glossa : Κλάρος, πόλις Λυκίας· ὁμοίως δὲ καὶ Πάταρα.

(3) Absurdum, sed quod a librario imprudenti admissum esse putem. Planudes scripsit procul dubio, τὸ σῶμα.

(4) A, αὖρα. Hoc in tonomendum sæpius occurret ; v. c. XV, 246, 697. Duplex est accentus in αὖραν, XIV, 431. Scribendum αὔρα, αὔραν : cf. Schæf. ad Long. p. 378 ; ad Soph. t. II, p. 341. Barnesius ad Euripid. Suppl. 1048, αὖρα servandum putat alicubi apud Xenophontem : frustra.

(5) A, κώμην.

λος. Ἀλλ' οὐ γὰρ σλέγει ϖλέον τὰς κολαχείας (1) ὁ νέος ἀπολλύναι θεός· ὡς Ἔρως ἀνέπειθεν, ἔπεται κατ' ἴχνος συντονωλέρῳ τῷ βήματι. Ὡς δ' ὅτε (2) Γαλλικὸς κύων λαγωὸν εἶδεν ἐν ὁμαλῷ πεδίῳ, καὶ ὁ μὲν ποσὶ (3) διώκει τὴν θήραν, ὁ δὲ τὸ σωθῆναι· καὶ ὁ μὲν ϖροσεξομένῳ ἐοικὼς ὅσον οὐκ ἤδη (4) κατασχεῖν τε ἐλπίζει, καὶ ἐκτείαμένῳ τῷ ῥύγχει (5) τὰ ἴχνη πιέζει, ὁ δ' ἐν ἀμφιβόλῳ ἐστὶν εἰ ληφθείη, καὶ ἐξ αὐτῶν ἁρπάζει τῶν δηγμάτων ἑαυτὸν, καὶ τὸ ἁπλόμενον σῶμα καταλιμπάνει· οὕτως ὁ θεὸς καὶ ἡ κόρη ταχεῖς ἦσαν, ὁ μὲν τῇ ἐλπίδι, ἡ δὲ τῷ φόβῳ. Ὅ γε μὴν διώκων, πλεφῖς Ἔρωτος βοηθούμενος, θάσσων ἐσλι, καὶ πᾶσαν ἀπαναίνεται μέλλησιν (6),

(1) B, κολακίας — mox, ἀπολλῦναι, pravo accentu : cf. Schæf. ad Heusing. Æsop. p. 129. In Luciani Piscatore, 4, Bipont. pro ἀποκτιννῦναι, repone ἀποκτιπύναι. Apud Lysiam t. V, p. 437, Reiskius male scripsit ἀπολῦναι, quum Markl. proponeret ἀπολλύναι. Achilles Taf. I, 16, ἐπιδεικνῦναι : codex Venet. 409, recte ἐπιδεικνύναι.

(2) Codices, ὅπ. Non erat quod hærerem et de mutatione dubitarem. Eumathius IV, p. 126 : σλρατιώτης ὁ πρῶτος τὸν καιρὸν τοῦ χρόνου παραδεικνύς, ὅπ πᾶς ἐκστρατεύει σλραπώτης ἀνήρ : ibi cod. Reg. 2897, melius ὅπ. Idem p. 138, ἤλησα κἀγὼ τὴν ψυχὴν, ὅπ μου.... Et ibi cod. melius ὅτε. Menander Ath. XV, 60 : εἰσιών, « Πεσόν, λύχνον, λυχνοῦχον, ὅ π πάρεσλι φῶς. η Μόνον, πολὺ ποιεῖ : qua in lectione potest lector acquiescere. Prætulerim, alia cum distinctione : .....λυχνοῦχον ! η ὅ, π πάρ. φῶς μόνον, ϖ. ϖ. vel ὅπ πάρ. φῶς μονον, ϖ. ϖ. In Bentleiana nota legitur ὅπ, sed scripsisse puto ὅ τι.

(3) B omisit καὶ ὁ μ. ποσί — σωθῆναι.

(4) A, ὅσον ὅσον οὐκ ἤδει. B, ὅσον οὐκ ἤδει.

(5) A, ῥέγχει.

(6) Codices μέλησιν, quod mutavi. Frequens hæc est confusio in illis vocibus et in congeneribus, quam tetigi non semel, et nuper ad Cratetis et Diogenis Epistolas in Notit. MSS. t. X et XI ; et ad Nicetam, p. 284. Onosandro, p. 33, μελῆσαι apte restituit pro μελῆσαι Schwebelius, cujus vide notam. Adde Hemsterhus. ad Luc. Nigr. cap. X. Infra idem error notandus iterum erit.

καὶ τοῖς τῆς Φυγάδος νώτοις ἐπίκειται, καὶ διεσκεδασμένους ἐν τῷ τραχήλῳ καλαπνεῖ τοὺς βοσπρύχους. Ἡ δ' ὠραχίασε, τῆς ἰσχύος δαπανηθείσης (1)· καὶ, τῷ τῆς ταχινῆς φυγῆς ἀπειποῦσα καμάτῳ, ἀποσκοποῦσά τε πρὸς τὰ τοῦ Πηνειοῦ ῥεῖθρα, « Δός, » πάτερ » ἔφη, « βοήθειαν, εἴπερ οἱ πολαμοὶ θειό- » πηλα κέκλησθε (2). Χάρε μοι, Γῆ » εἶπεν, « ἢ τὴν » μορφὴν ταύτην, ἥ με λυπεῖσθαι ποιεῖ καὶ δι' ἧς » πλέον τοῦ δέοντος ἤρεσα, μεταβαλοῦσα ἀφάνι- » σον. » Μόλις δὴ τὴν δέησιν ἀνυσάσης, βαρεῖα νωθρότης ἐπέσχε τὰ μέλη, καὶ τὰ ἁπαλὰ περικάρδια φλοιῷ λευκῷ περιζώννυνται· εἰς δὲ κόμην ἡ κόμη, καὶ εἰς κλάδους πυξήθησαν οἱ βραχίονες· πούς (3) δ', ὁ ταχὺς πρὶν, ὀκνηρᾶς ῥίζαις ἐνίσχεται, καὶ τὴν κορυφὴν κόρυμβος ἔχει· μένει δ' ἐν ἐκείνῃ τὸ χρῶμα μόνον. Ταύτης δὲ καὶ αὖθις ὁ Φοῖβος ἐρᾷ, καὶ, θεὶς ἐπὶ τὸ σίμβος (4) τὴν δεξιὰν, αἰσθάνεται εἰσέτι τοῦ σήθους ὑπὸ τῷ καινῷ φλοιῷ σπαίροντος· καὶ, περιπλέξας χερσὶν, ὡς μέλη, τοὺς κλάδους, φιλήματ' ἐδίδου τῷ ξύλῳ, εἰ καὶ τὸ ξύλον φιλήματα φεύγει. Τῷ δ' ὁ θεὸς εἶπεν· « Ἀλλ' ἐπείπερ ἡμέλεργα εἶναι » γυνή μοι δύνῃ (5), δένδρον ὄντως ἡμέτερον ἔσο· καὶ

(1) B, δαπανσθείσης. Et sic ad v, 701.

(2) Codd. κέκλησθαι.

(3) B, πύς.

(4) B, σίηθος. Non intelligebat librarius vocem σίμβος et mutabat. Nympha jam σίηθος non habuit quod Apollo posset ipsum tangere.

(5) Δύνῃ, pro δύναμαι, displicet grammaticis severioribus. Sunt tamen scriptores Planude antiquiores et meliores qui hac voce sunt usi, Isocrates, Synesius, alii quoque jam ab interpretibus Thomæ Magistri excitati. Anonymus Stobæi Serm. 1, p. 3 Schowianæ : ψυχῆς ἐπιμελοῦ πᾶς σαυτοῦ, καθὰ δύνῃ. Hanc esse dicunt sententiam iambicam. Sed quis unquam vidit genuinum iambum cum spondæo in quarta

» σε ἀεὶ ἕξουσιν, ὦ Δάφνη, καὶ κιθάρα ἐμὴ καὶ φα-
560 » ρέτρα καὶ κόμη. Σὺ τοῖς ἡγεμόσι παρέσῃ ἀγαλ-
» λομένοις (1), ἐπειδὰν χαίρουσα φωνὴ τοὺς θριάμ-
» βους ᾄδῃ, καὶ μακρὰς πομπὰς τὸ Καπιτώλιον
» βλέπῃ. Καὶ ταῖς στεναῖς παραστάσιν (2) ἡ αὐτὴ
» πιστοτάτη πρὸ τῶν θυρῶν στήσῃ φύλαξ, καὶ μέ-
» σην τὴν δρῦν φυλάξεις. Ὡς δ' ἐγὼ τὴν ἐμαυτοῦ
565 » νεάζουσαν κεφαλὴν, ὡς ἀκειρεκόμης, οὐ κείρω, καὶ
» σὺ διηνεκεῖς ἀεὶ φέρε τὰς τῶν φύλλων τιμάς. »
Ἔληξε λέγων ὁ Παιάν· ἡ δὲ Δάφνη τοῖς ἀρτιθαλέσι
κλάδοις ἐπένευσε, καὶ ὡς κεφαλὴν ἐφάνη τὴν κορυ-
φὴν (3) κλίνασα.

Ἔστι νέμος ἐν Αἱμονίᾳ ὃ πανταχόθεν κρημνώδης
περικλείει δρυμός. Τέμπη δὴ τοῦτο λέγουσι· δι'
570 ὧν ὁ Πηνειὸς ἀπὸ τοῦ Πίνδου ῥέων ἀφρίζουσι κα-
λινδεῖται νάμασι, βαρύς τε καταῤῥάσσων, νεφέλας
συνίστησι λεπτὰς, ἀναθυμιάσεις ἐγείρων, κἀν τοῖς
ἀκροτάτοις τοῦ δρυμοῦ τῇ τοῦ ὕδατος ἄχνῃ ῥεῖ (4),
καὶ ἤχῳ μεγάλῳ τοὺς ἐγγειτόνων (5) ἐνοχλεῖ. Ταῦ-
τα οἶκος, ταῦτα καθέδρα (6), ταῦτα ταμεῖα τοῦ

sede, et pyrrichium in quinta? Clerico uni talis prosodia potuit placere. Legendum, ἑαυτοῦ. Ad Hecubam 257, ubi, Δρᾶς δ' οὐδὲν ἡμᾶς εὖ, κακῶς δ' ὅσον δύνῃ, Porsonus notat, « magis attica forma, δύνᾳ »: quod me fateor non capere. Doricum δύνᾳ novi ex Theocrito, atticum prorsus quid sit ignoro. Infra non semel δύνῃ apud Planudem legetur, v. c. ad 657, 679; XIV, 13; XV, 334. Habet tamen et δύνασαι, v. c. XIII, 825; XV, 530; etc.

(1) Legebat *lætis*, non *Latiis*.

(2) Male Planudes legebat *angustis*, pro *Augustis*. Codex A, παραστάσεσιν: idem mendum infra pag. 472.

(3) A, κεφαλήν.

(4) Habuit non bonam lectionem *influit*.

(5) Vulgarior est scriptura, ἐν γειτόνων. Cf. not. ad Eunapium pag. 354. Infra pag. 40, 5.

(6) Pessime. Pro *sedes*, græce hic scribere debuisset interpres, δόμος, vel ἕδος.

μεγάλου ποταμοῦ· ἔνθα καθιδρυμένος ἐν ἄντρῳ ἀπὸ πείρων τοῖς ὕδασιν ἐχρημάτιζε καὶ Νύμφαις ταῖς ἐφυδατίαις. Ἐκεῖ δὴ συνίασιν ἐξοιδοῦντες οἱ πολαμοὶ (1), ἀγνοοῦντες πότερον συνησθεῖεν ἢ παρεμυθήσονται τὸν τεκόντα, ὅ τε ἐλαιοφόρος Σπερχειὸς, καὶ ὁ ἀκάμαντος Ἐνιπεὺς, καὶ ὁ γέρων Ἠειδανὸς, καὶ Ἀλφειὸς ὁ ἀκύμων (2), καὶ Ἀΐας (3), καὶ, πρὸς τούτοις, οἱ λοιποὶ ποταμοὶ, οἳ ἥπερ ἦγαγεν αὐτοὺς ἡ ὁρμὴ, εἰς τὴν θάλασσαν παρεμπέμπουσι τὰ τῇ πλάνῃ ἀπειρηκότα ὕδατα. Ἴναχος μόνος ἀπῆν· ἐν βαθυτάτῳ τε ἄντρῳ κρυπτόμενος θρήνοις αὐξάνει τὸ ὕδωρ, καὶ τὴν φιλτάτην ὁ ταλαίπωρος Ἰὼ οἷάπερ ἀπολωλυῖαν ὀδύρεται. Ἀγνοεῖ γὰρ πότερον ζωῇ χρῆται, ἢ παρὰ τοῖς τῶν θανόντων εἰδώλοις γέγονε· πλὴν ἣν οὐδαμοῦ εὑρίσκει, οὐδαμοῦ οἴεται εἶναι, καὶ τοῖς λογισμοῖς εὐλαβεῖται τὰ χείρω. Εἶδε γὰρ αὐτὴν ὁ Ζεὺς ἐπανιοῦσαν ἐκ τοῦ παλῳώου (4) ποταμοῦ, καὶ « Ὦ παρθένε Διὸς ἀξία, » εἶπεν « εὐδαίμονα οὐκ οἶδ' ὁντινα τῷ σῷ λέχει ποιήσουσα, ἴθι πρὸς τὴν σκιὰν ἢ τοῦδε τοῦ νέμους ἢ τοῦδε, » καὶ ἔδειξεν ἄμφω (5). « Καῦμά τε γὰρ (6) καὶ ἥλιος ἐν μέσῳ τῷ οὐρανῷ νῦν ἐστὶν ὑψηλότατος. Εἰ δὲ καὶ μόνη δέδοικας τὰς τῶν θηρῶν καταγωγὰς εἰσιέναι, ὑφ' ἡγεμόνι θεῷ ἀσφαλὴς εἰσελεύσῃ τὰ τοῦ νέμους ἀπόκρυφα, καὶ οὐδὲ δημοτικωτέρῳ, ἀλλ'

(1) Lapsus est et hic Planudes. *Popularia* vertens ἐξωδοῦντες, cogitavit de simili voce *populantia*.

(2) *Alpheus* habuisse videtur, non *Amphrissus*.

(3) Glossa in B : Ἀΐας, ποταμὸς Ἠπείρου, πλησίον Ἐπιδάμνου.

(4) A, πρώτου.

(5) Lectionem sequitur nuno repudiatam ab editoribus : « Aut horum nemorum, aut horum, et monstraverat ambas : » quam quidem non eligendam opinor, sed cujus sensum facilem esse puto, et recte cepit Planudes.

(6) Legebatne, *nam calet?*

» ὃς τὰ οὐράνια σκῆπτρα μεγάλῃ χειρὶ κατέχω, » ἀλλ' ὃς τοὺς ἀστάτους κεραυνοὺς πέμπω. Μηδέ με » φεῦγε. » Καὶ γὰρ ἔφευγεν. Ἤδη μὲν οὖν τοὺς τῆς Λέρνης νομοὺς καὶ τὰ συνηρεφῆ τοῖς δένδρεσι Λυκαῖα πεδία κατέλειψε (1), καὶ Ζεὺς, σκότος ἐπαγαγὼν, τὸ τῆς γῆς πλάτος ἐκάλυψε, καὶ τὴν φυγὴν ἐπέσχε, καὶ τὴν παρθενίαν ἥρπασε. Μετὰ δὲ ταῦτα πρὸς μέσους τοὺς ἀγροὺς εἶδεν ἡ Ἥρα, καὶ νυκτὸς ὄψιν τὴν ταχινὴν ὁμίχλην ποιήσασαν (2) ἐν καθαρᾷ τῇ ἡμέρᾳ τεθαύμακε· καὶ γὰρ ᾔσθετο ταύτην οὔτ' οὖν ποταμοῦ γεγονυῖαν, οὔτε γῆς ὑγροτέρας ἀναδοθεῖσαν (3). Καὶ δὴ ποῦ ποτ' ἂν εἴη περιβλέπεται ὁ ἑαυτῆς σύζυγος, ὡς ἄν τις τοσάκις ἑαλωκότος ἤδη τοῦ ἀνδρὸς εἰδυῖα τὰ κλέμματα. Τοῦτον δ' ἐπείπερ οὐχ εὗρεν ἐν οὐρανῷ, « Ἢ ψεύδομαι » εἶπεν » ἔγωγε, ἢ ἀδικοῦμαι· » καὶ, ἀπ' (4) ἄκρου διολισθήσασα τοῦ αἰθέρος, ἐπὶ γῆς ἔστη, καὶ ἀναχωρεῖν τὴν ὁμίχλην ἐκέλευσεν. Ἐκεῖνός γε μὴν, τὴν τῆς γαμετῆς προαισθόμενος παρουσίαν, εἰς λευκὴν δάμαλιν τὴν τῆς Ἰναχίδος ὄψιν μετέθηκεν· ἡ δὲ, καὶ βοὺς, περικαλλὴς ἦν. Καὶ τὴς βοὸς εἶδος παρὰ γνώμην ἐπαινεῖ· ναὶ μὴν καὶ τίνος, καὶ πόθεν, κἀκ ποίας ἀγέλης εἴη, ὡς εἴ τις ἐν ἀγνοίᾳ τοῦ ἀλη-

(1) Hic aoristus in Planude non facit mirationem. Vide quæ notavi de hac forma ἀδοκίμῳ ad Eunap. p. 582, collato nunc Lobeckio post Phrynich. p. 714. Scholiastes Æschyli Pers. 153, scripsit καταλείψασα.

(2) B, ποιήσασα.

(3) Scripsi γῆς pro codicum τῆς. Forte etiam οὔτε τῆς ὑγροτ... γῆς ἀναδ. Prior tamen lectio stare potest: ⅂ et Γ permutari notum est. Æschyl. Eum. 58: Οὐ δή τις αἶα τοῦτ' ἐπεύχεται γένος Τρέφουσ' ἀνατεὶ, μὴ μεταστένειν πόνων. Forte, μὴ μέγα στένειν π. Vel, quod melius, servata vulgata, intelligendum μεταστένειν de pœnitentia nutricis ob labores doloresque circa pessimam prolem exantlatos, quod vidit Duthelius.

(4) A, ἐπ'.

θοῦς ἐρωτᾷ. Ζεὺς δὲ ψευσάμενος ἐκ γῆς γεγεννῆσθαι, ὡς τοῦ παντὸς οἰκονόμος ἀπηλλάγη (1) τοῦ πολυπραγμονεῖσθαι. Αἰτεῖ δὲ δῶρον ἡ Κρονία (2) τὴν βοῦν. Τί δὲ ποιήσειεν ἂν ἐκεῖνος; Ὠμὸν μὲν τὸ τοὺς οἰκείους ἐρῶσας προδιδόναι, μὴ διδόναι δὲ πάλιν ὑποπτον γένεσθαι· ἐκεῖθεν μὲν αἰδὼς ἀναπείθει, ἐντεῦθεν δ' ἔρως ἀναπείθει, καὶ ἐνικήθη γ' ἂν ὑπὸ τοῦ ἔρωτος ἡ αἰδώς· ἀλλ', εἰ κοῦφον οὕτω δῶρον δάμαλις τῇ κοινωνῷ τοῦ γένους καὶ τοῦ λέχους ἀπαγορευθείη, ἡδύναλο μὴ δοκεῖν δάμαλις. Τῆς ἀνιζήλου τοίνυν δοθείσης, οὐκουν αὐτίκα πᾶν ἀπέθελο τὸ δέος ἡ θεός· ἐδεδοίκει δὲ τὸν Δία, καὶ τῆς κλοπῆς ἠνιᾶτο (3), μέχρις Ἄργῳ (4) τῷ Ἀρισιορίδῃ φυλαχθησομένην παρέδωκεν. Ὁ δὲ Ἄργος ἑκατὸν ὀφθαλμοῖς εἶχε τὴν κεφαλὴν ἐζωσμένην, ὧν ἐξ ἀμοιβῆς σύνδυο (5) μὲν ὕπνον ἐλάμβανον, οἱ λοιποὶ δ' ἐφορύρουν, ἐν κατασλάσει μένοντες. Καὶ, οὕπερ ἂν Ἄργος ἵσταιλο, πρὸς Ἰὼ ἑώρα, καὶ πρὸ ὀφθαλμῶν εἶχεν Ἰώ, κἂν ἀπεσλραμμένος πως ἦν. Ἡμέρας μὲν οὖν ἐᾷ νέμεσθαι· τοῦ δ' ἡλίου ὑπὸ τὸ τῆς γῆς βάθος ἰόντος, καθείργνυσι καὶ ἀναξίως δεσμοῖς περιβάλλει τὸν τέκνηλον. Ἡ δὲ κλάδους τε δὴ δένδρων καὶ πόαν νέμεσθαι πόαν, καὶ, ἀντὶ κλίνης, ἐπὶ γῆς, οὐκ ἀεὶ χόρλον ἐχούσης, κατακλίνεσθαι

(1) Corrupta leviter verba sic puto emendanda: Ζ. δὲ ψ. ἐκ γ. γ. εἶπεν, ὡς — ἀπαλλαγῇ....

(2) Glossa in B: θυγάτηρ γὰρ Κρόνου Ἥρα ἐστί.

(3) *Anxia furti*: metuens ne vacca subriperetur.

(4) Glossa ridicula in B, περὶ Ἄργου κυνός. Et infra glossator iterum ad Argi orationem: ὅρα λόγους Ἄργου κυνὸς πρὸς Ἑρμῆν.

(5) Codices non bene, σὺν δύο. Vide quæ notavi ad Philostr. Her. p. 419; Heyn. ad Il. K, 224. Achilles Tat. I, 5: συνεπινομεν κατὰ δύο τὰς κλίνας διαλαχόντες. Cod. Venet. 409, καταδύο: forte sic, vel κατάδυο.

ἡ δείλαια, καὶ θολερὰ νάμαλα πίνει. Καὶ δὴ καὶ, βραχίονας ἱκέτις τῷ Ἄργῳ θέλουσα τείναι, οὐκ εἶχεν οὓς βραχίονας τῷ Ἄργῳ τενεῖ (1)· καὶ, ὀλοφύρασθαι πειρωμένη, μυκηθμὸν τοῦ στόματος ἀνεδίδου, καὶ ὑπερέδεισε τὸν ἦχον, καὶ τὴν ἑαυτῆς φωνὴν κατεθλάγη. Ἦλθε καὶ πρὸς τὰς παλείους, ἔνθα πολλάκις εἰώθει παίζειν, Ἰναχίδας ὄχθας, καὶ, καινὰ κατὰ τοῦ ὕδατος ἰδοῦσα κέρα, ἐξεθαμβήθη, καὶ, ἑαυτὴν δείσασα, φεύγει· αἱ δὲ Νηΐδες ἀγνοοῦσι, καὶ Ἰναχος αὐτὸς θαυμάζει τίς ἂν εἴη· ἡ δ' ἔπειται τῷ παλεῖ, ἔπεται καὶ ταῖς ἀδελφαῖς, καὶ ἀνέχεται ψαύεσθαι, καὶ προσφέρει θαυμαζούσαις ἑαυτήν· ὁ δὲ γεραίτερος Ἰναχος πόας παρεῖχε δρεψάμενος, ἡ δὲ λείχει τὰς χεῖρας, καὶ ταῖς παλεικαῖς παλάμαις φιλήματα δίδωσιν, οὐδ' ἔπέχει τὰ δάκρυα, καὶ, εἰ μόνον εἴπειο λόγος, βοήθειαν ἂν ἤτει, τοὔνομά τε καὶ τὴν οἰκείαν τύχην ἂν διεξήει· γράμματα δ', ἀντὶ λόγων, ἃ ποὺς ἐχάραττεν (2) ἐν τῇ κόνει, τὴν τοῦ μεταπλασθέντος σώματος ἀθλίαν ἀγγελίαν ἐκύρου. « Οἴμοι, τάλας! » οὖν ὁ πατὴρ ἐκραζεν Ἰναχος, καὶ ἐν τῷ (3) τραχήλῳ καὶ κέρασι τῆς σπαναζούσης καὶ χιονώδους δαμάλεως ἐκκρεμάμενος, « Οἴμοι, τάλας! » ἐδίπλου. « Οὐκ » ἄρα σὺ εἶ μοι, θύγατερ, ἡ ἀνὰ πᾶσαν γῆν ζητη- » θεῖσα; σὺ, καὶ εὑρεθεῖσα νῦν, οὐχ εὑρέθης. Κουφό- » τερον ἦν μοι τὸ πένθος. Σιγᾷς γὰρ, καὶ οὐδὲν ἀμοι- » βαῖον τοῖς ἐμοῖς ῥήμασιν ἐπιφέρεις, βαθέος δὲ μόνον » ἀπὸ σπήθους ἀνάγεις σπεναγμούς, καὶ, ὃ μόνον δύνῃ,

(1) A, τῷ τενεῖ. Mox idem εἶχεν, pro ἦχεν, iotacismi vitio.
(2) A, ἐχάραξεν.
(3) A, καὶ τῷ: B, ἐν τῷ. Hinc et inde sumta vocula, textum mihi feci.

» τοῖς ἐμοῖς ἀντιμύκῃ (1). Ἐγὼ δ' ἀγνοῶν, θαλάμους
» σοι καὶ δᾶδας ἡτοίμαζον· ἐλπίς τέ μοι ἦν γαμβρὸν
» τὸ πρῶτον, εἶτα δ' ἐγγόνων· νῦν δέ σοι ἐξ ἀγέλης
» ἀνὴρ, καὶ ἐξ ἀγέλης παῖς ἔσται. Οὐδέ μοι τὰς τόσας
» ὀδύνας ἐξὸν καταπαῦσαι θανάτῳ, ἀλλά με βλά-
» πτει τὸ θεὸν εἶναι, καὶ ἡ κεκλεισμένη μοι πύλη τοῦ
» ᾅδου εἰς ἀπέραντον αἰῶνα τοὺς ἐμοὺς θρήνους ἐκ-
» τείνει. » Τοιαῦτα ὀδυρομένου, ὁ κατάσκοπος Ἄργος
τὴν παῖδα ἐξοίστρησε, καὶ τοῦ πατρὸς ἁρπασθεῖσαν
πρὸς ἑτέρας εἵλκε νομάς· καὶ κορυφὴν ὑψηλὴν ὄρους
πόρρω καλέλαβεν· ἔνθεν (2) καθεζόμενος ἅπαν ἐπισκέ-
πτεται μέρος.

Ἀλλ' οὐδὲ μὴν οὐδ' ὁ τῶν οὐρανίων ἀρχηγὸς τὰ τῆς
Φορωνίδος (3) τόσα κακὰ πλέον δύναται φέρειν· καλεῖ
δὲ τὸν υἱὸν οὗ ἡ λαμπρὰ Πλειὰς εἰς φῶς προηνέγ-
κατο, καὶ θανάτῳ δοῦναι κελεύει τὸν Ἄργον. Βραχὺς
δὴ χρόνος παρῆλθεν, ὡς πλέργας μὲν τοῖς ποσὶ, ῥᾴ-
δδον δὲ τῇ κεφαλαῖ χειρὶ λαβεῖν ὑπνοδότην, καὶ τῇ
κόμῃ καλύπτραν. Ταῦτα δὲ διαθέμενος, ὁ τοῦ Διὸς
παῖς ἐκ τῆς παιρώας ἄκρας εἰς γῆν κατεπήδησεν· ἐκεῖ

(1) Ineptus ad marginem codicis B conjector : ἴσως, ἀντιμυκᾷς. De his activis recentibus et malis confer quæ notavi ad Eunapii Sophistas p. 206, 574, et ad Aristæneti Epistolas I, 1, ubi Lambecii barbarismum μυσῦντες et alia id genus notavi. Forsan deest λόγοις : nam latina hæc sunt, *ad mea verba remugis*. In græcis quæ habemus, στεναγμοῖς apte reticeri potest.

(2) A, ἔνθα. In latinis est *unde* : legit Planudes *inde*, qui scripsit ἔνθεν ; nam, *unde* si legisset, ὅθεν scripsisset. Constantino M. apud Euseb. H. Eccl. x, 5, p. 321, A, pro ὅθεν restituendum esse puto ἔνθεν : ἐπειδὴ..... ὅθεν · imo ἐπειδὴ.....ἔνθεν. Erroris ea causa fuit, quod, qui latinam Constantini græca oratione reddidit, non *inde*, quæ vera fuit lectio, sed *unde* legerit.

(3) Glossa in B : Φορωνεὺς πατὴρ ἦν Ἰνάχου, ὅθεν Φορωνὶς ἡ τοῦ Ἰνάχου θυγάτηρ Ἰὼ, γενεαλογία δὲ Ἰοῦς Φορωνέως.

τὴν καλύπτραν περιεῖλε (1) καὶ τὰς πτέρυγας ἀπέθλο,
μόνην δὲ τὴν ῥάβδον κατέσχεν. Εἶσι δ', οἷά περ αἰ-
πόλος, σὺν χιμαίραις (2) διὰ δυσβάτων τόπων ἰού-
σαις, καὶ σπείροις (3) δόναξιν αὐλεῖ. Ὁ τοίνυν Ἥρας ἱος φύ-
λαξ, ἀλοὺς τῷ μέλει τῆς καινῆς τέχνης, « Ὅστις
» ποτὲ τυγχάνεις ὢν » εἶπε « δύνῃ σὺν ἐμοὶ τῇδ'
» ἐνιδρυνθῆναι τῇ πέτρᾳ· οὔτε γὰρ τοῖς θρέμμασι
» πιοτέρα πόα ἐν ἄλλῳ τόπῳ, καὶ ποιμέσι συμβάλ-
» λουσαν τὴν σκιὰν βλέπεις. » Ἐκάθισε δὲ ὁ Ἀτλαν-
τιάδης, καὶ, πολλὰ λέγων, λόγοις τὴν ἡμέραν παει-
οῦσαν ἀνάλωσε, καὶ, διπλοῖς δόναξι μέλπων, νικῆσαι
πειρᾶται τοὺς φυλάττοντας ὀφθαλμούς· ἐκεῖνος δὲ
ἀπομάχεται τοῦ μαλακοῦ ὕπνου περιγενέσθαι· ἀλλ',
εἰ καὶ τὸν ὕπνον μέρει τῶν ὀφθαλμῶν δεχόμενος, μέ-
ρει πάλιν ἐγρήγορεν. Ὁμῶς ζηλεῖ (καὶ γὰρ νεωστὶ ἡ
σύριγξ εὑρέθη) τίνι λόγῳ εὑρέθη.

Τηνικαῦτα (4) γοῦν ὁ τῆς Ἀρκαδίας θεὸς, « Ἐν
» τοῖς παγετώδεσιν ὄρεσιν » εἶπεν, » ἐν ταῖς Ἁμα-
» δρυάσι Νωνακρίναις (5) περιφανεστάτη Νηϊάς τις
» γέγονεν, ἣν αἱ Νύμφαι Σύριγγα προσηγόρευον. Οὐχ
» ἅπαξ καὶ Σατύρους ἐνέπαιξεν ἑπομένους ἐκείνη καὶ
» τινας δὴ τῶν θεῶν (6). Σκιεροὺς δὲ δρυμοὺς καὶ τοὺς

(1) B, τὴν καλύπτραν παρεῖλε.

(2) Glossa in B: χιμ. ἤγουν αἴγαις. Quid hoc monstri est? Dixeruntne unquam αἴγη pro αἶξ? Putavitne librarius accusativum αἴγας, cujus forte meminerat, ab αἴγη deducendum esse?

(3) Pro *structis* videtur *strictis* invenisse.

(4) A, συρ. εὑρέθη. Τηνικαῦτα, sine reliquis, ob ὁμοιοτέλευτον.

(5) Glossa in B: Νονάκρη, πόλις Ἀρκαδίας, ἀπὸ Νονάκρης γυναικὸς Λυκάωνος. Distinctione accurata interpretationis scabritiem paululum imminui.

(6) Codices ἑπομένη et τίνας, quod mutavi. Sed et gravia sunt alia interpretis peccata quæ nolui nec debui emendare. «Satyros» Ovidius ait «eluserat illa sequen»tes, Et quoscumque deos um-

» ἐρήμους ἀγελῶν εἶχε, τὴν ὀρτυγίαν τε τοῖς ἀγῶσι,
» καὶ αὐτὴν ἔντιμα τῇ παρθενίᾳ τὴν θεὸν. Καὶ τῷ ἔθει
» τῆς Ἀρτέμιδος ζωννυμένη ἠπάτησεν ἄν, καὶ οἷα τ'
» ἐγένετο Λητοῖς δόξαι, εἰ δὲ μὴ κερόεν ταύτῃ τὸ
» τόξον, εἰ δὲ μὴ (1) χρυσοῦν ἦν ἐκείνη· ἠπάτησεν ἄν
» καὶ οὕτω. Ταύτην ἐπανιοῦσαν ἐκ τῆς τοῦ Λυκαίου
» δειρᾶδος ὁ Πὰν εἶδε, καὶ, πεύκῃ τὴν κεφαλὴν ἐστεμ-
» μένος ὀξείᾳ, τοιούσδε προσάγει λόγους. » Ὑπόλοι-
πον ὂν ἔτι καὶ τοὺς λόγους τοῦ Πανὸς τὸν Ἑρμῆν ἀπαγ-
γεῖλαι, καὶ, ὡς τῆς ἰκετείας εἰς κενὸν δαπανηθείσης,
δι' ἀδάτων ἡ Νύμφη πέφευγε, μέχει πρὸς τὸ ἥσυ-
χον τοῦ ψαμμαθώδους Λάδωνος ἦλθεν ὕδωρ· κἀκεῖ,
τοῦ ὕδατος ἀνακόπτοντος τὸν δρόμον, τὰς ἀδελφὰς
Νηϊάδας ἀντιβόλει ταύτην μεταβαλεῖν· ὁ δὲ Πὰν,
οἰόμενος ἤδη τὴν σύριγγα εἰληφέναι, ἀντὶ τοῦ τῆς
Νύμφης σώματος, καλάμους ἔσχεν ἐλείους· καὶ δὴ
στενάξαντος (2) τὸ πνεῦμα ἐμπεσὸν ἐν τῷ δόνακι λε-
πτὸν ἦχον ἀποτελέλεκε καὶ ἐοικότα θρήνῳ· καὶ ὡς θεὸς
ἁλοὺς τῇ τε καινῇ τέχνῃ καὶ τῇ τῆς φωνῆς ἡδύτητι
« Αὕτη μοι σὺν σοὶ διατελὴ μενεῖ » εἰρηκεν, οὕτω
τε (3) δόνακες ἄσιτοι, κηρῷ συμπαγέντες ἀλλήλοις,
τὴν τῆς κόρης κλῆσιν ἐσχήκασι. Τοιάδε μέλλων λέ-
γειν, ὁ Κυλλήνιος εἶδε μύσαντας τοὺς ὀφθαλ-

» brosave silva feraxve Rus habet. » Ortygiam studiis ipsaque colebat » Virginitate deam. » Planudes verba cohærentia inepte distraxit; *Ortygiam* quid fuerit non cepit, et forte quoddam venationis esse genus credidit : dein αὐτῇ male scriptum est pro αὑτῇ : sed hoc illi condonandum est; nam habuit *ipsam* in suo codice, quod et in aliis repertum est.

(1) Ante κερόεν addidi εἰ δὲ μή. In latinis *si non* bis legitur, et legi debet bis in græcis εἰ δὲ μή. Hic error librario tribuendus est.

(2) B, στενάξοντος : mox, ἀποτέλεκεν.

(3) A, οὔτε τε.

μονοῦλα καὶ ἥκιστά γε ὑπείκοντα (1) αὐτῷ, ἀλλ' ἐπὶ πατρὶ τῷ Φοίβῳ χαυνούμενον, οὐκ ἤνεγκεν ὁ Ἰναχίδης, « Τῇ μητρί » τε εἶπε « πάντα πιστεύεις, νήπιε, » καὶ τὴν τοῦ πλαστοῦ γεννήτορος μορφὴν φύσημα » φέρεις. » Ἠρυθρίασεν ὁ Φαέθων, καὶ τὴν ὀργὴν ἐπίεσε τῇ αἰσχύνῃ, καὶ περὶς (2) τὴν μητέρα Κλυμένην τὰς Ἐπάφου λοιδορίας ἀνήνεγκεν. « Ὡς ἂν δὲ μᾶλλον » ἀλγῇς, ὦ μῆτερ, » εἶπεν « ἐκεῖνος ἐγὼ ὁ ἐλεύθερος, ἐκεῖνος ἐγὼ ὁ θρασὺς ἐσιώπησα· περὶς αἰ» σχύνης ἡμῖν ἐστὶ ταὐτὶ τὰ ὀνείδη, καὶ λεχθῆναι δυ» νηθέντα, καὶ ἀπασκευασθῆναι μὴ δυνηθέντα. Ἀλλὰ » σύ γε, εἴπερ οὐρανίου φυλῆς ἔγωγε ἔφυν, ἔξένεγκε » γνώρισμα τοῦ τοσοῦδε γένους, καί με τῷ οὐρανῷ » σύσπασον. » Εἶπε, καὶ ἐπέσχεε τῷ μητρῴῳ τραχήλῳ τὰς χεῖρας, περὶς τε τῆς ἐκείνης κεφαλῆς καὶ τοῦ Μέροπος, καὶ τῶν ἀδελφικῶν λάδων (3), δοῦναί οἱ δεῖται τοῦ ἀληθοῦς παλεὸς σύμβολα. Ἡ Κλυμένη τοίνυν, ἄδηλον εἴτε ταῖς δεήσεσι τοῦ Φαέθοντος, εἴτε μᾶλλον τῷ θυμῷ κινηθεῖσα τοῦ ῥηθέντος αὐτῇ πλημμελήματος, ἐκτείνουσ εἰς οὐρανὸν ἐκλείνει (4) βραχίονας, καὶ, περὶς τὸ τοῦ Ἡλίου φῶς βλέπουσα, « Νὴ τὸ » σέλας » εἶπεν « ἐκεῖνο, τὸ φαεινῆς ἀκτῖσιν ἐπίσημον, ὄμνυμί σοι, τέκνον, ὃ νῦν ἡμᾶς καὶ ὁρᾷ καὶ » ἀκούει, τούτῳ σε, ὃν βλέπεις, τούτῳ σε τῷ Ἡλίῳ, » ὃς τὴν σύμπασαν διϊθύνει, γέννησιν ἐσχηκέναι· εἰ δὲ » ψευδῆ λέγω, αὐτὸς ἀπαγορεύσειεν ὑπ' ἐμοῦ βλέ» πεσθαι, καὶ τοῖς ἡμετέροις ὀφθαλμοῖς τοῦτο φῶς

(1) B, ὑπήκοντα. Conferas notam pag. 22.

(2) Addidi περὶς sensu jubente.

(3) Scholium in A, ἢ γάμων.

(4) B, ἐκτείνας. Librarius voluit scribere ἐκλείνασα.

» ἔσχατον εἴη. Ἀλλ' οὐδὲ πόνος μακρός ἐστι τοὺς τοῦ
» παλαιοῦ σε Πελάμους γνῶναι· ὁ γὰρ οἶκος ἔνθεν ἀνί-
» σχει τῇ ἡμετέρᾳ γῇ ἐστὶν ὅμορος. Εἴ σε μόνον ἡ
» ψυχὴ διανίστησιν, ἴθι, καὶ παρ' ἐκείνου πυνθάνου. »
Ὁ δὲ Φαέθων ἡσθεὶς ἔλαμψεν (1) ἐξαπίνης, μετὰ τὰ
τοιάδε τῆς μητρὸς ῥήματα, καὶ λαμβάνει δὴ τῷ λο-
γισμῷ τὸν αἰθέρα, τούς τε οἰκείους Αἰθίοπας καὶ τοὺς
ὑποκειμένους τῷ ἀστρώῳ πυρὶ παρῆλθεν Ἰνδούς, καὶ
πρὸς τὰς τοῦ παλαιοῦ ἀνατολὰς ἄοκνος εἶσιν.

(1) Pessima, ut videtur, versio latini verbi *emicat*.

ARGUMENTUM

LIBRI II

EX CANTERI NOVIS LECTIONIBUS.

Epaphus quum aliquando *Phaethonti* Apollinem ut falsum patrem objecisset, ille currus solaris imperium ad diem unum a patre, in pignus veræ stirpis, petiit. Quo impetrato, terra ab eo tota accenditur, et inter cetera *nigrescunt Æthiopes*. Phaethontem deinde fulmine percussum dum lugent *sorores* et una cognatus *Cycnus*, illæ in *arbores*, hic in *cycnum* mutatur. Hinc Jupiter, lustrato, ut eum pristino vigori restitueret, terrarum orbe, in *Callistonem* incidit, eamque, sumta Dianæ forma, stupravit. Ob id irata Juno Callistonem in *ursam* convertit, quam postea *Arcas* filius transfixurus erat, nisi utrumque Jupiter inter *sidera* retulisset. Qua de re quum apud Oceanum conquesta esset Juno, in cœlum relata est humeris *pavonum*, qui nuper *variegati* fuerant; sicut et *corvus* nuper ex *albo niger* erat redditus, quum *Cornicis* monitis, quæ illi tum suam in cornicem, tum *Nyctimenes* in *noctuam* mutationem explicarat, non obtemperasset, verum *Coronidis* adulterium ad Apollinem detulisset. Ejus deinde filio Æsculapio, e Coronide exsecto, et in Chironis antrum delato, *Ocyrrhoe*, Chironis filia fatidica, dum futura prædicit, in *equam* vertitur. Tum Chiron, pater, *Apollinis* auxilium frustra invocavit, quod ille, jam in Elide pastor factus, aliud ageret, neglectis etiam bubus: id quod Mercurio furandi eas occasionem dedit, qui deinde *Battum* ob furtum proditum in *indicem* lapidem mutavit. Inde avolans *Hersen*, Cecropis filiam, spectat, eaque potitur. Cui dum invidet *Aglauros* soror, invidiæ veneno infecta in *saxum* obrigescit. Postea *Jupiter*, quum Mercurium in cœlum reversum boves Agenoris ad litus avertere jussisset, sumta *tauri* specie, *Europam* per mare in Cretam transvexit.

ΟΒΙΔΙΟΥ
ΜΕΤΑΜΟΡΦΩΣΕΙΣ.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Τὰ δὲ τοῦ Ἡλίου βασίλεια μετέωρα ἦν ὑψηλαῖς κίοσι, τηλαυγεῖ χρυσῷ λάμποντα καὶ φλόγας μιμουμένω πυρωπῷ· ὧν τὴν μὲν ἄκραν κορυφὴν ἐλέφας καθαρὸς κατεκόσμει, στιλπνότητι δὲ ἀργύρου δικλίδες ἠκτινοβόλουν θύραι· ἡ δὲ τέχνη τὴν ὕλην ὑπερεβάλλετο. Καὶ γὰρ Ἥφαιστος ἐκεῖ τὴν θάλασσαν ἐκόλαψε μέσην περιζωννῦσαν τὴν γῆν, καὶ τὴν τῆς γῆς αὐτῆς σφαῖραν, καὶ τὸν ἐπικείμενον τῇ σφαίρᾳ οὐρανόν. Θάλασσα μὲν οὖν κυανοῦς ἔχει δαίμονας, Τρίτωνά τε πολιὸν (1), καὶ Πρωτέα ἀμφίβολον, φαλαινῶν τε θλίβοντα τὰ μεγάλα νῶτα ταῖς οἰκείαις χερσὶν Αἰγαίωνα, Δωρίδα τε καὶ τὰς θυγατέρας, ὧν αἱ μὲν νήχεσθαι δοκοῦσιν, αἱ δ', ἐφεζόμεναι πέτραις, τοὺς ὑγροὺς τερσαίνειν πλοκάμους, ἄλλαι δ' ἰχθῦσι φέρεσθαι· εἶδος δέγε πάσαις (2) οὐχ ἓν, ἀλλ' οὐδὲ πάλιν διάφορον, ἀλλ' οἷον εἶναι ταῖς ἀδελφαῖς ἔπρεπε. Γῆ δ' ἄνδρας καὶ πόλεις φέρει, δρυμούς τε καὶ θῆρας, καὶ ποταμοὺς καὶ Νύμφας, καὶ τοὺς λοιποὺς τῶν ἀγρῶν δαίμονας. Τούτοις δ' ἐπίκειται τοῦ οὐρανοῦ καταυγάζοντος εἰκών· σημεῖά τε ταῖς δεξιαῖς θύραις ἓξ, καὶ

(1) Miram Planudis hallucinationem, qui *canorum* confudit cum *canum!* Repone Τρίτ. τε λιγυρόν.

(2) A, πᾶσι.

τοσαῦτα ταῖς εὐωνύμοις. Οὗπερ ἅμα τε ἐπέστη ἐπὶ τὸν ὑψηλὸν οὐδὸν ὁ Κλυμένιος γόνος, καὶ εἴσεισι πρὸς τοῦ ἀμφιβαλλομένου πατρὸς οἴκους. Εὐθὺ δὲ τοῦ πατρικοῦ προσώπου τὰ ἴχνη τρέπει, ἔστη τε πόῤῥωθεν· οὐδὲ γὰρ τὸ προσεχέστερον ἔφερε φῶς. Ὁ δὲ Φοῖβος, ἐσθῆτα πορφυρᾶν περικείμενος, ἐπὶ θρόνου καθῆστο σμαράγδοις λαμπροῖς ἀπαστράπτοντος. Ἐκ δεξιῶν τε τούτου καὶ εὐωνύμων Ἡμέρα, καὶ Μὴν, καὶ Ἐνιαυτὸς, καὶ Αἰῶνες ἔκειντο (1)· Ἔαρ τε νέον ἵστατο, στέφανον ἀνθηρὸν ἀναδεδεμένον· ἵστατο καὶ γυμνὸν Θέρος, στέφανον φέρον ἀσταχύων· ἵστατο καὶ Μετόπωρον (2), σταφυλῆς πατηθείσης φορυτοῦ γέμον, καὶ παγετώδης Χειμὼν, πολιὰν τρίχα φρίσσων. Ἐκ δὲ μέσου κείνων (3), τῇ καινότητι τῶν πραγμάτων τὸν νεανίσκον ὁ Ἥλιος ἰδὼν ἐκθαμβούμενον ὀφθαλμοῖς, οἷς τὰ σύμπαντα βλέπει, « Τί τε τῆς ὁδοῦ τὸ αἴτιον; καὶ τί ποτε » εἶπε « κατὰ τήνδε τὴν ἄκραν ἐζήτησας, ὦ Φάεθον, τέκνον » οὔκουν ἀπαρνηθησόμενον τῷ τεκόντι; » Ὁ δ' ἔφη· « Ὦ κοινὸν φῶς τοῦ ἀπείρου κόσμου, Φοῖβε πάτερ, » εἴ μοι δίδως τῷδε τῷ ὀνόματι χρῆσθαι, οὐδ' ὑπὸ » παραπετάσματι ψευδεῖ τὸ πλημμέλημα Κλυμένη » καλύπτει, δὸς ἐνέχυρα τοῦ γένους, δι' ὧν σὸς τῷ » ὄντι παῖς πιστευθήσομαι, καὶ τήνδε τὴν πλάνην » τῆς ἐμῆς ἔκκλεισον ψυχῆς. » Εἶπε, καὶ ὁ πατὴρ τὰς περὶ τὴν κεφαλὴν ἀποπαλλομένας ἀκτῖνας ἀπέθετο, καὶ προσελθεῖν ἐκέλευσεν ἐγγυτέρω, καὶ, περιπλοκὰς δοὺς, « Οὔκουν ἐμὸς » εἶπε « σὺ μὴ ὁμολογεῖσθαι

(1) Omissa latina sunt, *et positæ spatiis æqualibus Horæ.* Vertas fere : καὶ ἐξ ἴσου διαστήματος διακεκριμέναι Ὧραι.

(2) A, ἔαρ τε νέον ἵστατο καὶ μετοπ., omissis mediis. Mox A, χυμῶν.

(3) B, 'κείνων.

» ἄξιος εἶ, καὶ ἀληθὴς ἡ Κλυμένη τὸ γένος ἀπέφηνεν·
» ὡς ἂν δ' ἠτιάσω τι δισλάζης, ὃ βούλει, δῶρον αἴτει,
» καὶ λήψῃ διδόντος ἐμοῦ· μάρτυς ταῖς ὑποσχέσεσιν
» ἥτω ἡ θοῖς θεοῖς ὀμνυμένη πηγὴ (1), ἡ τοῖς ἐμοῖς
» ἄγνωστος ὀφθαλμοῖς. » Οὕπω καλῶς ἔληξε, καχεῖ-
νος τοὺς πατρικοὺς αἰτεῖ δίφρους εἰς μίαν ἡμέραν,
καὶ τὴν τῶν πτερυγοπόδων ἵππων ἐξουσίαν τε καὶ
ἡνιοχείαν. Μετέμελε (2) τοίνυν ὁμωμοκότι τῷ πατρὶ,
καὶ, τρὶς δὴ καὶ τετράκις τὴν σελασφόρον συσσείσας
κεφαλὴν, « Ἀπερισκεπτοτέρα » εἶπεν « ἡ ἐμὴ φωνὴ
» τῆς σῆς (3) γέγονεν. Ὄφελον ἐξῆν τὰ ὑπεσχημένα (4)
» μὴ δοῦναι! Ὁμολογῶ, τοῦτό σοι μόνον ἂν ἠρνησά-
» μην, ὦ παῖ. Μεταπείθειν γε μὴν ἔξεστιν. Οὐκ ἔστιν
» ἀσφαλὴς ἡ σὴ βούλησις. Μεγάλα ζητεῖς, Φάεθον,
» καὶ δῶρα ἃ μὴ συμβαίνει τῇ σῇ δυνάμει καὶ τοῖς
» παιδικοῖς ἔτεσι. Θνητὴ μέν ἐστιν ἡ σὴ τύχη, θνη-
» τὸν δ' οὐκ ἔστιν οὗπερ ὀρέγῃ· καὶ δὴ καὶ πλέον, ἢ
» ὅσον ἔξεστι τοῖς θεοῖς μετιέναι, ἀγνοῶν ἐπιθυμεῖς·
» εἰ γὰρ καὶ πᾶς (5) ὁστισοῦν ἀρέσκει ἑαυτῷ, πλὴν
» οὐδεὶς ἐπὶ τοῦ πυρφόρου στῆναι ἅρματος, πλὴν
» ἐμοῦ, δύναται. Καὶ γὰρ καὶ ὁ τοῦ ἀχανοῦς οἰκονόμος
» Ὀλύμπου, ὃς τῇ φοβερᾷ δεξιᾷ κεραυνοὺς ἀκονᾶται,
» οὐκ ἂν διεξαγάγοι τοὺς ἐμοὺς δίφρους· καίτοι τί
» μεῖζον τοῦ Διὸς ἔχομεν; Ἀνάντης μὲν ἡ πρώτη ὁδός
» ἐστιν, ἣν μόλις ἕωθεν νεαροὶ ἀνίασιν οἱ ἵπποι· ἡ δὲ

(1) Codices πηνὴ, quod mutavi. In B, ad marginem, ἴσως, ποτὴ ἡ πηγή.

(2) Codices, μετέμελλε. Infra ad 183, B, μετέμελλεν. Cf. p. 30.

(3) Latina, *temeraria vox mea facta* tua *est*, vertit, quasi invenisset comparativum *temerarior*, vel putavit *magis* abesse. Legendo τῇ σῇ procedet sententia. Codd. etiam ἀπερισκεπτότερα.

(4) B, ὑποσχημ.

(5) B, παῖς, et ad marginem, ἴσως, πᾶς.

» μέση ὑψηλοτάτη ἐστὶν ἐν οὐρανῷ, ὅθεν τὴν γῆν καὶ
» θάλασσαν καὶ αὐτῷ μοι πολλάκις βλέποντι φόβος
» ἂν εἴη, καὶ τρέμει ὑπὸ δειλίας φειδίου τὸ σῶμα·
» ἐσχάτη δ' ὁδὸς τριπλῆς ἐστι, καὶ χρεία κυβερνή-
» σεως ἀσφαλοῦς· τότε γὰρ δὴ καὶ αὐτὴ ἡ ὑποδεχο-
» μένη με Τηθὺς τρέμει τοῖς ὑποκειμένοις ὕδασιν, ὡς
» μὴ καί τι χρημνοῦ ἐνεχθῶ εἰώθει δεδοικέναι. Περίσθες
» ὅτι συνεχεῖ συναρπάζειαι περιελίξει ὁ οὐρανὸς καὶ
» τὰ ὑψηλὰ συνεφέλκεται ἄστρα, καὶ ταχινῇ συ-
» στροφῇ περιάγει· ἐγὼ δὲ τοῖς ἐναντίοις ἐπιχειρῶ (1),
» καὶ οὔ τε με νικᾷ ἡ τἄλλα νικῶσα φορά, καὶ
» ἀπ' ἐναντίας τῷ ὀξυτάτῳ φέρομαι κόσμῳ. Θῶμεν
» δίδοσθαί σοι (2) τοὺς δίφρους· τί δράσεις; ἆρά γε
» δυνήσῃ καταλοχαζόντων τῶν πόλων ἐναντίον ἰέ-
» ναι (3); οὐδέ σε ὁ ταχὺς ἂν ἄξων συναπαγάγοι;
» Τάχα καὶ λόχμας (4) ἔχει καὶ θεῶν πόλεις λαμ-
» βάνεις ἐπὶ νοῦν, καὶ ναοὺς πλουτοῦντας τοῖς ἀναθή-
» μασιν εἶναι· διὰ μέσων λόχων ἰτέον ἐστὶ καὶ θη-
» ρίων μορφῶν. Εἰ δὲ καὶ τῆς ὁδοῦ ἔχῃ (5) καὶ οὐκ
» ἔστιν ᾗ πλάνη παρεμπίπτει, διὰ κεράτων ὅμως
» ἐλεύσῃ ἀπεστραμμένου Ταύρου, τῶν Αἰμονίων τε
» τόξων, καὶ στόμαλος ἰσχυρᾶς Λέοντος, καὶ δεινοὺς (6)

(1) Ovidiana, *nitor in adversum*, male, obscure saltem, versa videntur. Poetæ doctissimi diligentiam in hac descriptione laudat judex idoneus Lalandius Compend. Astron. §. 62.

(2) B, δεδόσθαι σοι. Voluitne librarius, δεδόσθαι?

(3) Codices, τῶν πόλων ἐναντίων ἰέναι.

(4) B, λοχμάς. Idem circa tonum mendum mihi excidit in Niceta Eugen. v, 114.

(5) A, τοῖς ὁδοῦ ἔχοις. B, τῆς ὁδοῦ ἔχεις, et supra ἔχοις. Scripsi ἔχῃ, ob ἔστιν: sed ἔχοις ducere videtur ad ἔχοιο. Activum fuit repudiandum.

(6) A, δεινοῦ. Glossa in B: τὰ ζῶδια λέγει.

» κἀμπίοντος μακρῷ πτερόδῳ βραχίονας Σκορπίου,
» καὶ πάλιν ἄλλους κάμπτοντος βραχίονας Καρκίνου.
» Οὐδέ σοι τοὺς μεγαθύμους τελαμῶνας τῷ μὲν
» ἐκείνῳ δὲ τοῖς σίτοις φέρουσιν, ὃ τοῖς μυκτῆρσι καὶ
» τοῖς στόμασι πνέουσιν, ἐκ τοῦ ῥάστου ἡνιοχεῖν ἐστι·
» μόλις ἐμοῦ γε ἀνέχονται, ἡνίκα ἂν οἱ ὀξεῖς τούτων
» θυμοὶ διαθερμανθῶσι καὶ οἱ τραχηλοι ταῖς ἡνίαις
» ἀνταγωνίζωνται. Ἀλλὰ σύ γε, ὡς μὴ ἀληθείου δώ-
» ρου σοι (1) χορηγὸς εἶην, ὦ παῖ, φυλάσσου, καὶ, ἐν
» ὅσῳ τὸ πρᾶγμα συγχωρεῖ, τὰς αἰτήσεις σαυτοῦ
» διόρθου. Εἰ δὲ καὶ ἀσφαλῆ ζητεῖς ἐνέχυρα ὡς ἂν
» δὴ πιστεύσης τοῦ ἡμετέρου αἵματος γεγενημένος εἶ-
» ναι, ἀσφαλῆ ἐνέχυρα φοβούμενος (2) δίδωμι, καὶ
» τῷ παλαιῷ φόβῳ πατὴρ ὢν γνωρίζομαι. Ἀτένιζον
» πρὸς τοὐμόν (ἰδού!) πρόσωπον· εἶτα καὶ εἴσω στέρ-
» νων τοὺς ὀφθαλμοὺς οἷός τ' ἦσθα πέμπειν, καὶ τὰς
» τοῦ παλαιοῦ κατεμάνθανες δῆτα φρενίδας! Τέλος,
» περιάθρησον ὅ,τι δήποτε ὁ βαθύπλουτος ἔχει κόσμος,
» κἀκ τῶν τοιῶνδε καὶ τοσῶνδε γῆς καὶ θαλάσσης
» ἀγαθῶν αἰτεῖν χρή τι, καὶ οὐκ ἔστιν ἣ (3) ἀνάνευσιν
» ὑποστήσῃ. Τοῦτο μὴ αἴτει, δέομαι, μόνον, ὅπερ
» ἀψευδεῖ ὀνόματι τιμωρία ἐστὶν, οὐ τιμή. Τιμωρίαν
» αἰτεῖς, Φάεθον, ἀντὶ χαρίσματος. Τί μοι τοῦ τρα-
» χήλου χερσὶν ἐπαγωγῆς, ἀπερίσκεπτε, δράτλῃ;
» Δοθήσεται (μὴ ἀμφίβαλλε· τὸ Στύγιον ὁμωμόκα-
» μεν ὕδωρ·) πᾶν οὗπερ ἐφίῃ· ἀλλὰ σύ γε σωφρονέ-
» στερον αἴτει. » Ὁ μὲν πατὴρ ταῖς παραινέσεσιν

(1) Codices, σε: sic infra ad v. 608. Modo B, ἀνέχονται.
(2) A, εἰ δὲ καὶ ἀσφ. ζητεῖς ἐνέχυρα φοβούμενος, mediis omissis propter ὁμοιοτέλευτον.
(3) A, ἥν.

ἐπιλέθειχεν· ὁ δὲ τοῖς ἐχείνου λόγοις ἀνταγωνίζεται, καὶ ἐπίκειται τῇ προθέσει, καὶ τῷ τῶν δίφρων ἔρωτι κάεται· ὁ δέ γε πατὴρ, ὅσον οἷόν τ' ἐστὶν, ἐνδοιάσας, προὺς τοὺς ὑψηλοὺς ἀνάγει τὸν νέον δίφρους (1), τὰ Ἡφαίστεια δῶρα. Χρυσοῦς μὲν οὖν ὁ ἄξων ἦν, χρυσοῦς ὁ ῥυμὸς, χρυσαῖ αἱ ἄκραι τῶν τροχῶν ἄντυγες· ἀργύρου δ' ἡ τῶν ῥάβδων ἐν τάξει θέσις· χρυσόλιθοί τε περὶ τὰ ζυγὰ, καὶ στοιχηδὸν κείμενοι λίθοι τηλαυγὲς φῶς ἀπεδίδοσαν, ἀπ' αὐτῶν ἀνταναχλωμένου τοῦ Φοίβου. Ταῦτα δὲ δὴ τοῦ μεγαθύμου Φαέθοντος ἐν θαύματι ποιουμένου, καὶ τὴν αὐτῶν ἐργασίαν περισκοποῦντος, ἰδοὺ καὶ ἡ ἀγρυπνος Ἠὼς ἐκ τῆς φαιδρᾶς ἀνατολῆς τὰς πορφυρᾶς ἀνεπέτασε πύλας καὶ αὐλὰς τὰς ῥοδοειδεῖς· καὶ φεύγει τὰ ἄστρα ὧν Ἑωσφόρος βιάζεται τὰ συστήματα, καὶ τῆς τοῦ οὐρανοῦ καταγωγῆς ἔσχατος ἔξεισι. Τότε τοίνυν ὁ πατὴρ καὶ Τιτὰν καὶ γῆν καὶ πάντα κόσμον ἰδὼν φοινισσόμενον, τά τε τῆς σελήνης (2) ἄκρα κέρα οἷαπερ φερῦδα γινόμενα, ζευγνύναι (3) τοὺς ἵππους ταῖς ταχιναῖς ἐπέταξεν Ὥραις· αἱ δὲ θεαὶ τάχος ἐπιτελοῦσι τὰ κελευσθέντα, καὶ τοὺς πῦρ ἐρευγομένους, κἀν ταῖς ὑψηλαῖς φάτναις τῷ τῆς ἀμβροσίας κεκορεσμένους χυλῷ, τετραπόδας ἄγουσι, καὶ χαλινοὺς ἦχον διδύμας τούτοις περιτιθέασιν. Αὐτίκα δ' ὁ πατὴρ τὴν τοῦ παιδὸς ὄψιν θεία χείσας ἀλοιφῇ, ἀνέχειν πρὸς τὰς ἅρπαγας ἐποίησε φλόγας, καὶ, τῇ κόμῃ τὰς ἀκτῖνας περιθέμενος, καὶ θρήνων οἰωνίσματα συναγμοὺς τοῦ πολυμερίμνου στήθους ἀνιεὶς,

(1) A, δίφρον, τὰ ἡφαίστια. Mox, κείμενα.

(2) A, τῆς C : compendio notando, quod et infra reperi ad VII, 179, 193.

(3) Codices, ζευγνῦται : cf. p. 30.

εἶπεν· «Εἰ δύνῃ (1) ταῖσδε γοῦν ταῖς τοῦ πατρὸς παραι-
» νέσεσιν εἴκειν; φείδου, παῖ, τῶν κέντρων, ταῖς δ'
» ἡνίαις κραταιότερον (2) χρῶ. Αὐτόματοι σπεύδουσι·
» πόνος ἐστὶν ἐπέχειν ἱπταμένους τοὺς ἵππους. Μη-
» δέ σοι ταῖς πέντε ζώναις ὁδὸς παράλληλος ἀρεσάτω·
» διώρισται γὰρ εἰς λοξὸν (3) ἡ πορεία, πλατείᾳ πως
» ἀψῖδι τριῶν ὅρῳ ζωνῶν ἀρκουμένη. Τόν τε νό-
» τιον πόλον φεῦγε καὶ τὰς τῷ Βορρᾷ γείτονας Ἄρκτους.
» Ἐνταῦθά σοι ἡ ὁδὸς ἔστω· προφανεῖς γὰρ τὰς
» τροχιὰς ὄψει τῶν δίφρων. Ὡς ἂν δὲ καὶ οὐρανὸς
» καὶ γῆ τὴν ἴσην θερμότητα φέρωσι, μήτε πίεζε,
» μήτε πρὸς τὸν ἄκρον αἰθέρα τὸν δρόμον ἐνδίδου·
» ὑψηλότερον μὲν γὰρ παρεξιὼν (4) καταφλέξεις τοὺς
» οὐρανίους οἴκους, χαμαιπετέστερον (5) δέ γε, τὴν
» γῆν· κατὰ μέντοι τὸ μέσον, ἀσφαλέστατος διϊπ-
» πεύσεις. Μηδέ σε τὸ τέθριππον πρὸς τὸν σκολιὸν
» Ὄφιν δεξιώτερον ἀποκλινέτω, μήτε μὴν λαιότε-
» ρον ἐπὶ τὸ Θυτήριον αὐτὸ φερέτω· ἀλλὰ τοῦ με-
» ταξὺ τούτων ἔχου. Τἄλλα δ' ἐπιτρέπω τῇ τύχῃ,
» ἥ σοι βοηθείτω, καὶ βέλτιον, εὔχομαι, ἢ σὺ σαυτῷ,
» βουλευέτω. Ἀλλ', ἐν ᾧ ταυτὶ λέγω, καὶ ἡ ὑγρὰ
» Νὺξ ἰδοὺ κατὰ τὴν δυτικὴν ἠϊόνα δύεται· οὐκ
» ἔστιν ἡμῖν ἐλεύθερον τὸ χρονίζειν· ζητούμεθα· τοῦ
» γὰρ σκότους φυγαδευθέντος ἡ Ἕως διαυγάζει. Ἅρ-
» πασον τῇ χειρὶ τοὺς ῥυτῆρας, ἢ, εἰ μεταβέβλη-
» ταί σοι τὸ στέρνον, χρῶ ταῖς ἡμετέραις βουλαῖς,

(1) Δύνῃ pro δυνασαι, ut p. 52, 1: vide quæ de hac forma notavi supra pag. 31.

(2) B, κραταιοτέραις.

(3) A, εἰς στενόν. Reliqua sic forte scribenda, ἡ πορεία πλατείᾳ πως ἀψῖδι, τριῶν δ' ὅρῳ ζ.— ad Ovidii mentem.

(4) A, ἐξιών.

(5) B, χαμαιπεστερον.

» μὴ τοῖς ἅρμασιν (1), ἐν ᾧ δύνῃ κἀπὶ σταθερᾶς ἵσασαι
» ἕδρας, ἔτι καὶ οὔπω τὸ κακῶς ἐπιθυμηθὲν ἀμαθίᾳ
» πιέζεις ἅρμα. Ἔασόν με δοῦναι τῇ γῇ τὸ φῶς,
» ὅπερ ἀσφαλέστερον ὀψει. »

Ὁ μὲν εἶπεν· ὁ δὲ νεωτέρῳ σώματι τοῦ κούφου ἐπιβὰς ἅρματος, ὕπερθεν ἕστη, καὶ τῶν ἡνιῶν δοθεισῶν χερσὶν ἀψάμενος χαίρει, καὶ χάριτας ἐνεῦθεν ὁμολογεῖ ἀκοντι τῷ πατρί.

Μετὰ δὲ ταῦτα οἱ ταχινοὶ τοῦ Ἡλίου ἵπποι, Πυρόεις (2), Ἑῷος, καὶ Αἴθων, καὶ τέταρτος ὁ Φλέγων, χρεμετισμῶν φλογοφόρων τὰς αὔρας ἐπλήρουν, καὶ τοῖς ποσὶν ἐκρόαινον τὴν βαλβῖδα. Τὴν δ' ἐπείπερ ἡ Τηθὺς (3), τὴν τοῦ ἐγγόνου (4) μοῖραν ἠγνοηκυῖα (5), ἀνέῳξε, καὶ ἡ τοῦ ἀπείρου κόσμου ταχυθὺς ἐφάνη, ἥρπασαν τὴν πορείαν, καὶ δι' ἀέρος τοῖς ποσὶ κινουμένοις διασχίζουσι τὴν ἐπιπροσθοῦσαν ὁμίχλην, καὶ ταῖς ταχυρρύξιν ἐπαιρόμενοι πτερύγεσι τὸν ἐξ ἐκείνων τῶν μερῶν γεννώμενον Εὖρον. Ἀλλὰ κοῦφον ἦν τὸ φορτίον, καὶ οὐδὲ τοσοῦτον ὅσον ἂν αἰσθάνεσθαι δυνηθῆναι τοὺς ἵππους Ἡλίου· τοῦ γὰρ εἰωθότος ὁ ζυγὸς ἐστέρητο βάρους. Ὡς δὲ κοῖλαι σαλεύονται νῆες ἐκτὸς οὖσαι τοῦ προσήκοντος ἔρματος, καὶ διὰ θαλάσσης ἀστατοῦσαι πολλῇ κουφότητι (6) φέρονται, οὕτω τὸ ἅρμα τῷ ἀήθει φορτίῳ κενὰ δίδωσιν (7) εἰς ἀέρα πηδήματα, καὶ εἰς ὕψος ἀνατινάσσεται, καὶ κενῷ παντά-

(1) De hoc acumine fuse notabo ad IV, 175.
(2) Codices, πυρόης.
(3) A, τυθεὶς. B, τυθής.
(4) Gl. in B: ἤγουν τοῦ Φαέθοντος.
(5) B, ἠγνοηκυῖαν.
(6) Codex B, πολλῷ κουφότερον.
(7) Ovidius: « onere assueto » vacuos dat in aera saltus. » Planudes legebat, *onere insueto*. Statim B, ἀνατεινάσσεται: sic codd. rell. ad IV, 474; et B, ad IV, 491.

[redacted]

πασιν ἐοικὸς ἦν. Οὗπερ ὁμοῦ τε οἱ τετράζυγες ᾔσθοντο ἵπποι καὶ ὁρμῶσιν εὐθὺς, καὶ τῆς τετριμμένης πορείας ἀφίστανται, καὶ οὐδὲν οὐδαμῶς τῇ προτέρᾳ θεοῦσι τάξει. Ὁ δὲ Φαέθων τῷ τε δέει ἐξέθανε, καὶ οὔθ' ὅπη κάμψειε τὰς ἐγχειρισθείσας εἶδεν ἡνίας, οὔθ' ὅπη πορευτέον ἂν εἴη, οὔτ' οὖν, εἰ οἶδεν, ἐπιτάξειεν ἂν ἐκείνοις. Τότε δὴ πρῶτον ταῖς ἀκτῖσιν αἱ ψυχραὶ ὑπερέζεσαν Ἄρκτοι, καὶ μάτην ἐπειρῶντο τοῖς ἀπειρημένοις αὐταῖς ὕδασι βάπτεσθαι (1). Ὁ δ' ἐγγυτάτω κείμενος τῷ ψυχρῷ πόλῳ Δράκων, νωθρὸς ὢν τῷ ψύχει πρόσθεν καὶ οὐδενὶ φόβον παρέχων, ἐκπεπύρωτο, καὶ τῇ πυρώσει νέους ἀνελάβετο θυμούς. Καί σε δὲ θρηθέντα διὰ μνήμης ἔχουσι πεφευγέναι, Βοῶτα (2), εἰ καὶ βραδὺς ἦσθα, καί σε δὴ κατεῖχον αἱ ψυχραὶ Ἅμαξαι. Ἐπεὶ δὲ τὴν γῆν ὁ ταλαίπωρος ἀπ' ἄκρου τοῦ ἀέρος κατεῖδε Φαέθων κατωτέρω ἀεὶ συνιζάνουσαν, ὠχρίασε, καί οἱ παραχρῆμα τῷ φόβῳ τὰ γόνατα ἔτρεμε, καὶ τοῖς ὀφθαλμοῖς σκότος ἐπέπεσεν ἐκ τοῦ τοσοῦδε φωτὸς ἀνασχόν. Ἤδη γοῦν ἤθελεν εἰ μηδέποτε τῶν τοῦ πατρὸς ἥψατο ἵππων· ἤδη μετέμελεν αὐτῷ τοῦ τὸ γένος μεμαθηκέναι· ἤδη τοῦ Μέροπος μᾶλλον ἐπιθυμῶν λέγεσθαι, ταύτῃ φέρεται, ᾗπερ ναῦς Βορρᾷ καταῤῥάκτῃ ἐλαυνομένη, ᾧ καὶ τῶν πηδαλίων ὁ κυβερνήτης ἡττηθεὶς παρεχώρησε. Τί δ' οὖν δράσειε; Πολὺ μὲν οὖν τοῦ οὐρανοῦ κατὰ νῶτον ἀφῆκε, πλέον δὲ πρὸ τῶν ὀφθαλμῶν ἐστὶ, καὶ τοῖς λογισμοῖς σταθμᾶται ἑκάτερον· καὶ νῦν μὲν πρὸς ἑσπέραν, ἧς ἐκείνῳ μηδαμῶς ἅψασθαι πέπρωτο, βλέπει, ἄλλοτε δὲ

(1) Sic reformavi τὸ codicum βλάπτεσθαι. Ovidius, *tingi*.

(2) Mutavi τὸ codicum βοῶντα. Ovidius, *Boote*.

πρὸς ἀνίσχοντα ἥλιον· τί τ' ἂν ποιήσειεν ἄπειρος ὤν, θαμβεῖται, καὶ τοὺς ῥυτῆρας οὔτε χαλᾷν, οὔτε κατέχειν αὖ σθένει· καὶ οὐδὲ τὰ τῶν ἵππων ὀνόματα ἤδει· τά τε διεσπαρμένα πανταχοῦ καὶ τὸν ποικίλον οὐρανὸν τέρατα καὶ τὰ τῶν ἀπλέτων θηρῶν εἴδωλα σύνεγμος βλέπει.

Ἔστι δέ τις τόπος οὗ Σκορπίος ὡς δύο τόξα τοὺς βραχίονας κάμπτει, καὶ, τήν τε οὐρὰν καὶ χεῖρας ἑκατέρωθεν κλίνων, ἐπὶ δυεῖν διάστημα σημείων ἐκτείνει τὰ μέλη. Τοῦτον ἰδὼν ὁ παῖς ἰοῦ μέλανος ἰδρῶτι κατάρρυτον, καὶ πληγὰς ἀπειλοῦντα τῷ κέντρῳ τῆς οὐρᾶς καμπτομένης, ἔκφρων (1) τε τῷ ψυχρῷ φόβῳ γενόμενος, τοὺς ῥυτῆρας μεθῆκε. Τούτων δὲ δὴ πεσόντων καὶ τῶν ἄκρων νώτων ἁλισθέντων τῶν ἵππων, ἐξετράπησαν ἐκεῖνοι, καὶ, μηδενὸς τοῦ κωλύοντος ὄντος, φέρονται δι' ἀέρος ἐπὶ τόπων ἀγνώστων, καὶ, ἧπερ ἦγεν ἡ ὁρμὴ, ἐκεῖσε ἀκρίτως ἄτρουσι (2), καὶ τοῖς κατὰ τὸ μεσημβρινὸν τοῦ αἰθέρος πεπηγόσιν ἄστροσιν ἐπιθέουσι, καὶ δι' ἀβάτων (3) τὸν δρόμον ἁρπάζουσι· καὶ νῦν μὲν διώκουσι τὰ μετάρσια· νῦν δ' αὖθις, διὰ τῶν ταπεινοτέρων τε καὶ ἐπικρήμνων ὁδῶν, ἐγγυτέρω τῆς γῆς φέρονται, καὶ Σελήνη θαυμάζει τοὺς τἀδελφοῦ ἵππους καλωτέρω αὐτῆς τρέχοντας, νεφέλαι τε καυθεῖσαι (4) εἰς ἀτμὸν διελύθησαν·

(1) B, ἐκφέρων. Supra B, νώτων.

(2) B, ἄπτουσι. A, ἀκρίτως ἄττουσι, e correctione. Frequens permutatio verborum ἄπτειν et ἄτειν. Cf. quæ notavi ad Philostr. Her. p. 600; ad Gregorium Corinthi; et nuper in Notit. MSS. t. XI, part. II, p. 185, ubi hæc Planudea adposui.

(3) A, διαβάντων.

(4) B, καφθεῖσαι: varietas orta e pronuntiatione τοῦ υ. Cf. simile quid in nota pag. 309, ad Nicetæ Eugeniani mythistoriam.

συναρπάζειαί τε ὑπὸ τῆς φλογὸς ὑψηλοτέρα γῆ πᾶσα, καὶ διασφάγας (1) ῥησσομένη ποιεῖ, καὶ, τοῦ ὑγροῦ διαπνηθέντος, ἐξήρανται. Νομοὶ πάντες λευκαίνονται, καὶ σὺν τοῖς κλάδοις τὰ δένδρα πίμπρασθαι, καὶ τὰ ξηρὰ λήϊα τῇ ζημίᾳ ἑαυτῶν ὕλην παρέχει. Μικρὰ θρηνῶ· μεγάλαι πόλεις αὐτοῖς τείχεσιν ὤλυνται (2), καὶ γῆν πᾶσαν σὺν ὅλοις δήμοις εἰς κόνιν ὁ ἐμπρησμὸς δὴ μεθίστησι, καὶ λόχμαι τοῖς ὄρεσιν ὁμοῦ πυρακτοῦνται. Φλέγεται Ἄθως, Ταῦρός τε Κίλιξ (3), καὶ Τμῶλος καὶ Οἴτη, καὶ ἡ τηνικαῦτα μὲν ξηρά, πρόσθεν δὲ περιφανεστάτη ταῖς πηγαῖς, Ἰδη, ὅ, τε παρθένιος Ἑλικών, καὶ ὁ μήπω Οἰάγρος (4) Αἷμος· πίμπρασθαι δὲ ἐφ' ἥλικον ὅσον, τοῦ πυρὸς διπλασιασθέντος, ἡ Αἴτνη, Παρνασός τε διχόρυμβος, καὶ Ἔρυξ, καὶ Κύνθος, καὶ Ὄθρυς, καὶ Ροδόπη χιόνων ἔνδεὴς οὖσα τὸ τηνικαῦτα, καὶ Μίμας, Δίνδυμός (5) τε καὶ Μυκάλη, καὶ ὁ πρὸς ἑῷα γενόμενος Κιθαιρών (6). Ἀλλ' οὐδὲ τὴν Σκυθίαν τὸ ἑαυτῆς ψύχος ὀνίνησι· καίεται γὰρ Καύκασος (7), Ὅσσα τε σὺν Πίνδῳ, καὶ ὁ μείζων ἀμφοῖν Ὄλυμπος, Ἄλπεις τε, καὶ ὁ νεφελώδης Ἀπέννινος (8). Τότε τοίνυν (9) ὁ Φαέθων ἐκ παντὸς μέρους ἀναφθέντα τὸν κόσμον ὁρᾷ, καὶ τὸν τόσον καυσῶνα φέρειν οὐχ οἷός τ' ἐστὶ, καὶ ἄρρα ζέοντα

(1) B, διὰ σφαγάς. Herodianus Epimer. Διασφάξ, τὸ σχίσμα τῆς γῆς. Librarii in hac voce scribenda facile peccant. Cf. quæ notavi ad Herod. locum.

(2) Codices, ὄλυνται.

(3) Glossa in B: Ταῦρος ὄρος, ὁ τὴν Ἀσίαν διαζωκώς.

(4) B, ει ἄγρος. Forte Οἰάγριος: Ovidius enim, *Œagrius Hæmus*.

(5) Codices, δίδυμος.

(6) A, Κιθαίρων.

(7) Ineptulus addidit γάρ: etenim sic Pindus et Alpes et Apenninus scythici fiunt montes.

(8) Regula jubet scribi Ἀπεννῖνος: cf. Arcad. de Accent. p. 65.

(9) A, τοὐνῦν.

οἷαπερ ἀπὸ βαθέος ἵππου τῷ στόματι ἕλκει, καὶ τῶν ἰδίων δίφρων αἰσθάνεται φλεγμένων, καὶ οὐκέτι οὔτε πρὸς τὴν τέφραν οὔτε πρὸς τοὺς ἀποπαλομένους σπινθῆρας ἀνέχειν δύναται, καὶ θερμῷ πανταχόθεν περιειλεῖται καπνῷ· ὅποι τε ἂν πορεύοιτο καὶ ὅπου εἴη, βαθεῖ σκότει κεκαλυμμένος οὐκ οἶδε, καὶ τῇ πρεμαιρέσει τῶν ἡνιῶν συναρπάζεται ἵππων. Τότε δὴ πιστεύονται τῶν Αἰθιόπων οἱ δῆμοι, τοῦ αἵματος πρὸς τὴν ἐπιφάνειαν ἀνακληθέντος τοῦ σώματος, μέλαιναν χροιὰν ἐπισπάσασθαι. Τότε ἡ Λιβύη ἐξικμασθεῖσα τῷ καύματι πέφρυκται. Τότε αἱ Νύμφαι, τὰς κόμας σπαράττουσαι, καὶ λίμνας (1) ἐθρήνησαν. Ζητεῖ μὲν (2) ἡ Βοιωτία τὴν Δίρκην, Ἄργος δὲ τὴν Ἀμυμώνην, καὶ Ἔφυρα (3) τὰ Πειρήνια ῥεῖθρα. Οὐδ' οἱ διαφόρους (4) ὄχθας καὶ τόπον κληρωσάμενοι ποταμοί, ἐπ' ἀσφαλείας συμμένουσιν· ἐν μέσοις γὰρ ὕδασιν ὁ Τάναϊς εἰς καπνὸν διελύθη (5), Πηνειός τε γέρων, καὶ ὁ Τευθρώντειος Κάϋκος, καὶ ταχὺς Ἰσμηνὸς σὺν τῷ Φωκαϊκῷ Ἐρυμάνθῳ, αὖθίς τε φλεχθησόμενος Ξάνθος, ξανθός (6) τε Λυκόρμας, καὶ ὁ καμπύλοις ὕδασι παίζων δὴ Μαίανδρος, Μυγδόνιός (7) τε Μέλας, καὶ Ταινάριος Εὐρώτας. Πίμπρασι καὶ

(1) Copula καὶ hiatum mirationem facit. Ovidius, *fontesque lacusque*. Planudes dederat, puto : πηγάς τε καὶ λίμνας.

(2) Ovidius, *Queritur Bœotia Dircen*, in libris nonnullis; in aliis *quærit*, quos sequitur Planudes : et sic Gierigius.

(3) Glossa in B : ἡ Κόρινθος.

(4) Ovidius, *distantes*. Planudes non διαφόρους, sed ἀπωτέρους, aut κεχωρισμένας, aut aliud simile quid, debuit scribere.

(5) B, διελύθει : permutatione totics notata.

(6) Codices bis ξάνθος : sed posterius fuit acuendum. Ovidius : « *flavusque* Lycormas. »

(7) Codices, Μυγδώνιος. Ovidius : « *Mygdoniusque* Melas. »

Εὐφράτης ὁ Βαβυλώνιος· πίμπραται καὶ Ὀρόντης, ὀξύς τε Θερμώδων, καὶ Γάγγης, καὶ Φάσις, καὶ Ἴστερος· καυσοῦται καὶ Ἀλφειὸς, καὶ Σπερχπίδες καίονται ὄχθαι· καὶ ὁ τοῖς ὕδασι χρυσὸν φέρων Τάγης (1) πῦρ ἤδη ῥεῖ· αἱ τὰς Μαιονίας τε ὄχθας μέλεσι πεμάδυσαι πολάμιαι ὄρνις ἐν μέσῳ καὶεφλέχθησαν τῷ Καύστρῳ. Νεῖλος δὲ δείσας εἰς τὰ ἔσχατα καταφεύγει τοῦ κόσμου, καὶ τὴν κεφαλὴν ἔκρυψε, καὶ εἰσέτι κρύπτεται· τὰ δ' ἑπτὰ στόματα, κόνεως (2) πλήρη γεγενότα, σχολὴν ἄγει (3), ἑπτὰ χωεὶς ὕδατος φάραγγες τηνικαῦτά γε οὖσαι. Ἡ δ' αὐτὴ τύχη καὶ τοὺς Ἰσμαρικοὺς Ἔβρον (4) σὺν Στρύμονι ξηραίνει, τοὺς ἑσπερίους τε πολαμοὺς Ῥῆνον καὶ Ῥοδανὸν, καὶ Πάδον, καὶ Θύμβριν ᾧ τὸ κῦρος πάντων ἐπηγγελμένον ἐγεγόνει. Διέσχισται δὴ πᾶσα γῆ, δίεισί τε πρὸς τὸν Τάρταρον διὰ τῶν χασμάτων τὸ φῶς, καὶ τὸν τῶν καταχθονίων ἡγεμόνα σὺν τῇ συζύγῳ καταπλήττει. Καὶ συστέλλεται θάλασσα, καὶ ξηρὰς ἄμμου πεδίον ἢ μικρῷ πρόσθεν οὖσα θάλασσα γέγονεν· ἃ δὲ πρὶν ὄρη τὸ βαθὺ κατεκάλυπτεν ὕδωρ, ὑπανεστήκασι, καὶ τὰς Σποράδας καὶ Κυκλάδας μείζους (5) ποιοῦσι. Καὶ ἰχθύες τὸ βάθος διώκουσι,

(1) Glossa in B: πολαμὸς Ἱσπανίας.

(2) A, κόπεος.

(3) Ovidius: « Pulverulenta *vacant.* » Pessima est Planudis versio. *Vacare* quidem sæpicule significat σχολὴν ἄγειν: hic autem sensu proprio capiendum erat, nempe, κενά ἐστιν ὕδατος.

(4) B, glossa ad Ἰσμαρ., τοὺς Θρᾳκικούς. B, εὖρον, et supra, εὖρεν. A, εὔρον. Mutavi, ut vides. Permutatio hæc, quam peperit pronuntiatio, est perpetua: cf. ad Philostr. Her. notata p. 481, ad Eunapium, et alibi. Infra ad *v.* 425, B, σκεδὴν habet pro σκευήν.

(5) Non μείζους, sed πλείους. Ovidius: « et *sparsas* Cycladas

καὶ καμπύλοι δελφῖνες οὐ τολμῶσιν ἑαυτοὺς ὑπὲρ τὴν θάλασσαν αἴρειν ἐπὶ τὰς συνήθεις αὐτοῖς αὔρας· σώματα δὲ φωκῶν ἐκπεπνευκότα κατὰ τὴν τῆς θαλάσσης ἐπιφάνειαν ὕπτια κεῖται. Καὶ μὴν καὶ αὐτὸν τὸν Νηρέα λόγος αἱρεῖ, Δώριδά τε καὶ τὰς θυγατέρας, δείσαντας (1) ὑπὸ τοῖς ἄντροις κρυβῆναι. Τρὶς δ' ὁ Ποσειδὼν ἐξ ὑδάτων τὰς χεῖρας σὺν λοξῷ προσώπῳ αἴρειν ἐτετολμήκει, καὶ τρὶς τὸ τοῦ ἀέρος πῦρ οὐχ ὑπήνεγκεν. Ἡ δ' ἱερὰ Γῆ, περιειλημμένη δὴ τῇ θαλάσσῃ, μεταξὺ τῶν τοῦ πελάγους ὑδάτων, καὶ τῶν συσταλεισῶν πανταχόθεν πηγῶν, αἳ τὰ βαθύτατα τῆς μητρικῆς Γῆς ὑπέδυσαν σπλάγχνα, τὸ πάντα φέρον ἐκούφισε πρόσωπον μέχρι τραχήλου, ξηρανθεῖσα, καὶ τήν τε χεῖρα τῷ μετώπῳ ἐπέθηκε, καὶ μεγάλῳ κλόνῳ συγκλονοῦσα (2) τὰ πάντα, μικρὸν συνεκάθισε, καὶ, ἐνδοτέρω ἤπερ (3) εἰώθει γενομένη, οὕτως ἱερᾷ φωνῇ ἀνεβόησεν· « Εἰ δοκεῖ, καὶ τούτων ἀξία τυχεῖν ἐγὼ, τί δῆτα ὦ (4)! οἱ σοὶ πρηστῆρες ἀργοῦσιν, » ἀκρότατε τῶν θεῶν; Ἐξείη μοι, τῇ τῷ σθένει τοῦ

» augent. » Poeta Sporades omisit, nec debuit illas addere interpres, a quo exspectabatur tantum, καὶ τὰς διεσπαρμένας Κυκλάδας ποιοῦσι πλείους. Male vertit τὸ *sparsas*.

(1) Ovidius: « Doridaque et » natas *tepidis* latuisse sub an- » tris. » Videtur habuisse Planudes malam lectionem *trepidis*, et sic epithetum non inscite omnino ad Dorida, Nerea et natas transtulit, legens *trepidos*.

(2) A, συνκλονοῦσα.

(3) Codd. ἤπερ. In accentu syllabæ η perpetuo variatur. Infra ad v. 519, codd. consentiunt in ἤ, quod in ἤ reformavi. Demosthenes in Bœot. de Nom. t. IV, p. 98, Tauchn. τί ἂν ποιοῖμεν; ἢ βαδίζοιμεν ἂν ἄμφω; Velim ἦ βαδίζ. Idem in Polycl. t. V, p. 23: ἢ τίς ἐθελήσει φιλοτιμεῖσθαι πρὸς ὑμᾶς; Velim et hic ἦ τίς. In Æschyli cantico Pers. 653, ἦ φίλος ἀνὴρ, φίλος ὄχθος, vividior fiet oratio per exclamationem: ἢ φίλος ἀνὴρ, φίλος ὄχθος!

(4) Codices, ὦ. De permutatione illa monui ad Nicetam, nec semel, et ad Aristæn. I, 1.

» πυρὸς ἀπολουμένη, τῷ σῷ πυρὶ ἀπολέσθαι, καὶ
» τὸν ὄλεθρον, σοῦ γε ποιοῦνιος, κουφότερον εἶναι!
» Μόλις δὴ πρὸς αὐτὰ (1) ταῦτα τὰ ῥήματα ἀνοί-
» γω τὸν φάρυγγα. » (Ἐκάλυψεν ἀτμὸς γὰρ τὸ πρό-
σωπον.) « Κατοπληθεῖσαν ὅρα τὴν κόμην, καὶ τὸν
» καπνὸν τὸν ἐν ὀφθαλμοῖς. Τοσοῦτόν ἐστι σπινθήρων
» ἐπὶ τοῦ προσώπου! Ἆρά μοι τοῦτον (2) μισθὸν,
» τοῦτο τῆς εὐφορίας γέρας καὶ τῆς ἐργασίας παρέ-
» χεις, ὅτι πληγὰς ἀέτρων ἐπικαμπῶν φέρω, καὶ
» δι' ὅλου τοῦ ἔτους πράγματα ἔχω, ὅτι τοῖς μὲν
» κλήνεσι θάμνους, τροφάς τε ἡμέρους, στάχυας, τῷ
» τῶν ἀνθρώπων γένει, καὶ ὑμῖν ἀρώματα χορηγῶ;
» Ἀλλ' ἐμὲ μὲν ἀξίαν (3) θῶμεν εἶναι τοῦ παρόντος
» ὀλέθρου· τί δὲ δὴ τὰ ὕδατα, τί δ' ὁ σὸς ἀδελφὸς
» τούτων ἄξιος; τί δή ποτε κ' καλὰ κλῆρον ἐκείνῳ
» παραδοθεῖσα θάλασσα μειοῦται, καὶ πορρώτερω
» τοῦ αἰθέρος ἀφίσταται; Εἰ δὲ μήτε τἀδελφοῦ,
» μήθ' ἡ ἐμὴ χάρις, ὦ Ζεῦ, ἄπληταί σου, τόν γε
» σὸν οἰκτειρον οὐρανόν. Περιάθρησον (4) ἑκατέρωσε ὡς
» καπνὸν ἀνίησι τῶν πόλων ἑκάτερος, οὓς εἴγε τὸ
» πῦρ ἐκτρυχώσει, καὶ τὰ τῆς σῆς αὐλῆς αὐτίκα
» κατασπασθήσεται. Καὶ μὴν καὶ ὁ Ἄτλας αὐτὸς (ἴδε)
» κάμνει, καὶ μόλις τοῖς ἰδίοις ὤμοις κλιόμενον ἀνέ-
» χει τὸν οὐρανόν. Εἰ δὲ θάλασσα καὶ γῆ καὶ τὰ τοῦ
» οὐρανοῦ φθερεῖται βασίλεια, εἰς τἀρχαῖον χάος
» συγκυκησόμεθα (5). Ἅρπασον τῆς φλογὸς, εἴ τι ποθ'
» ὑπόλοιπόν ἐστι, καὶ τοῖς πράγμασιν ἐπάρκει (6). »

(1) Codex A, πρὸς αὐτῶ: male.
(2) A, ταῦτα.
(3) B, sine ἀξίαν.
(4) Codices ambo, περιάθροισον.
(5) A, συγκεικησόμεθα.
(6) A, ἐπαρκεῖ.

Φαμένη δὴ ταῦτα ἡ Γῆ (καὶ γὰρ οὐκέτι φέρειν οἵα τ' ἦν τὸν ἀτμὸν, οὔτ' οὖν πλείω λέγειν) ἐφ' ἑαυτὴν τὸ πρόσωπον ἐφελκύσαλο καὶ τὰ περσεχέσλερα ταῖς ψυχαῖς ἄνλερα.

Ὁ δὲ δὴ πανσθενὴς Πατὴρ, τοὺς θεοὺς μαλυσάμενος καὶ αὐτὸν δὴ τὸν τὰ Ἅρμαλα δόνλα, εἰ μή τινα βοήθειαν εἰσενέγκαι, πάνλ' ἂν ἀπολεῖσθαι βαρεία μοίρᾳ, τὴν μετάρσιον διώκει ἀκρόπολιν, ὅθεν εἴωθε νεφέλας τῷ πλατεῖ τῆς γῆς ἐπιφέρειν, ὅθεν βροντὰς κινεῖ, καὶ κεραυνοὺς χειρὶ πάλλων ἀκοντίζει. Τηνικαῦτα δ' οὐθ' ἅς ἂν δύναιτο τῇ γῇ νεφέλας ἐπάγειν εἶχεν, οὐθ' ὗς ἂν ὑέλους ἐξ οὐρανοῦ πέμψαι. Ἐβρόντησε δὴ, καὶ κεραυνὸν τῇ δεξιᾷ πήλας ἐξ ὠτὸς ἀφῆκεν (1) ἐπὶ τὸν δίφρον, καὶ τὸν Φαέθοντα τῆς τε ζωῆς καὶ τοῦ Ἅρμαλος ἐξέωσε, καὶ δεινῷ πυρὶ τὸ πῦρ ἀνεχαίτισε (2). Καταπλήλονλαι τοίνυν οἱ ἵπποι, καὶ, πρὸς τἀναντία πήδημα δόνλες, τοὺς τραχήλους τῶν ζυγῶν ἀφαρπάζουσι, καὶ τοὺς ῥυτῆρας ῥαγέντας καλαλιμπάνουσι· τῇδε μὲν οὖν τὰ χαλινὰ κεῖται, τῇδε δ' ἀνεσπασμένος ὁ ἅξων αὐτῷ ῥυμῷ, τῇδε δ' αἱ ῥάβδοι (3) τῶν τροχῶν δῆτα (4)

(1) Ovidius : « et *dextra* libra» tum fulmen *ab aure* Misit. » Locum non intellexit Planudes, nec vidit *dextra* cum *aure* jungendum. Nec cepisset Virgilium Æn. IX, 417, apud quem Nisus « *summa* telum librabat *ab aure* » (cf. ibi Servium), nec suum Euripidem, apud quem Phædra, in Hipp. 220, ait amare se παρὰ χαίταν ξανθὰν ῥίψαι Θεσσαλὸν ὅρπακα. Vide ibi Valcken., collato Heinsio ad Ovidii locum. Ovidius, infra II, 624, eadem utitur rei imagine.

(2) Ἀνεχαίτησε, et B sic e correctione, sed male. Cf. supra p. 19. Eodem mendo mox B, χαλινά. In Apollodoro Carystio Athenæi VII, 13, αὐλουμένους ὡδῇ non erat in αὐλ. ὡδῇ mutandum. Intelligendum ὠδῇ de actione comica oculis tunc subjecta.

(3) B, οἱ ῥάβδοι.

(4) Hoc δῆτα paululum friget. Defendi posse videtur isto Suppli-

κλιεαγέτων· διεσκέδασται δ' εἰς πλάτος τὰ τοῦ συντειβένλος ἅρματος ἴχνη. Ὁ δὲ δὴ Φαέθων, τὴν φαεινὴν
320 κόμην τοῦ πυρὸς ἀφανίζονλος, κυλίεται τε κατὰ κρημνοῦ, καὶ μακρῷ δι' ἀέρος ῥύμῃ φέρεται, ὥσπερ ποτὲ ἀστὴρ ἐν αἰθερίῳ τῷ οὐρανῷ, καί, εἰ μὴ πέπλωκεν, ὅμως δύναται πεπλωκέναι δοκεῖν· ὃν πόρρω τῆς παλείδος ἐν ἀλλοδαπῇ τε τῇ χώρᾳ ὁ μέγιστος Ἡιδανὸς
325 δέχεται, καὶ τὸ κατηθαλωμένον πρόσωπον ἀπολούει. Νηίδες δ' Ἑσπερίαι τὸ τῇ τριγλώχινι (1) φλογὶ κατησβολωμένον σῶμα χώματι τάφου διδάσι, καὶ χαράττουσιν ἐπὶ τὸ πρῆγμα (2)·

Ἐνθάδε κεῖται Φαέθων, ὃν ὄχοι πατρὸς, εἰ καὶ
Μὴ ἐφύλαξαν, ὅμως μεγάλων τολμήσρα ῥίψαν.

Ὁ γάρτοι πατὴρ, θρήνοις νωθρόταλα διδοῦσιν ἀθλίως
330 ἐκδεδομένος, τὸ πρόσωπον συνεκάλυψε, καὶ, εἰ δήπου πιστεύομεν, μίαν ἡμέραν ἐκτὸς Ἡλίου λέγουσι γεγονέναι. Φῶς μέντοι παρεῖχεν ὁ τηνικαῦτα φλογμὸς, καί τις χρῆσις ἐν ἐκείνῳ τῷ κακῷ γέγονεν. Ἐπεὶ δὲ καὶ ἡ Κλυμένη πάνθ' ὅσα ῥήτ' ἐστὶν ἐν τοῖς τοιοῖσδε
335 κακοῖς εἶπε, πολύδακρύς τε καὶ ἔκφρων, καὶ διερρωγυῖα τοὺς κόλπους, τὴν γῆν πᾶσαν περιεφοίτησε,

cum Euripidis versu 1124: Τά δ' ἐκ δὴ παίδων καὶ δὴ φθιμένων Ὀστᾶ φέρεται: quem frustra sollicitavit vir doctissimus. Demosthenes Leptin. 53: τὰς δὲ δωρειὰς ἀς ἀντὶ τούτων ἔλαβον παρ' ὑμῶν, καὶ δὴ λελυμένας. Adde Planudem mox ad Ν. 348.

(1) Codices, τῷ τῇ τριγλώχινι. In B, glossa: τρία γὰρ ταῦτα ὁ κεραυνὸς (δύναται nempe supplendum), πνέειν, σχίζειν, καὶ καίειν.

(2) Secutus est pravam lectionem « signant quoque carmine » *factum* » pro *saxum*, nec illam bene reddidit. Sed esse puto lacunulam ; forte, ἐπὶ τούτῳ τὸ πρ. Forte etiam, χάρατ. ἐπίγραμμα. Statim, ut prior versus recto stet talo, scribendum ἐντεῦθεν κεῖται, vel melius ἐνταῦθα, et θα vi cæsuræ producetur.

καὶ πρότερον μὲν ἄψυχα μέλη, μετὰ τοῦτ' εὐθὺς ὀστᾶ διερευνωμένη, εὗρεν ὀστᾶ μόνον ἀλλοδαπῇ κεκαλυμμένα παρ' ὄχθῃ, ἐπιπίπλει τε τῷ τόπῳ, καὶ τοὔνομα περὶ τὸν λίθον ἀναγνοῦσα, κατέβρεξε δάκρυσι, καὶ ἀναπεπλαμένῳ τῷ σέρνῳ περιεπλύξαλο. Καὶ οὐδὲν δ' ἧττον αἱ Ἡλιάδες θρηνοῦσι, καὶ τηνάλλως τῷ θανάτῳ δῶρα προσάγουσι δάκρυα, καὶ, κόπλουσαι παλάμαις τὰ σήθη, ὀδυρμοῖς οἰκτροῖς τὸν οὐκ ἀκουσόμενον Φαέθονλα νυκτὸς καὶ ἡμέρας καλοῦσι, καὶ πρὸ τοῦ τάφου σλορέννυνλαι. Σελήνη μὲν δὴ τελεύκις τῶν κεράτων ὑποχωρησάνλων ἀνεπλήρωσε τὸν κύκλον· αἱ δὲ τῷ ἰδίῳ ἔθει (καὶ γὰρ ἔθος ἐποίησεν ἡ συνέχεια) ὀλοφυρμὸν ἀνεδίδοσαν· ἐξ ὧν, ἡ τῶν ἀδελφῶν πρεσβυτάτη, Φαέθουσα, βουλομένη πεσεῖν πρὸς τὴν γῆν, ἠχθέλο τῶν ποδῶν ἤδη σκληρυνομένων· πρὸς ἣν ἐλθεῖν ἡ λευκὴ Λαμπελία δὴ πειρωμένη ῥίζαις ἐξαίφνης ἐπεσχέθη· ἥ γε μὴν τέτε, πρὸς τὸ τίλλειν τὴν κόμην οὖσα, κλάδους ἀνέσπα. Καὶ ἡ μὲν ἀλγεῖ φιτρῷ τὰς κνήμας κατεχομένη, ἡ δὲ τὸ τοὺς οἰκείους βραχίονας μακροὺς κλάδους (1) γενέσθαι. Καὶ τούτων θαυμαζομένων τοὺς μηροὺς περιέσκεπε φλοιὸς, καὶ, κατὰ βαθμούς, γαστέρα τε καὶ στέρνα καὶ ὤμους καὶ χεῖρας περιέσχε, καὶ στόμα μόνον ὑπελείφθη φωνοῦν τὴν μητέρα. Τί δ' ἂν ποιήσειεν ἡ μήτηρ; ὅτι μὴ, ἥπερ αὐτὴν ἦγεν (2) ἡ ῥύμη, ὧδε κἀκεῖσε (3) φέρεται, κἀπειθὰν ἐξῇ, φιλήματα δίδωσιν. Ἀλλ' οὐκ ἀπόχρη τοῦτο· ἐκ δὲ τῶν φιτρῶν (4) ἀνασπᾷν τὰ σώματα πειρᾶται, καὶ τέρενας χερσὶν

(1) B, κλά, omisso vocis fine. (3) A, δεῦρο κἀκεῖσε, pro ὧδε κἀκ.
(2) Legebat *trahit*, non *trahat*. (4) B, τριφῶν.

ἀποῤῥήγνυσι κλάδους· ἐνθεῦθεν δ', ὡς ἀπὸ πληγῆς,
σταγόνες αἵματος ῥέουσι· « Φείδου, δέομαι, μῆτερ! »
ἥτις ποθὲ λελύμανται κρόζει· « φείδου, δέομαι· τὸ
» γὰρ ἡμέτερον ἐν τῷ δένδρῳ σῶμα διασπᾶται. Καὶ
» χαίρειν (1) ἤδη. » Φλοιὸς δ'οὖν ἐπ' ἐσχάτοις τοῖς ῥήμασιν ἦλθεν. Ἔνθεν ῥεῖ δάκρυα, καὶ καθὰ σταγόνας τῷ ἡλίῳ σκληρύνεται παρὰ καινῶν κλάδων ἠλεκτρα. Ταυτί γε μὴν τὸ διαφανὲς ὑποδεχόμενον ὕδωρ ταῖς Λατίνων νύμφαις περίθετον κόσμον πέμπει.

Προσεγένετο τῷ τέκνῳ τῷδε καὶ Κύκνος ὁ Σθενέλειος γόνος, ὅς σοι, Φαέθων, εἰ καὶ τῷ μητρῴῳ συνήπτετο αἵματι, τοῖς γε μὴν λογισμοῖς προσεχέστερος ἦν. Οὗτος τῆς βασιλείας μεθέμενος (καὶ γὰρ τοὺς Λιγύων (2) δήμους καὶ μεγάλας διεχειρίζετο πόλεις), τάς τε χλοερὰς ὄχθας καὶ Ἠριδανὸν τὸν ποταμὸν ὁλοφυρμῶν ἐπλήρου, καὶ τὴν ταῖς ἀδελφαῖς τοῦ Φαέθοντος ἐπίδοσιν σχοῦσαν (3) λόχμην. Καὶ δή, τῆς ἀηδρώδους φωνῆς λεπτυνθείσης, καὶ λεπτὰ πτίλα τῶν τειχῶν μιμησαμένων, καὶ τοῦ τραχήλου πόῤῥω τοῦ σήθους ἐκλαθέντος, καὶ τῶν ἐρυθρῶν δακτύλων ὑμένι συναρμοσθέντων, καὶ πτερύγων τὰ πτευρὰ καλυψασῶν (4), καὶ τὸ στόμα ῥάμφους (5) ἐκτὸς ὀξύτητος καὶ σχήματος ὄρνις γένεται (6) νέα Κύκνος. Καὶ οὔτε τῷ οὐρανῷ, οὔτε τῷ Διὶ ἑαυτόν γε πιστεύει, καὶ, ὡς ἀδίκως βληθέντος (7)

(1) A, χαίρεις. Confer notam ad IV, 112, de usu illo infinitivi temporis pro imperativo.

(2) A, Αυγίων. In B, glossa, prima, ut videtur, manu : « Ligyes, » quos nos *Zenuesi* appellamus. »

(3) B, σχοῦσα. Id. mend. ad IV, 420, ubi codd. ἔχουσα pro ἔχουσαν.

(4) Codices solœce καλυψάντων.

(5) B, ῥάμφοις.

(6) Notabo compendium codicis B, ῆ.

(7) Codices, βουληθέντος, absurde : quod mutavi.

ἐξ ἐκείνου τοῦ πυρὸς μεμνημένος, λίμνας διώκει καὶ ἕλη ἀναπεπταμένα· καὶ, τὸ πῦρ ὑπερφυγών, οὓς ἂν οἰκοίη ἐξείλετο ἀνθιθέτους τοῖς πρησσῆσι πολεμούς.

Σκωπτάζων τὸ μεταλαῦτα ὁ τοῦ Φαέθοντος γεννήτωρ καὶ ἄμοιρος τοῦ ἰδίου κάλλους, οἷος ἐκλείπων εἴωθεν εἶναι, τὸ φῶς τε μισεῖ καὶ αὐτὸν αὐτὸς δῆτα καὶ τὴν ἡμέραν· καὶ, τὸν νοῦν δοὺς εἰς θρήνους, τοῖς θρήνοις προσπίπτησιν ὀργήν, καὶ, τὴν οἰκείαν ἐνέργειαν ἀπαρνούμενος τῷ κόσμῳ, « Ἅλις » εἶπεν « ἐπίπονος ἐξ ἀρχῆς » αἰῶνος ἡ ἐμὴ γέγονε τύχη. Ἀπείρηκα πρός τε τὰ » ἀνήνυτα ἔργα καὶ τοὺς ἀπείρους καμάτους. Ἄλλος » ὁπλισοῦν ἀγέτω τὸν τὸ φῶς φέροντα δίφρον. Εἰ δὲ » μηδείς ἐστι, πάντες τε θεοὶ διομολογοῦνται μηδαμῶς » ἱκανοὶ καθεστάναι, ὁ Ζεὺς αὐτὸς ἀγέτω, ὡς ἂν ἴσως, » τῶν ἡμετέρων ἡνιῶν ἐπαφώμενος, ὀρφανίσοντας ἂν τὸν » παῖδα (1) τοὺς κεραυνοὺς ἀποθήται. Τότ' ἄν, πει- » ραθεὶς τῆς ἰσχύος τῶν πυριπόδων ἵππων, γνοίη μὴ » ἄξιον γεγενέναι θανάτου τὸν μὴ καλῶς ἐκείνοις » ἡνιοχήσαντα. » Τοιάδε τὸν Ἥλιον λέγοντα θεοὶ πε- ριίστανται (2) πάντες, καὶ ἵνα μὴ τοῖς οὖσιν ἐθελήσειε σκότος ἐπενεγκεῖν ἱκετίδι φωνῇ δέονται· Ζεὺς δ' ὑπὲρ τοῦ βλαθέντος ἀπολογεῖται κεραυνοῦ, καὶ ταῖς ἱκεσίαις ἀπειλὰς βασιλικῶς συγκεράννυσι. Συναθροίζει δὴ τοὺς ἵππους ὁ Φοῖβος ἐκφεύγας καὶ εἰσέτι καταπτωλυγμένους τῷ φόβῳ, κέντρῳς τε καὶ μάστιγι ἀνιώμενος (3) ἐξεμάνη· ἐξεμάνη γὰρ, καὶ τὸν υἱὸν ἐκείνοις ἐγκαλεῖ τε καὶ προσλογίζεται (4).

(1) Debuisset scribere παπέας: « Orbatura *patres* fulmina. »

(2) A, περίστατο.

(3) Habuit Planudes lectionem *dolens*, non *domans*. Mox *sævit* pessime vertit, scribens ἐξεμάνη.

(4) Et nunc quam male posuit

Ὁ παυσθενὴς δὲ Παλὴρ, τὰς ὑπερλάτας ἐπάλξεις τοῦ οὐρανοῦ περιιὼν, μή πολέ τι τῇ τοῦ πυρὸς διαλυθὲν δυνάμει καθήρηται καλεσκόπει. Ἐπεὶ δ' ἀσφαλῆ πάντα καὶ τῆς οἰκείας ἰσχυὸς ἑώρακεν ὄντα, τὴν γῆν τε καὶ τοὺς τῶν ἀνθρώπων ἐπισκέπλεται πόνους. Τῆς γε μὴν οἰκείας Ἀρκαδίας φροντὶς αὐτῷ γίνεται ἀξιολογωτέρα· πηγάς τε καὶ οὔπω (1) τολμῶντας διολισθαίνειν πολιαμοὺς ἀνεκλήσατο, καὶ τῇ γῇ πόας δίδωσι, καὶ φύλλα τοῖς δένδρεσι, καὶ, ἃς τὸ πῦρ ἐλυμήνατο, λόχμας ἀναθάλλειν κελεύει. Ἐν ᾧ δ' εἶσι θαμὰ καὶ ἐπάνεισιν, ἑάλω παρθένου Νωνακρίνης, καὶ, πῦρ ὑπὸ τὰ ὀσία συλλαβών, ἐξεκαίετο. Οὐκ ἦν ταύτης ἔργον ἐρίου ἄωτον ἐξέλκειν, οὐδὲ διευθετοῦσαν τὴν κόμην ποικίλλειν. Πόρπη δὲ τὴν ἐσθῆτα, καὶ λευκὴ ταινία τὴν ἀπημέλητον τείχα συνεῖρε. Καὶ νῦν μὲν τῇ χειρὶ κοῦφον εἶχεν ἀκόντιον, νῦν δὲ μελεάμβανε τόξον, καὶ σπερατιῶτις τῆς Φοίβης ἦν, καὶ ταύτης οὐδὲ μία χαριεστέρα τῇ Τριοδίτιδι τοῦ Μαινάλου ἤφαιο. Ἀλλ' οὐδὲ μία διαρκὴς εὐτρεπία. Τί τὸ μέλα τοῦτο; Ἥλιος μὲν, ὑψηλόταλος γεγονὼς, τὰ μέσα τῆς ἑαυτοῦ πορείας καλεῖχεν (2)· ἡ δὲ τὸ νέμος ὑπέδυ, ὅπερ οὐκ ἔστιν ὅστις ἔτεμε χρόνος. Ἐκεῖ δὴ τὴν μὲν φαρέτρην τῶν ὤμων ἀπέθετο, χαυνωθὲν δὲ τὸ τόξον ἐχάλασε, καὶ ἐπὶ γῆς, ἣν πόα ἐκάλυπτεν, ἔκειτο, καὶ τὴν σπικτὴν ὑποθεμένη τῇ κεφαλῇ φαρέτρην ἐπίεζε. Ζεὺς δὲ, κεκμηκυῖαν

περσλογίζεται pro *natum imputat illis!* B, περλογ.

(1) Codex A, οὔλω, non οὔπω: male. Eadem in his vocibus permutatio occurrit supra p. 20, 21.

(2) Ovidius: « Ulterius medio » spatium sol altus habebat. » Manifestum est Planudem a sensu vocum *ulterius medio* erravisse. Sic vertendus fuit hic versus: ἐπέκεινα τῆς μέσης ἑαυτοῦ περφορίας ἥλιος ὑψηλὸς ἐγεγόνει.

ἰδὼν καὶ φύλακος ἔρημον (1), τοῦτ' εἶπεν· « Ὄντως τὸ » κλέμμα οὐκ εἴσεταί μοι ἡ σύζυγος· ἢ, εἰ ἐπιγνοίη, » εἰσὶν, ἄρ' εἰσὶν αἱ λοιδορίαι καὶ διαμάχαι τοῦ τοσού- » του τιμήματος (2). » Αὐτίκα δ' ἀμφιέννυται σκευὴν καὶ ὄψιν Ἀρτέμιδος· καὶ « Ὦ τῆς ἐμῆς ἑταιρείας ἔκκρι- » τον » εἶπε « μέρος, ἐν τίσι δειράσιν ἐθήρευες; » Ἡ δὲ παρθένος εὐθὺς τῆς πόας ἀνίστατο, καὶ « Χαῖρε, μόνη » θεὸς, παρ' ἐμοὶ κρίτῃ » ἀπεκρίνατο· ὃ δ' εἰ καὶ τὰ μάλιστα μεῖζον ἤκουσε τοῦ Διὸς, ὅμως καὶ γελᾷ καὶ ἀκούει (3), καὶ χαίρει ἑαυτὸν ὁρῶν ἑαυτοῦ προτιμώμενον, καὶ φιλήματα συνάπτει, οὔκουν ἱκανῶς σύμμετρα, οὐδ' ὡς ἀπὸ παρθένου διδόμενα. Καὶ ἡ μὲν ὅπου ποτὲ τῶν ὀρῶν ἐθήρευε διεξιέναι παρεσκευάζετο· ὁ δ' εἶργε περιπλακεὶς, καὶ ἑαυτὸν οὐκ ἀνέγκλητον παριστάνει. Καὶ ἡ μὲν ἀπομάχεται, ὁπόσον ποτὲ δύναται γυνή (ὤφελες ταῦτ' ἰδεῖν, ὦ Κρονία· πραοτέρα γὰρ ἂν ἐγεγόνεις)· ἡ μὲν ἀπομάχεται· ἀλλὰ τίς ἂν περιγενέσθαι κόρη, ἢ τίς τῶν θεῶν, τοῦ Διὸς δυνηθείη; Νικήσας ὁ Ζεὺς τὸν αἰθέρα διώκει (4)· τῇ δὲ τὸ νέμος ἐστύγηται, καὶ συνειδυῖα ταυτὶ λόχμη· ὅθεν δὴ τὸν πόδα μετάγουσα, μονονοὺκ (5) ἐπελάθετο τὴν φαρέτραν λαβεῖν σὺν τοῖς βέλεσι καὶ, ὅπερ ἀπῃώρητο, τόξον.

(1) Cod. B, φύλακος ἔρημος: male.

(2) B, ἄρ' — τιμήματος; Sed mihi nulla esse videtur interrogatio. A, ἄρ' e correctione.

(3) Ovidius: « Salve, numen, » me judice, Audiat ipse licet, » majus Jove. Ridet et audit. » Locum non intellexit Planudes. Scribere debuit ad mentem poetæ: Χαῖρε, θεὸς, παρ' ἔμοιγε κριτῇ, αὐτοῦ μείζων τοῦ Διὸς, εἰ καὶ αὐτός μου λεγούσης ἀκούσεται. Γελᾷ καὶ ἀκούει Ζεύς.—

(4) Ovidius: « Sed quæ supe- » rare puella, Quisve Jovem po- » terat? superum petit æthera » victor Juppiter. » Planudes legebat: « Quisve Jovem poterat » *superûm? Petit* » — Non male. Nam *quis* languet, et *æthera* carere facile potest epitheto.

(5) A, μόνον οὐκ.

Ἰδοὺ δὲ καὶ ἡ Δίκλυννα, τῷ ἰδίῳ συνοῦσα χορῷ, διὰ τοῦ ὑψηλοῦ παριοῦσα Μαινάλου, τῷ φόνῳ τῶν θηρῶν γαυρουμένη, ταύτην (1) εἶδε, καὶ, ἰδοῦσα, καλεῖ· ἡ δὲ, κληθεῖσα, πρὸς φυγὴν τρέπεται· ἔδεισε γὰρ πρῶτα μή ποτ' εἴη Ζεὺς ἐν ἐκείνῃ. Ἐπεὶ δὲ καὶ τὰς Νύμφας (2) εἶδεν ὁμοῦ συνιούσας, ἠσθέλο ἀπόλλα τὸν δόλον, καὶ τῷ ἐκείνων ἀριθμῷ πρόσεχώρησε. Φεῦ (3)! πόσον τι δυσχερές ἐστι τῷ προσώπῳ τὸ πλημμέλημα μὴ ἐκφαίνειν! Μόλις τῆς γῆς τοὺς ὀφθαλμοὺς αἴρει, καὶ οὔτε οὖν, ὡς τὸ πρόσθεν (4), συνήπλελο παρὰ τὴν πλευρὰν τῇ θεῷ, οὔτε πρώτη παλὸς ἦν τοῦ τάλμαλος· ἀλλὰ σιγᾷ, καὶ τῷ ἐρυθήματι σύμβολα τῆς ἀδικηθείσης αἰδοῦς δίδωσι. Κἂν εἰ μὴ τοῦτ' εἶχεν ἡ Ἄρτεμις ὅτι παρθένος ἦν αἰσθέσθαι (5)· μυρίοις δ' ὅμως αἱ Νύμφαι λέγλιαι τοῦ πάθους αἴσθησιν εἰληφέναι. Ἐννάτῳ μὲν δὴ κύκλῳ τὰ τῆς σελήνης διανίσιαλο κέρλα (6), ἡνίκα πρὸς θήραν (7) ἡ θεὸς, τῇ τοῦ ἀδελφοῦ φωνῇ ἀσθενήσασα, καλὰ τὸ (8) ψυχρὸν ὥρμησε νέμος, ὅθεν μορμύρων ῥύαξ ἦει, καλατέλριμμένην κυλίων ψάμμον. Ὡς δὲ τὸν τόπον ἐπήνεσεν, ἥψαλο ποδὶ τῶν ἄκρων ὑδάτων· καὶ δὴ καὶ ταῦτ' ἐπαινέσασα, « Πόῤῥω πᾶς » ἔφη « νῦν » ἐστί διαλνώμων· γυμνὰ τὰ σώμαλα καθῶμεν εἰς τὰ » ῥεῖθρα δὴ ταῦτα. » Ἠρυθρίασε (9) πρὸς ταῦτα ἡ

(1) B, ταῦτα male, pro ταύτην.
(2) B, Μούσας.
(3) A, εὖ.
(4) A, τὸ πρῶτον.
(5) Μεθέσθαι. Sed locus valde est turbatus, et sic, puto, refingendus: κἂν, εἰ μὴ ὅτι παρθένος ἦν, τοῦτ' εἶχεν Ἄρτεμις αἰσθέσθαι. Ovidius: « Et, nisi quod virgo » est, poterat sentire Diana Mille » notis culpam: Nymphæ sensisse » feruntur. » Et vides Plan. distinxisse latina aliter, nec melius.
(6) A, κέρα. Cf. pag. 26.
(7) Habuit Planudes lectionem *venatu*, non *venatrix*.
(8) Malim κατὰ π.
(9) Codd. ἠριθείασι.

Παῤῥασίς. Πᾶσαι μὲν οὖν καταλίθευλαι τὰς ἐσθῆτας, μόνη δὲ ϖερὶς μέλλησιν ἔρχελαι, καὶ οἱ ἐνδιαζούση (1) ἡ ἐσθὴς ἀπεδύθη· ἧς καλαλεθείσης, σὺν γυμνῷ τῷ σώματι τὸ πάθος ἐφάνη. Ἐμβρονληθείση δὲ οἱ καὶ χερσὶ τὴν γαστέρα καλύπλειν ἐθελούση, « Ἴθι (2) ϖόῤῥω ἐνθένδε, » εἶπεν ἡ Κυνθία » καὶ τὰς ἱερὰς μὴ χραῖνε πηγάς· » καὶ τῆς ἰδίας ἐκέλευσεν ἀποχωρεῖν ὁμηγύρεως.

Ἡσθέλο δὲ καὶ τοῦ Ὑψιβρεμέτου πάλαι τοῦτόγε ἡ σύζυγος, ἀνεβάλετο δέ γε τὴν τιμωρίαν ἐπὶ τὸν ϖερσήκονλα χρόνον τοῦ τόκου· οὐδὲν γὰρ ἦν ἕτερον τῆς ἀναβολῆς αἴτιον (3). Ἤδη δὲ καὶ ὁ παῖς Ἀρκὰς (ὃν καὶ αὐτὸ ἤλγησεν ἡ Ἥρα) τῆς μοιχαλίδος γεγένηλαι. Ἐπὶ τούτῳ δὲ ὁμοῦ τοῖς ὄμμασι καὶ τὴν διάνοιαν ἐπὶ τὸ δεινότερον διασῤῥέψασα, « Τοῦτο δῆλον ὡς ἐλείπετο, » μοιχαλὶς, » εἶπεν « ὡς ἂν ἔγγυος γένοιο, καὶ ἡ ϖερὶς » ἐμὲ ὕβρεις τῷ τοκέῳ γνωσθείη, καὶ τοῦ ἠμελέρου » Διὸς ἐμμάρτυρον εἴη τὸ αἶσχος. Ἀλλ' οὐκ ἀτιμωρηλὶ » ταῦτα διοίσεις. Ἀφαιρήσομαί σε τὸ κάλλος, δι' » οὗ σαυλῆ καὶ τῷ ἠμελέρῳ συζύγῳ οὐ καθ' ὥρην (4) ἤρε» σας. » Εἶπε, καὶ, ἀνίκρυ καλὰ μέτωπον τῶν τειχῶν λεξαμένη, ἐσλόρεσε ϖρηνῆ καλὰ γῆς. Ἡ δ' ἱκετεύουσα τὰς χεῖρας ἐνέτεινε, καὶ οἱ βραχίονες ἠρξανλο λάχνῃ μελαίνῃ ἐπιφείσσειν (5), κάμπλεσθαί τε αἱ χεῖρες καὶ ὄνυχας αὐξάνειν γαμφοὺς (6), καὶ τῇ τῶν ποδῶν ἐνερ-

(1) Codices ambo, ἐνδιαζούσῃ.

(2) A, ἴθη: et mox ὑψιβρεμ.

(3) Ovidius: « Distuleratque » graves in idonea tempora pœ» nas. Causa moræ nulla est. » Planudes hic interpretem et commentatorem gessit, non feliciter. *Idonea tempora* græce dixeris, καιρὸν εὔκαιρον.

(4) B, καθ' ὥρας.

(5) B, ἐπιφίσσειν.

(6) Forte, εἰς ὄνυχας αὐξ. γ. Ovidius: « aduncos crescere in » ungues. »

γεία χρῆσθαι, καὶ τὸ τῷ Διὶ περὶν ἐπαινεθὲν σῶμα δυσειδὲς παλαιεῖ (1) χάσμαλι γίνεσθαι. Ὡς ἂν δὲ μὴ δείσεις καὶ ἱκεσίας ῥήμαλα τὴν ψυχὴν κάμψειαν, καὶ τὸ δύνασθαι λαλεῖν ἀποσυλᾶται· φωνὴ δ' ὀργίλος καὶ ἀπειλῆς πλέως καὶ φόβου βεβληχώδους ἐκ φάρυγος φέρεται. Ὁ πρότερον δὲ νοῦς μένει καὶ ἄρκλῳ γενομένῃ συμπαρεδρεύει· καὶ, συνεχεῖ σπαραγμῷ τὴν ἑαυτῆς ἀσίαν μαρτυρομένη, ὁποιασδήτινας χεῖρας εἰς οὐρανὸν τείνει καὶ τοὺς ἀστέρας, καὶ τὸν Δία ἀχάριστον, μὴ δυναμένη λέγειν, αἰσθάνεται. Ἆ! ποσάκις μόνη μὴ τολμῶσα καθεύδειν ἐν λόχμῃ (2), περὶ τῶν οἴκων καὶ τῶν περὶν ἰδίων ἀγρῶν, ἐπλανᾶτο! Ἆ! ποσάκις ἐν ὄρεσι ταῖς ὑλακαῖς τῶν κυνῶν ἐσοβήθη, ἡ κυνηγὸς τε τῷ φόβῳ τῶν κυνηγετούντων δείσασα ἐδραπέτευσε! Πολλάκις ἐκρύβη θῆρας ἰδοῦσα, οἷαπερ ἐπιλαθομένη τί ποῖ' ἂν εἴη, καὶ ἔφευξεν ἄρκλος ἐν ὄρεσιν ἄρκλους ἐωρακυῖα, ἐφοβήθη τε λύκους, εἰ καὶ τὰ μάλιστα ὁ πατὴρ ἦν ἐν ἐκείνοις.

Ἰδοὺ δὲ καὶ ὁ Λυκαόνειος γόνος Ἄρκας (3), τὴν τεκοῦσαν ἀγνοῶν, πάρεστι, τρὶς πέντε (4) φέρων ἐκ γενετῆς ἐνιαυτούς. Ἐν ὅσῳ δὴ θῆρας διώκει καὶ ἐπικαίρους δρυμοὺς ἐπιχρίνει, καὶ πλεκταῖς ἄρκυσι (5) τὰς Ἐρυμανθίδας περίεισι λόχμας, τῇ μητρὶ περιτυχάνει. Ἡ δ' ἔστιν τὸν Ἀρκάδα θεασαμένη, καὶ γνωριζούσῃ τοῦτον ἦν ἐοικυῖα· ὁ δὲ φεύγει, καὶ, ἀμεταθέτους ὀφθαλμοὺς ἐπ' ἐκεῖνον διηνεκῶς ἔχουσαν ἀγνοῶν, ἐκπεφόβη-

(1) A B consentiunt in πλαπύ. Male Planudes Arcadi epithetum tribuit quod erat matri dandum.
(2) B, λόχμῳ.
(3) Ovidius: « Lycaoniæ proles ignara parenti Arcas adest. »
(4) Codd. τρεῖς π. Cf. p. 112.
(5) B, ἄρκυσι.

ται, καὶ φεύγει δὴ (1) τὸ ἐγγύτερον προσιέναι· ἤδη καὶ ὀλεθρίῳ βέλει τὸ στῆθος ἐκείνης ἔμελλε πλήξειν, ἀλλ' ἀνέκοψεν (2) ὁ Ζεῦς τοῦτο, καὶ τούτοις ἐπίσης καὶ τὸ μῦσος ἐξαίρει, καὶ, ταχινοῖς ἀνέμοις ἁρπάσας, δι' ἀέρος τῷ οὐρανῷ κατεστήριξε, καὶ γειτονοῦντα τετέλεκεν ἄστρα.

Ἐφλέγμαινε τοίνυν ἡ Ἥρα, τῆς ἀντιζήλου μεταξὺ τῶν ἄστρων λαμψάσης, καὶ πρὸς τὴν πολιὰν κατεπήδησεν ἐν τοῖς ὕδασι Τηθὺν, Ὠκεανόν τε τὸν γέροντα, ὧν τὸ σεβάσμιον πολλάκις τοὺς θεοὺς ἐδυσώπησε· καὶ τὴν τῆς πορείας αἰτίαν πυνθανομένοις διεξήει· « Ζητεῖτε » τί ποθ' ἡ τῶν θεῶν δέσποινα ἐκ τῶν αἰθερίων δεῦρο » πάρειμι θάκων (3); Ἀντ' ἐμοῦ νῦν ἄλλη τὸν οὐρανὸν » ἔχει. Ψεύδομαι, εἰ μὴ, τῆς νυκτὸς σκοτεινὸν τελεσά- » σης τὸν κόσμον, τιμηθέντας ἀστέρας προσφάτως κατ' » ἄκρον τὸν οὐρανὸν, πληγὰς ἐμὰς, ὄψεσθε, ἔνθαπερ » κύκλος ὕστατος τὸ τοῦ ἄξονος ἔσχατον τὴν περιοχὴν » βραχύτατος περιθέει. Ἆρ' οὖν ἔστι τις ὃς οὐκ ἂν » ἐθελήσειε τὴν Ἥραν λυπεῖν, ἢ καὶ λυπήσας δείσαι, ἢ » μόνη βλάπτουσα ὠφελῶ; Ὦ ἐγὼ, οἷον ἔδρασα! » Πόσον ἡ ἡμετέρα δυναστεία ἐστὶ μεγάλη! Ἄνθρωπον » μὲν ἔγωγ' εἶναι κεκώλυκα, ἡ δὲ θεὸς γέγονεν. Οὕτως

(1) B, δέ. Pag. 52, ad N. 153, A, μετὰ δὴ, quod monere neglexi.

(2) A, ἐνέκοψιν.

(3) A, θάκων δέ. B, θώκων. Prætuli θάκων, ut Planudea oratio aliquid haberet ἀττικωτέρου. Eadem permutatio vocum θάκων et θώκων obtinet in Nubibus 991. Editiones Frischlini, Kusteri, Burmanni, Brunckii, θακῶν exhibent, prava toni notatione, aitque Brunckius se in codd. quinque θωκῶν invenisse. Sed vix ipsi credo. Compendium syllabæ ων pro accentu circumflexo forsan habuit. Ipse in codice A θακῶν primum legere mihi videbar; et sic prave scripsissem, ni varians vox, θώκων, distincte exarata errantem retraxisset.

» ἐπιτίθημι δίκας τοῖς ἀδικοῦσιν ἐγὼ, οὕτω μεγάλα τὰ
» τῆς ἠμελέσας ἐξουσίας ἐστίν. Ἀνανεωσάτω δὴ τὴν
» σελέσην μορφὴν, καὶ τὸ θήρειον σέσωπον ἀποξυ-
» σάτω, ὃ καὶ σέσθεν ἐπὶ τῇ Ἀργολικῇ Φορωνίδι
» πεποίηκε. Τί δή ποτε οὐκ, ἐκβαλὼν τὴν Ἥρην, αὐτὴν
» ἀγέλαι καὶ τῷ ἐμῷ καθιδρεύει θαλάμῳ, καὶ λαμ-
» βάνει (1) πενθερὸν τὸν Λυκάονα; Ἀλλ' ὑμεῖς, εἴπερ
» ἡ ὀλιγωρία τῆς ὑμελέσας τεθρίμου ἀδικουμένης
» ὑμῶν ἄπιστα, τοῦ κυανέου πελάγους τὴν Ἄρκτον
» ἀπείργετε, καὶ τοὺς ἐπὶ μισθῷ πορνείας εἰς οὐρανὸν
» ἀναληφθέντας ἀστέρας (2) ἀπωθεῖτε. Μή ποθ' ἡ μοι-
» χαλὶς ἐν καθαροῖς ὕδασι βάπτηται. »

Τούτοις οἱ θεοὶ τῆς θαλάσσης ἐπένευσαν. Ἡ δέ γε Κερνία δίφρῳ καταλλήλῳ ποικίλοις ταῶσι τὴν ὡς τὸν διαφανῆ αἰθέρα ἐστείλατο, ποικίλοις ἐξ ὑπογυίου ταῶσι, τοῦ Ἄργου διεργασθέντος, ὥσπερ ἐξ ὑπογυίου καὶ σὺ γ', ὦ λάλε κόραξ, τὸ σεὶν λευκὸς ὤν, ἐξαπίνης εἰς μελαίνας μεταβέβλησαι σιέρυγας. Ἦν γὰρ τὸ σέσθεν ὁ ὄρνις οὗτος σιερὰ λευκὰ φέρων ὡς ἀπ' ἀργύρου, ὡς καὶ πεσιστερᾶς ἅλαις ἐκλὸς σπίλου παντὸς ἐξισοῦσθαι, μηδὲ χησὶν εἶκειν, τοῖς τὸ Καπιτώλιον ἐγρηγορυίᾳ φωνῇ φυλάξασιν (3), ἢ τῷ φιλοῦντι τοὺς πολεμοὺς κύκνῳ· γλῶσσα δὲ οἱ σερὸς βλάβης γέγονε. Γλώσσης λάλου τοῦτο ποιούσης, ὃ σεὶν λευκὸν ἦν, χρῶμα νῦν τῷ λευκῷ ἐστὶν ἀντικείμενον.

Περικαλλεστέρα καὶ πᾶσαν Αἰμονίαν οὐδὲ μία (4)

(1) B, λαμβάνειν. A, λαμβάνειν πενθερόν.
(2) A, ἀειστέρας.
(3) Scribere debuit, forsan scripsit, φυλάξουσιν: *servaturis* recte apud Ovidium.
(4) B, οὐδεμία. : cf. p. 10. P. 65, ad 415, 416, B bis οὐδμία.

γεγενεν ἢ ἡ Λαρισσαία Κορωνίς. Ἤρεσε δέ σε, ὦ Δελφικὸ θεὲ, ἢ ὅτι σώφρων ἦν, ἢ ὅτι ἀφύλακτος (1). Ἀλλ' ἤσθετό γε μοιχείας ὁ Φοίβειος (2) ὄρνις ἐπ' αὐτῇ· ἵνα δὲ δὴ τὸ κρυπτόμενον ἀνακαλύψειε πάθος, μηνυτὴς ἀπαραίτητος τὴν πρὸς τὸν δεσπότην ὁδὸν συνέτεινε. Τοῦτον δ' ἡ λακέρυζα κορώνη κινουμέναις διώκει πτέρυξιν, ὡς ἂν ἐξετάσειε τὸ πᾶν. Πυθομένη δέ γε τὴν τῆς ὁδοῦ πρόφασιν, « Οὐ λυσιτελούσης ἔχῃ (3) πορείας » εἶπε

(1) Puto Planudem scripsisse ὅτι, non ὅτι. Ovidius : « *Dum* vel » casta fuit, vel inobservata. » Sæpissime librarii ὅτι et ὅτι inter scribendum confuderunt : cf. not. ad Phil. Her. p. 340 ; ad Greg. Cor. p. 491. Eunapio p. 6, 6, fere restituerim ὅτι pro ὅτι.

(2) B, φοῖβος. *Ales Phœbeius.*

(3) Codices, ἔχει. Hæc scribendi ratio non Planudi convenit. Merus putus est iotacismus, quo fit ut η et ει sexcenties a librariis fuerint permutata et hodie adhuc a Græcis permutentur. In Demosthenis oratione in Neæram nuper auctor fui ut ter dativi pura forma Εὐκράτει pro Εὐκράτῃ restitueretur. Plato Alcib. I, §. 6, εἰ χαλεπὸν δοκεῖ τὸ ἀποκρίνασθαι τὰ ἐρωτώμενα ; Velim, ἦ χαλ., interrogative. Nec aliter §. 12, pro, εἰ τὸ ὧδε λέγεις τὸ δικαίως ἢ ἀδίκως, reponi velim, ἦ. E notula Creuzeri ad Procl. in Alcib. p. 169, disco in priori loco Buttmann. scripsisse ἢ, eadem, puto, ratione atque ego, nempe interrogativa ; nam de accentu voculæ η in interrogatione non omnino inter grammaticos constat. In Notit. MSS. t. X, part. II, p. 154, ἦ interrogative scripsi ; sed et ἢ cum interrogatione ibid. p. 70 scripseram. Supra p. 11, codicum scripturam ἢ in interrogatione reliqui, et infra relinquam. Res est quo ad tonum tenuissima, sed ad sensum efficacissima. Eadem esse videtur ratio loci alius Platonici Apol. 27 : τί δείσας, ἢ μὴ πάθω τοῦτο οὗ Μέλιτός μοι τιμᾶται... Scribo : τί δείσας ; ἢ μὴ πάθω—τιμᾶται... ; Eadem permutatio in causa fuit cur toties δὴ et δεῖ a librariis fuerint confusa : cf. quæ monui in Notit. MSS. t. X, part. II, p. 146 ; Fischerum ad Criton. §. 7. n. II ; Jacobsium ad Anthol. Palat. p. 66 ; extr. Arrianus Tact. p. 5 : ὡς οὖν εὐγνωστότατα ἔσται τοῖς ἐντυγχάνουσι τά τε πράγματα καὶ τὰ ονόματα, ἐνθένδε τοῦ λόγου ἄρξομαι. Ὅτι δεῖ τῶν παρασκευῶν τῶν εἰς τὸν πόλεμον ἡ μέν τις κατὰ γῆν τυγχάνει οὖσα, ἡ δὲ διὰ θαλάττης. In his nulla est syntaxis. Repono : ἐνθένδε τοῦ λόγου ἄρξομαι, ὅτι δὴ τῶν παρασκευῶν τῶν εἰς πόλεμον κ. τ. λ.

« μὴ δ' ὀλιγώρως ἔχε τῶν τῆς ἐμῆς γλώσσης βουλευ-
» μάτων. Τίς (1) σοῖ' ἐγενόμην καὶ τίς νῦν εἰμὶ σκόπει.
» Καὶ τοὐπίλιμιον ζήτει (2)· εὑρήσεις δὲ καὶ βλαβερόν
» μοι γενομένην τὴν πίστιν. Καλὰ γάρ τινα καιρὸν ἡ
» Παλλὰς τὸν Ἐριχθόνιον, δίχα μητρὸς υἱὸν γεννηθέντα,
» ἐν κίστῃ κατέκλεισεν (3) Ἀκταίων θλακείσῃ λύγων,
» καὶ τρισὶ παρθένοις τοῦ διφυοῦς φύσαις (4) Κέκροπος
» φυλαχθησόμενον παρεδέδωκε, τί σοὶ δ' ἂν ἐν-
» τὸς (5) εἴη μηδαμῶς ἐξειποῦσα, καὶ νόμον δέδωκε τοῦ
» μὴ τἀκείνης ἰδεῖν ἀπόῤῥητα. Ἐγὼ δ' ἐν κούφοις κα-
» λυπτομένη φύλλοις, ἀπὸ δασείας θλελέας ἐθεώρουν
» τί σοὶ' ἂν δράσαιεν. Αἱ δύο μὲν οὖν ἐκτὸς δόλου
» τὴν παρακαταθήκην ἐφρούρουν, ἥ τε Πάνδροσος καὶ
» ἡ Ἕρση· μία δ' ἐκ τούτων Ἀγλαυρος εὐλαβουμένας
» κελεῖ τὰς ἀδελφὰς, καὶ τοὺς δεσμοὺς τῇ χειρὶ
» λύει, καὶ τὸ βρέφος ἑνὸς θεωροῦσι καὶ περὶ τοῦτο
» ἐσπειραμένον δράκοντα. Αὐτίκα δ' ἐγὼ τὰ πρα-
» χθέντα τῇ θεῷ ἀναφέρω· ἀνθ' ὧν τοιάδε μοι χάρις
» ἀποδίδοται, τουτέστιν ὡς λεγόμην (6) τῆς τῆς (7)
» Ἀθηνᾶς ἀπελαμένη ἐφορείας, καὶ δούλερα τατ-

(1) B, τί. Malui ex A scribere bis τίς, quam τί—τίς.

(2) Ovidius, *meritumque require.* Planudes αἰτίαν potius quam ἐπτίμιον debuit scribere.

(3) B, ἐν κίστῃ κατέλυσεν. A, κατέκλυσεν. Libro XIII, 703, κύσαι scriptum est pro κίστην.

(4) Codd. φύσας sine sensu. Ovidius: «gemino de Cecrope *natis.*»

(5) B, ἐκτός. Atque sic iterum infra versu 560. Sic confunduntur ἔξω et εἴσω: cf. notas ad Nicetam, pag. 281.

(6) Λεγόμην abest a codice B.

(7) Hanc non suavem articuli similis iterationem illustravi et firmavi in Notit. MSS. t. XI, part. II, p. 22. Cæsaris interpres Græcus, VII, 56, sic τὸ τὸ iteravit. Hippocrates de Arte, §. 14, Lind. οἱ μὲν οὖν μεμφόμενοι τοῖσι τοῖσι κεκρατημένοισι μὴ ἐγχειρέουσι. Adde nostrum infra ad VIII, 806, et XV, 173, ubi rursus τῆς τῆς.

» τομένη μελὰ τὴν γλαῦκα. Ἡ ἐμὴ τιμωρία πάνλας
» ὄρνις οἵα τ' ἐσλὶ (1) παραινέσαι μὴ τῇ φωνῇ κινδύ-
» νους ϑηρᾶσθαι. Καίτοιγε οὔτ' αὐθαίρεῖον, οὔτε τινὸς
» ἥδε με δεομένην ἐζήτησε· κἂν τοῦτ' αὐτὸς παρὰ τῆς
» Παλλάδος ἐρευνᾷν ἐθελήσης, εἰ κἀ ὠργισλαί μοι,
» ἀλλ' οὖν οὐδ' ὠργισμένη τοῦτ' ἂν ἀρνήσαιτο. Καὶ γὰρ
» ἐπίσημος ἐν τῇ Φωκαϊκῇ με γῇ Κορωνεὺς (γνωσλὰ
» λέγω) γεγέννηκε, βασιλική τε παρθένος ἐγεγόνειν· κἀ
» με πλούσιοι μνησίῆρες (μή με περιφρόνει) ἐζήτουν.
» Ἐλυμήνλο δέ μοι τὸ κάλλος. Καὶ γὰρ διὰ τῆς ἠϊόνος
» ἀνειμένῳ βήμαλι, καθάπερ εἴωθα, ἐπ' ἄκρας τῆς
» ἄμμου διέρειδον· εἶδε δέ με κἀ ἐξεκαύθη ὁ τοῦ πελά-
» γους ϑεός. Ὡς δ' ἱκέλευων μάτην τὸν χρόνον κἀ τοὺς
» μειλιχίους λόγους ἀνάλωσε, βίαν πρασάγει, κἀ
» διώκει. Φεύγω δ' ἐγὼ, κἀ, τὴν σλεγανὴν ἠϊόνα λι-
» ποῦσα, κλὰ τὴν μαλθακὴν ἄμμον πανλάπασι
» κάμνω. Ἐνθένδε κἀ ϑεοὺς κἀ ἀνθρώπους ἐπικαλοῦ-
» μαι· εἰς οὐδένα δὲ τῶν ἀνθρώπων ἡ φωνή μοι ἐξίκελο.
» Κεκίνηλο (2) δ' οἴκλῳ παρθένος ὑπὲρ παρθένου, κἀ
» βοήθειαν προσενήνοχεν. Ἔτεινον εἰς οὐρανὸν βραχίο-
» νας, κἀ οἱ βραχίονες κούφοις πλεροῖς μελαίνεσθαι
» ἤρξανλο· ἀποθέσθαι τὴν ἐσθῆτα τῶν ὤμων ἐπειρώμην,
» κἀκείνη πλερὰ γέγονε, κἀπὶ τὸ δέρμα ῥίζας βαθείας
» ἐπήξατο· κόπλειν γυμνόν μοι τὸ σέρνον παλάμαις
» ἐπεχείρουν, ἀλλ' οὐτ' οὖν ἤδη παλάμας, οὔτε γυμνὸν
» ἔφερον σέρνον· ἔτρεχον, κἀ οὐκέθ' ὡς τὸ πρόσθεν

(1) Codd. οἷά τ' ἐστι. Sphalma hoc est perpetuum : cf. p. 17. Exempla vide in notis ad Epimerismos Herodiani : adde monita ad Aristæneti Epistolas, libro II, epist. 5.

(2) A, κεκίνοπτο. B, κεκίπτο. Statim B, ὑπὸ pro ὑπέρ.

[redacted]

» τοὺς πόδας ἡ ἄμμος ἐπεῖχεν, ἀλλ' ἐπ' ἄκρας ᾐρόμην
» τῆς γῆς, αὐτίκα δ' ἀρθεῖσα διαέριος (1) φέρομαι, καὶ
» συνόμιλος ἄμεμπτος τῇ Ἀθηνᾷ παραδίδομαι. Τί δ'
» ὅμως τοῦδ' ὄνησις, εἰ δεινῷ ἁμαρτήματι ὄρνις ἡ
590 » Νυκτιμένη γενομένη τὴν ἐμὴν διεδέξατο τιμήν; Ἢ
» ἥκιστά σοι τόδ' ἤκουσται γνωριμώτατον πρᾶγμα
» κατὰ πᾶσαν τὴν Λέσβον; Τὴν τοῦ πατρὸς μολύ-
» νασα (2) κοίτην Νυκτιμένη, ὄρνις μὲν διὰ ταῦτα δὴ
» γενομένη, ἀλλ' εἰσέτι συνεγνωκυῖα ἑαυτῇ τὸ πλημ-
» μέλημα, καὶ ἐπιμιξίας ἀνθρώπων καὶ τὸ φῶς φεύγει,
595 » καὶ τῷ σκότει τὴν αἰσχύνην καλύπτει, καὶ πρὸς
» ἁπάντων ἐκ παντὸς ἐλαύνεται τοῦ ἀέρος. » Τοιαῦτα
λεγούσης, « Σοι » εἶπεν, « ὁ κόραξ, αἱ ἀνακλήσεις αὗται
» πρὸς κακοῦ εἶεν εὔχομαι· ἡμεῖς δὲ πᾶσαν διαπτύο-
» μεν κληδόνα κενήν· » οὐδ' ἧς ἤρξατο μεθίεται πορείας,
καὶ τῷ δεσπότῃ διέξεισιν Αἱμονίῳ νέῳ συγκαθεύδουσαν
600 τὴν Κορωνίδα ἰδεῖν. Αὐτίκα τοίνυν ὁ ἀπὸ δάφνης κατέρ-
ρευσε στέφανος, τοῦ τῆς ἐρωμένης πταίσματος ἀκου-
σθέντος, τό τε πρόσωπον τῷ θεῷ καὶ τὸ πλῆκτρον καὶ
τὸ χρῶμα ἐπίσης κατέπεσε, καὶ, τῆς ψυχῆς δὴ τῷ τῆς
ὀργῆς ὄγκῳ ζεούσης, ὅπλα λαμβάνει τὰ συνήθη, καὶ
605 καμφθὲν ἀπὸ κεράτων τόξον ἐντείνει, καὶ τὸ τῷ ἐκείνου
στήθει τοσάκις συναφθὲν στῆθος ἀφύκτῳ περιπείρει τῷ
βέλει· ἡ δὲ βληθεῖσα στεναγμὸν ἔδωκε, καὶ, τὸν σίδηρον
τοῦ σώματος ἐξελκύσασα, τὰ λευκὰ μέλη φοινικῷ
περιέλουσε λύθρῳ, καὶ εἶπεν· « Ἠδυνάμην σοι, Φοῖβε,
» δίκας ἀποσχεῖν, ἀλλὰ τεκεῖν πρόσθεν· νῦν δὲ κατὰ
610 » ταὐτὸν δύο τεθνηξόμεθα. » Μέχρι τούτων εἶπε, καὶ
ἐξέχεεν ἅμα τῷ αἵματι καὶ ψυχήν· εὐθὺς δὲ τῷ τῆς

(1) B, διαίριος. Mox A, σοι δ' ἥκ. (2) A, μολύνασαν. Cf. n. p. 34, 52.

ψυχῆς ἐρήμῳ νεκρῷ σώματι ψύχος εἵπετο. Ὀψὲ δὲ φεῦ! μεταμέλει τῷ ἐραστῇ τῆς ἀπηνοῦς δίκης, καὶ ἑαυτὸν, ὅτι τε ἤκουσε καὶ ὅτι ἐξεκαύθη, μισεῖ· μισεῖ τὸν ὄρνιν δι' οὗ τὸ πλημμέλημα καὶ τὴν τῆς ὀδύνης αἰτίαν προήχθη μαθεῖν· καὶ νῦν τό τε τόξον καὶ τὰς χεῖρας μισεῖ, καὶ σὺν ταῖς χερσὶν ὡς ἀπερίσκεπτα ὅπλα! τὰ βέλη (1)· τήν τε πεσοῦσαν θάλπει, καὶ, ὑστερήσας (2) τὴν βοήθειαν, ἐπιβάλλεται τὰς Μοίρας νικᾷν, καὶ τὴν ἰατρικὴν εἰς κενὸν μεταχειρίζεται τέχνην. Ἐπεὶ δὲ, μάτην ταῦτα πειράσας, ἑώρακε τὴν πυρὰν ἑτοιμαζομένην καὶ ὑστάτῳ πυρὶ τὰ μέλη καυθησόμενα, τότε δὴ στεναγμοὺς (οὐδὲ γὰρ ἔξεστι τὰ τῶν θεῶν πρόσωπα δάκρυσι βάπτεσθαι) ἀπὸ βαθείας ἐλαυνομένους καρδίας ἀνέδωκεν, οὐχ ἑτέρως ἢ ὡς ὅτε, βοὸς ὁρώσης, τοὺς τοῦ θηλάζοντος ἔτι μόσχου δεξιᾷ (3) παλλόμενος ἀπὸ ὠτὸς πέλεκυς περιφανεῖ ῥιπῇ κοίλους κροτάφους

(1) Interpunctione loco πάθος fere dedi. « Sagittas, *quam* te» meraria tela! » Sed Planudes, puto, illud ὡς languidiuscule posuit, « *tanquam* temeraria tela », ut infra ad *N*. 813, ὡς ἀπεράμονι. Non mihi manes ejus succensebunt, quod versionem fecerim, quam ipse fecit, paulo meliorem. Et languere videtur Orator in Cononiana sic editus et interpunctus, narrationis egregiæ initio : ἐσκήνωσαν οὖν οἱ υἱεῖς τοῦ Κόνωνος τουτουὶ ἐγγὺς ἡμῶν, ὡς οὐκ ἂν ἐβουλόμην· ἡ γὰρ ἐξ ἀρχῆς ἔχθρα καὶ τὰ προσκρούσματ' ἐκεῖθεν ἡμῖν συνέβη. Malim : ἐσκήνωσαν οὖν οἱ υἱεῖς τοῦ Κόνωνος τουτουὶ ἐγγὺς ἡμῶν· ὡς οὐκ ἂν ἠβουλόμην! Quam ex minima illa mutatione vivida micat oratio!

(2) A, ὑστερίσας.

(3) Malim δεξιοῦ, nempe ἀπὸ ὠτὸς δεξιοῦ, ad latina, « *dextra* libratus *ab aure*. » Erravisse videtur interpres. Attamen δεξιᾷ eodem ferme redit. Vide supra notam pag. 60. Statim B, περιφανής. Ovidius, *claro ictu*, quod Planudes non intellexit. Scribere ad sensum debuit εὐήχῳ, vel aliud simile adjectivum. Περιφανὴς correctio esse videtur hominis non inepti, qui, non capiens quid esset *clarus ictus*, voluit malleum esse *clarum* et nitidum. Infra IV, 138, idem ille error erit in eadem illa voce.

[redacted]

διέσχισεν. Ἐπεὶ δ' ἀχάριστα μύρα (1) κατὰ τὸ στῆθος ἐπέχεε, καὶ περιπλοκὰς ἔδωκε, καὶ τὴν ἄδικον πυρὰν συνετέλεσεν ὁ Φοῖβος, οὐκ ἤνεγκεν εἰς τὴν αὐτὴν κόνιν (2) τὸ ἑαυτοῦ σπέρμα πεσεῖν, ἀλλὰ τῆς τε πυρᾶς καὶ τῶν τῆς μητρὸς λαγόνων (3) ἐξήρπασε τὸν υἱὸν, καὶ πρὸς τὸ τοῦ διφυοῦς Χείρωνος ἤγαγεν ἄντρον· τὸν δὲ κόρακα, τῆς ἀψευδοῦς γλώττης ἐλπίζοντα γέρας ἑαυτῷ, ταῖς λευκαῖς συνεξετάζεσθαι κεκώλυκεν ὄρνισι.

Μέτα τοῦτο δ' ὁ ἡμίθηρ ἔχαιρε τῷ ἐκ τῆς θείας φυλῆς τροφίμῳ, καὶ ἥδετο τῷ συγκεκραμένῳ (4) τῇ τιμῇ

(1) Videtur legisse Planudes suo in codice *invisa*, non *injusta*; atque liquidum est legisse *justa*, non *busta*. Equidem cum Gierigio malim *injusta justa*, etsi non parum me moveat Editoris doctissimi sententia, cui *injusta busta* magis placere intelligo. Sed hoc oxymorum *injusta justa* plane est Ovidianum, et tales verborum lusus auctores etiam alii amaverunt, iique Ovidio graviores atque severiores. Exempla protulit aptissima Heinsius ad hunc locum, cujus notatis addesis Ammonium ad Eurip. Hec. 612; interpretes ad Lucian. de Merc. cond. §. 38, quos inter Solanus lectioni *injusta justa* patrocinatur; Kusterum ad Suidæ Ἄδωρα; Stolbergium ad Ajac. p. 182; Barnesium ad Med. 618; ipsum me ad Nicet. p. 330 et 453. Gregorius Naz. Stelit. 1, p. 3, Montac. simili acumine, ἄσοφος, ἵν' οὕτως ὀνομάσω, σοφία: quod accedit ad Horatianum, « *insanientis* dum *sapientiæ* » consultus erro. » Timidior inseruit formulam, ἵν' οὕτως ὀνομάσω, quod soluta scriberet oratione, illudque styli lumen aliquid ποιητικωτέρου habere videretur. Chorus Persarum in cognomine tragœdia, *N*. 685, ἐξέφθινθ' αἱ τρίσκαλμοι νᾶες, ἄναες νᾶες: post quæ lacunam esse putaverim. Ait quidem Pauwius festinantem adesse Darii umbram, quæ canticum interruperit. Sed, quum hæc umbra Æschylo eam introducenti pareret, non credo citius prodiisse quam par fuit: debuit autem chorus δίδυμα ἁμάρτια describere, navium nempe jacturam, peditumque infaustum per Græciam iter, nec in uno, eoque breviter significato, subsistere potuisse videtur.

(2) A, εἰς αὐτὴν κόνιν. B, αὐτὴν κόνην. Inserui articulum. Ovidius: « in cineres *eosdem*. »

(3) B, γονάτων.

(4) A, συγκεκραμμένῳ.

φόρῖω. Ἰδοὺ δὲ καὶ ξανθαῖς ἦλθε κεκλυπτομένη τοὺς ὤμους κόμαις ἡ τοῦ Κενταύρου θυγάτηρ, ἣν δήποτε ἡ Νύμφη Καρύκλη (1), ὀξυτάτου ποταμοῦ τεκοῦσα παρ' ὄχθαις, Ὠκυρόην ἐκάλεσεν. Αὕτη τοίνυν οὐκ ἠρκέσθη τὰς πατρῴας τέχνας μαθεῖν, ἀλλὰ τὰ τῶν Μοιρῶν ἤδεν ἀπόρρητα. Ἐπεὶ δὲ θεοπρόπους μανίας συνέλαβε κατὰ νοῦν, καὶ ἐξεκαύθη τῷ θεῷ ὃν ἐγκεκλεισμένον ἔφερεν ἐν τοῖς στέρνοις, ὁρᾷ τὸ βρέφος, καὶ « Ὦ τῷ κόσμῳ παντὶ » σωτῆρι παῖ », εἶπεν « αὐξάνου· σοὶ γὰρ πολλάκις » τὰ τῶν θνητῶν σώματα χάριτας εἴσεται· σοὶ ψυχὰς » ἀφαιρεθείσας ἀποδιδόναι ἐξέσται· τοῦτο δ' ἅπαξ, » τῶν θεῶν ἀκόντων, τολμήσας, αὖθις δοῦναι δυνηθῆναι » πρὸς τῆς παππῴας κωλυθήσῃ (2) φλογός· καὶ ἐκ » θεοῦ σῶμα γενήσῃ ἄναιμον, θεός τ' αὖ, ὃς ἄρτι » σῶμά γε ἦσθα, καὶ δὶς τὴν σαυτοῦ μοῖραν ἀνανεώσεις. » Καὶ σὺ δ', ὦ φίλε πάτερ, νῦν ἀθάνατός τε καὶ παρὰ » πάντας αἰῶνας διαμένειν τῷ νόμῳ τῆς γενέσεως πρό- » ελθών, τοῦ δύνασθαι θανεῖν εἰς ἔφεσιν ἥξεις (3), ἐπει- » δὰν τῷ τῆς δεινῆς ἐχίδνης αἵματι βασανίζῃ, διὰ » τῶν πληγέντων ληφθέντι μελῶν. Σέ τε ἐξ αἰῶνος οἱ » θεοὶ τὸν θάνατον ποιήσουσιν ὑπομεῖναι (4), καὶ αἱ τρεῖς » ἀδελφαὶ τὰ σὰ νήματα ἀναλύσουσιν. » Ὑπόλοιπόν τι τῶν θεσπισμάτων ἦν ἔτι· ἡ δ' ἐκ βαθέων στενάζει στέρνων, καὶ δάκρυα ἀνασχόντα κατὰ τῶν παρειῶν

(1) Ovidius ex emendatione criticorum hanc Nympham vocat *Chariclonem*.

(2) B, κωλυθείσῃ. A, πρὸς τὰς π. κωλυθείσῃ.

(3) B, ἔξεις. Statim malim βασανίσῃ.

(4) B, σὲ τῆς. Codd. ἀθάνατον, quod correxi. Sed non ausus sum ἐξ αἰωνίου scribere pro ἐξ αἰῶνος. Illud sensus et latina postulant. Planudes credidit forsan verba *ex æterno* idem valere atque *ex æternitate*.

ὀλισθαίνουσι, καὶ οὕτω δὴ ἔφη· « Περικαλαμβά-
» νουσί με αἱ ἐμαὶ μοῖραι, κωλύομαί τε τὸ λοιπὸν φθέγ-
» γεσθαι, καὶ τῆς ἐμῆς φωνῆς ἡ χρῆσις συγκλείεται.
» Οὐκ ἦν ἡ τέχνη τοσοῦδέ μοι τιμήματος, ἢ τὴν τῶν
» θεῶν ὀργὴν ἐπεσπάσατό μοι. Ἤθελον μὴ εἰδέναι τὰ
» μέλλοντα· ἤδη γὰρ τὸ ἀνθρώπειον ὑφαιρούμενον ὁρᾶ-
» ταί μοι τὸ πρόσωπον, ἡ δὲ (1) τροφή μοι εὐδοκουμένη
» ἡ πόα· ἤδη τρέχειν ἐν τῷ πλάτει τῶν πεδίων ὁρμὴ
» γίνεται. Εἰς ἵππον γὰρ καὶ συγγενῆ μεταβάλλομαι
» μέλη· ὅτου δ' ἕνεκεν ὅλη; καὶ γὰρ ὁ παλήρ ἐστί μοι
» διφυής. » Τοιάδε λεγούσῃ τὸ τῆς οἰμωγῆς ἀκροτε-
λεύτιον (2) βραχύ τι συνεῖον ἦν, τὰ δ' ἄλλα ῥήματα
κέχυται· καὶ αὐτίκα οὐτ' οὖν ῥήματα, οὐθ' ἵππου
ταῦτ' ἦχος ἐδόκει, ἀλλ' ἑοικυίας ἵππῳ· καὶ δὴ σαφεῖς
χρόνον μετ' ὀλίγον χρεμετισμοὺς δέδωκε, καὶ πρὸς τὴν
πόαν τὰς χεῖρας ἐκίνησε. Τότε τοίνυν οἱ δάκτυλοι συ-
νίασι, καὶ τοὺς πεντασκοὺς (3) ὄνυχας συνάπτει διηνεκεῖ
κέρκῳ κούφη τὸν δρόμον ὁπλή· ἐπιδίδωσί τε καὶ τὸ
τοῦ στόματος καὶ τοῦ τραχήλου διάστημα, καὶ τὸ
πλεῖστον μέρος τῆς μακρᾶς ἐσθῆτος οὐρὰ γέγονεν· ὡς
δ' ἀρρύθμιστοι αἱ τείχες περὶ τὸν τράχηλον ἐκείνῳ,
εἰς δεξιὰν ἀπεχώρησαν χαίτην· ὁμοῦ δ' ἥ τε φωνὴ
καὶ τὸ πρόσωπον καινὰ γέγονε. Καὶ τὸ τέρας ὄνομα
αὐτῇ δέδωκεν.

Ἐθρήνει τοίνυν ὁ Φιλλύριος ἥρως, καὶ τὴν σὴν συμ-
μαχίαν, ὦ Δελφικὲ θεὲ, μάτην ᾔτει (4). Οὐδὲ γὰρ

(1) Forte ἤδη. Latina et hic habent *jam*.

(2) B, ἀκροπλεύπον, nempe ἀκροπλευπᾶον.

(3) B, πρυπαδικούς: mox ἀριθμοστι. A, statim, αὐτὴ.

(4) Deerat μάτην, quod addidi. Nam latinum *frustra* omnino

τὰς τοῦ μεγάλου Διὸς ἐνιολὰς ἱκανὸς ἦσθα παρειτεῖσθαι, ἢ, εἰ παρειλεῖσθαι ἱκανὸς ἦσθα, τηνικαῦτα παρὼν ἐτύγχανες. Ἦλιν γὰρ καὶ τὰ Μεσήνια (1) καλῴκεις πεδία.
Ἐκεῖνος ἦν ὁ χρόνος, καθ' ὃν σε ποιμενικὸν ἔσκεπε νάκος, καὶ φορβίον ἦν καλαῦροψ ἀγειελαίου τῇ δεξιᾷ, τῇ δ' ἑτέρᾳ σύριγξ ἀφ' ἑπτὰ δονάκων τὴν σύμπηξιν ἄνισος. Ἐν ᾧ δέ σοι διὰ φρενίδος ἦν ἔρως καί σε ἡ σύριγξ ἔθελγεν, αἱ βόες ἀφύλακτοι λέοντας πρὸς τοὺς Πυλίους (2) ἀγροὺς ἀποχωρῆσαι. Ταύτας δ' ἰδὼν ὁ τῆς Ἀτλαντίδος Μαίας υἱὸς, ἀπαγαγὼν τῇ ἰδίᾳ τέχνῃ, καὶ τὴν λόχμην κρύπτει. Τῆς μέντοι κλοπῆς οὐδεὶς ἤσθετο, ὅτι μὴ ὁ καθ' ἑκεῖνον τὸν ἀγρὸν ἐπίσημος γέρων· Βάττον τοῦτον οἱ γείτονες ἀγροὶ προσηγόρευον. Οὗτος δὴ τοὺς τοῦ πολυκλήμονος Νηλέως δρυμοὺς καὶ τοὺς χλοεροὺς νομοὺς καὶ τὰς τῶν εὐγενῶν ἵππων ἀγέλας φυλάσσων καὶ ἐπισκοπῶν ἦν. Τοῦτον ὁ Ἑρμῆς ἔδεισε, καὶ, μειλιχίῳ δεξιώσει φενακίσας, εἶπεν· « Ὄσλις εἴ ποτε, ὦ ξένε, » εἴ πού τις ταύτην ἀναζητεῖ τὴν ἀγέλην, ἔξαρνος γίνου » μὴ θεάσασθαι. Ὡς ἂν δ' ὑπὲρ τοῦ ἔργου χάριν ἐκ-

fuit vertendum. Librarii, aliud agentes, vocem necessariam omiserant, vel interpres ipse. Quidni ? Immeriti sæpe antiqui vapulant librarii, ut nunc typographi, et delicta auctorum luunt.

(1) B, Μεσσήνια. In A, alterum σ videtur fuisse inter lineas scriptum e correctione. Præstat illud omittere. Nam fere omnes in talibus ab altero σ abstinent. Apud Platonem Alcib. I, 38, Μεσσήνιοι apte editur : cf. ibi Gottleber., et quæ monui ad Nicetam p. 214, ubi Ναρκίσου. Similia notavi ad Philostr. Her. p. 515. Adde Casaubon. ad Persii Prol. p. 9, ubi antiquissimæ membranæ *Parnaso* exhibent, et Heinsium ad Virg. E. x, 11, ubi in libris melioribus *Parnasi* legitur ; quem vide ad Ovid. M. III, 343 ; collato Brunckio ad Ranas 947, ubi Παρνασσῶν. Attamen infra III, 346, Νάρκισσος, non Νάρκισος. Sed in talibus librarii et auctores ipsi non sibi constant.

(2) B, πηλίους.

» Ἴσαιμέν σοί τινα, βροβεῖον τήνδε τὴν λευκὴν δάμα-
» λιν δέχου· » καὶ δέδωκεν. Ὁ δὲ λαβὼν τοιάσδε φωνὰς
ἀπεδίδου· « Ὦ ξένε, ἀσφαλὴς (1) ἴθι. Πρότερον ἂν ὁ λίθος
» ὅδε τὴν σὴν κλοπὴν φθέγξαιτο· » καὶ τὸν λίθον ἔδειξε.
Πλάτταιαν τοίνυν ὁ τοῦ Διὸς παῖς ἀπίεναι· παροχρῆμα
δ' ἐπάνεισι, καὶ, μεταλλάξας ὁμοῦ τῇ φωνῇ καὶ τὸ
εἶδος, εἶπεν· « Ἀλήθεια, εἴ πού τινας εἶδες καλὰ ταύτην
» τὴν ὁδὸν βοῦς ἰούσας, συνάρπαγε, κἀπὶ τῇ κλοπῇ τὴν
» σιγὴν ἀπόθου· καί σοι δοθήσεται δάμαλις ὁμοῦ συν-
» ημμένη τῷ ἑαυτῆς ταύρῳ. » Ὁ δὲ δὴ γεραίτερος, δι-
πλοῦν τοῦ μισθοῦ γεγονότος, « Ὑπὸ τὸ ὄρος » εἶπεν » ἦσαν
» ἐκεῖνο (2). » Ἀνεκάλχασεν ὁ Ἀτλανταιάδης, καὶ « Ἐμοὶ
» ἐμὲ παρδίδως, ἄπιθι », εἶπεν· « ἐμοὶ ἐμὲ παρδίδως. »
Καὶ τὸ ἐπίορκον σίδηρον εἰς ἀπότομον μέλεσι λοιχείωσε
λίθον, ὃς καὶ νῦν ἔτι λέγεται Βάσανος· καὶ τῷ μηδαμῶς
ὑπευθύνῳ λίθῳ ἡ παλαιὰ παροιμία.

Ἐνταῦθεν οὖν ἑαυτὸν ἐξάρας ἴσαις πτέρυξιν ὁ τὸ κη-
ρύκιον φέρων Ἑρμῆς, τούς τε Μουνυχίους ἐπτάμενος
ἀγροὺς ἀπεσκοπεῖτο, καὶ τὴν τῇ Ἀθηνᾷ χαρίεσσαν γῆν,
καὶ τὸ τοῦ καλῶς γεωργουμένου Λυκαίου ἄλσος. Καθ'
ἑκείνην δὲ, τυχὸν οὕτω, τὴν ἡμέραν ἐξ ἔθους αἱ σεμναὶ
παρθένοι, τῆς κορυφῆς ὑπερθεῖσαι, πρὸς τὴν τῆς Παλ-
λάδος σεπτὴν ἀκρόπολιν ἱερὰ καθαρὰ κανοῖς ἔφερον
ἐσταλμένοις. Ταύτας δ' ἐπανιούσας ἐκεῖθεν ὁ πτερωτὸς
εἶδε θεός· καὶ τὴν πτῆσιν οὐκ ἐπ' εὐθὺ ποιεῖται, κύκλῳ
δέ γε περίεισιν. Ὡς δ' ἁρπακτικώταλος ὄρνις ἰκτῖνος ἔνθεν
ἀθρήσας, δεδοικώς, ἅτε συχνῶν τὰ ἱερεῖα περιϊσταμέ-
νων ὑπηρετῶν, κάμπτεται εἰς γύρον, καὶ, οὔτε (3)

(1) A, ἀσφαλές: nec id male. ἐκεῖνο, male omissa a librario.
(2) Adde, καὶ ὑπὸ τὸ ὄρος ἦσαν (3) Del. καὶ, vel scrib. οὐ.

πορρωτέρω τολμᾷ ἰέναι, καὶ λίχνως τὴν ἰδίαν ἐλπίδα περιΐπταται τὰς πτέρυγας συγκινῶν (1)· οὕτως ὑπὲρ τῶν Ἀκταίων πύργων εὐπεριάγωγον ὁ Κυλλήνιος κλίνει τὸν δρόμον, καὶ τὰς αὐτὰς αὔρας ἀεὶ περιθεῖ. Ὅσῳ δὲ λαμπρότερος ἤπερ ἄλλοι τῶν ἀστέρων ὁ ἑωσφόρος λάμπει, καὶ ὅσῳ ἢ ὁ ἑωσφόρος ἡ χρυσῆ Φοίβη, τοσούτῳ προσφερεστέρα πασῶν ᾔει (2) τῶν παρθένων ἡ Ἕρση· καὶ κόσμος τῆς πομπῆς ἦν καὶ τῆς λοιπῆς συνοδίας. Ἐξεθαμβήθη δὴ τῷ κάλλει ὁ τοῦ Διὸς παῖς, καὶ, τῷ ἀέρι μετεωριζόμενος, οὐχ ἑτέρως ἐξήφθη, ἢ ὡς ὁπότε Βαλιαρικὴ σφενδόνη μόλυβδον βάλλει, ὃς ἵπταταί τε καὶ προϊὼν ἐκθερμαίνεται, καὶ, ὅπερ οὐκ εἶχε, πῦρ ὑπὸ ταῖς νεφέλαις εὑρίσκει. Στρέφει τοίνυν τὴν ὁδὸν, καὶ, τὸν οὐρανὸν καταλιπὼν, διαφόρους τόπους περινοστεῖ. Οὐ μὴν οὐδ' ἑαυτὸν ἕτερόν τινα εἶναι προσποιεῖται· τοσοῦτον ἐπὶ τῇ μορφῇ πέποιθεν, ἥτις (3) εἰ καὶ τὰ μάλιστα (4) ἀληθής ἐστι, συλλαμβανομένην ὅμως αὐτῇ καὶ τὴν ἐπιμέλειαν ἔχει (5). Εὔρυθμον δὴ

(1) A, συγκρινῶν. Mox codd. ὑπὸ quod mutavi. In latinis est *super*.

(2) A, εἴη. Mendum hoc in hac voce frequens.

(3) Ovidius: « Tanta est fiducia formæ! *Quæ* quanquam justa est, cura tamen adjuvat illam. » Planudes, ut et alii interpretes, pronomen *quæ* ad *formam* retulit, referendum, ni fallor, ad *fiduciam*. Nempe, fiducia formæ justa est; Mercurius tamen illam formam, cui tam juste fidit, adjuvat cura et arte.

(4) B, ταμάλιστα. Nemo in talibus manum auctoris præstiterit. Sic variatur inter ὅτι μεγίστη, ὅτι μάλιστα, et ὁτιμεγίστη, ὁτιμάλιστα, apud Thucyd. v, 36; vii, 69. Atque ita in infinitis aliis id genus. Cf. Reitz. ad Luciani Rhet. Præc. 6, et Macrob. 2. Infra ad ℣. 749, variatur inter πρὸ μικροῦ in B, et προμικροῦ in A; ad ℣. 760, inter τηνταχίστην in B, et τὴν ταχ. in A. In libro iii, ad 296, B exhibet ὁτιτάχιστα, cum signo ὑφέν. Similia deinceps non annotabo, ni fuerit quid peculiaritatis.

(5) B, ἔχῃ, e correctione, eaque mala. A modo, αὐτή.

[redacted]

τὴν κόμην τίθησι, καὶ τὴν χλαμύδα, ὡς ἂν καταλ-
λήλως αἰωροῖτο (1), συντάττει, καὶ ὁ χρυσὸς ἅπας καὶ
τὸ κράσπεδον φαίνοιτο, καὶ ἁρμόδιος κατὰ τὴν δεξιὰν
ἡ ῥάβδος εἴη, δι' ἧς ὕπνον ἐπιφέρει τε καὶ ἀπείργει,
καὶ τὰ πέδιλα λάμποι ὑπὸ καθαρείοις τοῖς πέλμασιν.
Ἀνακεχωρηκὸς (2) δέ τι τῶν οἴκων μέρος ἐλέφαντί τε
καὶ λίθοις ἠσκημένους τρεῖς εἶχε θαλάμους· ὧν τὸ μὲν
δεξιὸν σὺ, Πάνδροσε, τὸν δὲ λαιὸν Ἄγλαυρος, τὸν δὲ
μέσον Ἕρση ἐκέκτητο. Ἡ δὴ τὸν λαιὸν εἶχεν ἐρχόμενον
πρώτη τὸν Ἑρμῆν κατεφώρασε, τήν τε τοῦ θεοῦ κλῆ-
σιν ἀνακρίνειν ἐτόλμησε καὶ τὴν τῆς ὁδοῦ πρόφασιν.
Ταύτῃ δ' οὑτωσίπως ὁ Ἄτλαντος καὶ Πληϊόνης ἔγγονος
ἀπεκρίνατο· « Οὗτος ἐγώ εἰμι ὁ τὰς πατρὸς ἐντολὰς δι'
» ἀέρος κομίζων, πατὴρ δ' εστί μοι Ζεὺς αὐτός. Οὐ
» μὴν δὲ προφάσεις τινὰς πλάσσομαι· μόνον σὺ τῇ
» ἀδελφῇ θέλησον πιστὴ εἶναι, καὶ τοῦ ἡμετέρου γόνου
» τηθὶς λέγεσθαι (3). Ἕρση ἐστὶν ἡ τῆς ὁδοῦ αἰτία. Ἴλα-
» θι, δεόμεθα, τῷ ἐρῶντι. » Ἡ δ' ὀφθαλμοῖς αὐτὸν

(1) Codex B exhibet αἰωρεῖτο.

(2) A, qui modo habuit πέδηλα, nunc ἀνακεχωρικὸς habet. B, ἀνακεχωρηκώς.

(3) A, λέγεσθαι et supra e correctione, ut videtur, γενέσθαι. B, utraque lectione recepta, λέγεται γενέσθαι, sine sensu. Ovidius, *dici*. Sumsi quod latinis aptius respondebat. Verba γενέσθαι et λέγεσθαι permutantur facile. Vide notas ad Nicetam Eugenianum, p. 152, ubi synchysim participiorum λεγόμενος et γενόμενος ostendi; collato Koenio ad Gregorium Corinthi, p. 10. In inscriptione apud Reinesium p. 683, cujus auctor hexametros scribere se putavit, primus versus sic conceptus legitur: ΑΝΘΟΣ ΕΓΩ ΓΕΝΟΜΗΝ ΥΙΟΣ ΕΡΜΟΓΕΝΟΥΣ ΤΕ ΚΑΙ ΦΥΡΜΗΣ (pro Φίρμης). In his υἱὸς est pyrrichius et καὶ corripitur. Sed non ob talia notanda hunc versum adduxi; volui animadvertere mutationem a Reinesio tacite factam verbi ΛΕΓΟΜΗΝ, quod Piccarti schedæ exhibebant, in ΓΕΝΟΜΗΝ. Hagenbuchius, Epistol. Epigraph. p. 398, caussæ nihil videbat cur hæc fieret mutatio. Caussæ qui-

εἶδε τοῖς αὐτοῖς οἷς καὶ τὰ τῆς ξανθῆς Ἀθηνᾶς κεκρυμμένα μυσήρια πρὸ μικροῦ ἐθεάσατο, καὶ τῆς ὑπουργίας ἕνεκεν σταθμοῦ μεγάλου χρυσὸν τοῦτον αἰτεῖ· καὶ μετὰ τοῦτο τῶν οἴκων ἀναχωρεῖν πολλή τις ἐπίκειται. Στρέφει τοίνυν πρὸς αὐτὴν ἡ πολεμικὴ Θεὰ λοξὸν τὸν τοῦ ὀφθαλμοῦ κύκλον, καὶ τοσοῦτον ἐνικήθη, παντάπασι σπαραγμοὺς ἀνελκύσασα, ὡς ὁμοῦ καὶ σπέρνον καὶ τὴν ἐπικειμένην τῷ ῥωμαλέῳ σπέρνῳ αἰγίδα συσκλονῆσαι· ἔπεισι δ' αὐτίκα πρὸς μνήμην αὐτῇ, ὅπως ἐκείνη τἀπόῤῥητα χερσὶν ἀνοσίαις ἀποκαλύψειεν, ἵνίκα τὸν δίχα μήτρας γεννηθέντα Λημνιακὸν γόνον (1) ἐναυλίᾳ ταῖς δεδομέναις (2) εἶδε συνθήκαις, ἀχάριστός τε τῷ θεῷ καὶ ἀγνώμων τῇ ἀδελφῇ γένοιτο (3), καὶ πλουσία τῷ ληφθέντι χρυσῷ, ὃν τῇ φιλοχρηματίᾳ ἠτήσατο.

Τὴν ταχίστην τοιγαροῦν πρὸς τὸν τοῦ Φθόνου οἶκον, τὸν μέλανι τηκόμενον μαραγμῷ τρέχει. Ὁ δ'

dem idoneæ nihil adferre, puto, Reinesius potuisset; nam λεγόμην (ἐλεγόμην nempe) aptius hic esse opinor: sed critica non destituta est ratione, et Reinesius procul dubio, ut erat græce eruditissimus, permutationem utriusque verbi noverat; at illa notione male nunc fuit abusus.

(1) Habuit suo in codice *Lemniacam stirpem*, quam e regiis libris enotavit editor Ovidii doctissimus.

(2) Ni obstarent latina, « contra *data* fœdera », opinarer legendum γενομέναις. Facile inter scribendum γενόμενος et δεδομένος variari queunt. In prima sententia cap. 17 Theophrasteorum Characterum, pro ἔστι δὲ ἡ μεμψίμοιρα ἐπιτήδευσις παρὰ τὸ προσῆκον δεδομένη, qui reponere volunt γινομένη, mecum faciunt. Ait quidem editor Theophrasti præstantissimus hanc correctionem a textu esse remotiorem, quod me non capere fateor. Quid enim propius?

(3) In ἀχάριστος et ἀγνώμων scribendis, quæ sensu fere carere videntur, secutus est interpres pravam lectionem « ingra« tamque deo fore jam, *ingratam*« que sorori », nunc mutatam e libris melioribus in *et gratam gratam*. Sensus ergo postulat, φίλη τι τῷ θεῷ καὶ προσφιλὴς τῇ ἀδελφῇ.

[redacted]

οἶκος ἐν βαθείαις φάραγξιν ἄντρου κέκρυπται, ἡλίου τε στερόμενος, καὶ οὐδενὶ ἀνέμῳ καταπνεόμενος, σκυθρωπὸς, καὶ νωθροῦ πληρέστατος ψύχους, καὶ οἷος ὁ ἀεὶ πυρὸς ἀμοιρῶν, καὶ ἀεὶ πλέος ἀχλύος. Ἔνθα δὴ καταλαβοῦσα ἡ φοβερὰ ταῖς μάχαις ἀντιάνειρα, πρὸ θυρῶν ἔστη (οὐδὲ γὰρ εἴσω χωρῆσαι θεμιτὸν (1) ἦν), καὶ τῷ τοῦ ξίφους ἄκρῳ τὴν παραστάδα κόπτει· αἱ δὲ θύραι κοπεῖσαι ἀνεπετάσθησαν. Καὶ ὁρᾷ τὸν Φθόνον ἐντὸς ἐχιδνῶν σάρκας ἐσθίοντα, τῆς ἑαυτοῦ κακίας ἐδέσματα (2)· καὶ ἰδοῦσα τοὺς ὀφθαλμοὺς ἀποστρέφει. Ὁ δὲ τῆς γῆς νωθρὸς ἐξανίσταται, καὶ τὰ σώματα τῶν ὄφεων ἡμίβρωτα καταλέλοιπε, καὶ ἀνειμένῳ πρόσεισι βήματι· καὶ, τὴν θεὰν ἰδὼν καὶ μορφῇ καὶ ὅπλοις ἐκπρεπεστάτην, ἐστέναξε, καὶ τὴν ὄψιν εἵλκυσεν ὅσον οἷόν τε πρὸς τὸ στέρνον (3). Ὠχρότης μὲν οὖν ἐπικάθηται τῷ προσώπῳ, καὶ ὅλῳ τῷ σώματι τηκεδών· οὐκ ἔστιν ὅτε οἱ ὀφθαλμοὶ ὀρθὸν βλέπουσι· πελιδνοῦνται οἱ ὀδόντες ἰῷ· χλωρὸν τὸ στῆθος ὑπὸ χολῆς· ἡ γλῶσσα φαρμάκου πεπλήρωται· γέλως ἄπεστιν ἅπας, ὅτι μὴ ὃν ὀφθεῖσαι κεκινήκασι λύπαι· οὐδ' ὕπνῳ δὴ χρῆται, φροντίσιν ἐγρηγορὼς ἀγρύπνοις· ἀλλὰ καὶ τὰς τῶν ἀνθρώπων εὐημερίας ἀτερπεῖς ἑαυτῷ βλέπει, καὶ ὁρῶν τήκεται· ἁλίσκει τε ὁμοῦ καὶ

(1) Φθόνος, Plato ait verbis nobilissimis, ἔξω χοροῦ θείου ἵσταται. Decantata tamen est Deorum invidia, de qua monere me memini ad Nicetam, p. 433.

(2) Latina « vitiorum *alimenta suorum* » non apte vertit Planudes. Pro ἐδέσματα melius scripsisset, τῇ ἑαυτοῦ κακίᾳ τροφάς.

(3) Ovidius : « vultumque deæ » ad suspiria duxit », vel « vultumque ima ad suspiria duxit. » Quid Planudes legerit non assequor. Mutandum forte στέρνον in στένειν. De Planudis lectione facile securus sum, nec me hæc cura sollicitum tenet : majoris fuerit momenti Ovidiana consti-

ἁλίσκεται (1), καὶ τιμωρία ἐστὶν ἑαυτοῦ. Ἡ Τριτωνὶς δ' οὖν εἰ καὶ (2) τὰ μάλιστα μεμίσηκεν ἐκεῖνον, τοιούτους δὴ βραχεῖς εἴρηκε λόγους· « Χρίσον ἰῷ τῷ σῷ » μίαν τῶν τοῦ Κέκροπος θυγατέρων· τούτου χρεία· » ἡ Ἄγλαυρος αὕτη ἐστί. » Πλέον οὐδὲν εἰποῦσα, ἔφυγε, καὶ, τῷ δόρατι ἐρεισθεῖσα, τὴν γῆν ἀπώσατο. Ὁ δὲ τὴν θεὸν φεύγουσαν λοξῷ βλέμματι βλέπει, καὶ τονθορυσμούς (3) τινας δέδωκε· καὶ γὰρ ἤλγησε τῇ εὐδαιμονίᾳ τῆς Ἀθηνᾶς. Ῥάβδον δὴ λαμβάνει, ἣν ὅλην δεσμοὶ περιεζώννυον ἀκανθώδεις· καὶ, νεφέλαις ζοφεραῖς κεκαλυμμένος, ὅποι ποτὲ πορεύεται τὰ ἀνθηρὰ πεδία δῃοῖ, ἐμπιπρᾷ τε τὰς πόας, καὶ τὰς ἄκρας κορυφὰς καταλαμβάνει (4), καὶ τῷ ἰδίῳ φυσήματι ἔθνη καὶ οἴκους καὶ πόλεις μολύνει. Καὶ τέλος τὴν Τριτωνίδος κατεῖδεν ἀκρόπολιν, πλούτῳ μεγάλῳ καὶ εἰρήνῃ περιφανεῖ λάμπουσαν· καὶ μόλις ἐπέχει τὸ δάκρυον· οὐδὲν δακρύων ἄξιον βλέπει (5). Ἐπεὶ δ' εἰς τὸν θάλαμον εἰσέδυ τῆς τοῦ Κέκροπος θυγατρὸς, τὰ κελευσθέντα ποιεῖ· καὶ τοῦ στήθους ἐκείνης ἅπτεται

tuere, quæ egent adhuc emendatrice manu.

(1) Ovidius : « carpitque et « carpitur una. » Planudes male vertit, quasi scriptum fuisset, « capitque et capitur una. » Exspectares, μαραίνει τε καὶ μαραίνεται.

(2) B, εἰς ταμάλιστα. Notanda hæc calami aberratio. Jam in Notit. MSS. t. X, part. II, p. 266, permutationem vocum ἐπίσης et ἐπίση καὶ notavi. Compendium copulæ καὶ facile sic potest abire in elementum ς.

(3) Cod. B habet τονθορισμούς.

(4) Ovidius : « et summa ca- » cumina *carpit*. » Et hic infelix fuit interpres in vertendo vocem *carpit*, quæ ipsi etiamnunc idem sonabat voci *capit*; nec felix in vertendo *cacumina*. Pro καταλαμβάνει, reponendum ad sensum, τήκει, φθείρει, simile quid, et τῷ κορυφὰς addendum, ποῶν, vel ἀνθῶν, vel βοτανῶν.

(5) Forte, οὐδὲν γὰρ δακρύων ἄξιον βλέπει, vel οὐδὲν δακρύων ἄξιον βλέπων. Ovidius : « *quia* nil » lacrymabile cernit. »

[redacted]

χερσὶν ἰῷ κεχρισμέναις, καὶ καμπύλων ἀκανθῶν τῆν
καρδίαν πληροῖ, ἐμφυσᾷ τε δηλητήριον ἰὸν, καὶ
μέλαν κατασκεδάζει τῶν ὀστῶν φάρμακον καὶ ἐν μέσῳ
τῷ πνεύμονι ἐγχεῖ (1). Ὡς ἂν δὲ μὴ τὸ τοιοῦδε κακοῦ
αἴτιον ἐπὶ μήκιστον (2) πλανῷτο ἐκτεινόμενον, τήν τε
ἀδελφὴν πρὸ τῶν ὀφθαλμῶν καὶ τὸν εὐδαίμονα ταύ-
της γάμον, καὶ τὸν θεὸν ἐν ἐκπρεπεῖ κάλλει τίθησι,
καὶ πάντα μεγάλα ποιεῖ· οἷσπερ ἐρεθισθεῖσα ἡ Κεκρο-
πὶς ἀφανεῖ δάκνεται ὀδύνῃ, καὶ περιαλγὴς νυκτὸς,
περιαλγὴς ἡμέρας (3), στενάζει, καὶ νωθρᾷ τηκεδόνι (4)
ἡ ταλαίπωρος τήκεται, οἷα πάγος ἀστάτῳ βαλλό-
μενος ἡλίῳ, καὶ τοῖς ἀγαθοῖς τῆς εὐδαίμονος Ἕρσης
οὐκ ἄλλως δὴ πίμπραται, ἢ ὡς ὅτε βοτάναις ἀκαν-
θώδεσι πῦρ ὑποτίθεται, αἳ φλόγα τε οὐ παρέχουσι
καὶ βραχεῖ χρόνῳ (5) καίονται. Πολλάκις θανεῖν ἠθέλη-
σεν, ὡς μηδὲν τοιοῦτον ὁρῴη· πολλάκις ἠθέλησεν ὡς ἀτε-
ράμονι τῷ πατρὶ διεξιέναι τὸ ἔγκλημα. Τέλος, πρὸ
τῆς φλιᾶς κάθηται, τὸν θεὸν ἐκκλείσουσα προσιόντα·
ᾧ δὴ θεραπείας καὶ δεήσεις καὶ μαλακοὺς λόγους προ-
σάγοντι « Παῦε » ἔφη· « οὐκ ἂν ἐγὼ ἐμαυτὴν ἐνθένδε με-
» τακινήσαιμι, ὅτι μή (6) σου ἀπωσθέντος. » Ὁ δὲ τα-

(1) A, ἐν μέσωνι ἐγχεῖ. B, ἐν μ. τ. πν. ἐγχείων.

(2) Codices, ἐπιμήκιστον. Scripsi divisim, ut mihi constarem. Cf. supra not. p. 82.

(3) A omisit verba περιαλγὴς νυκτός.

(4) A, τηκεδῶνι. B, e correctione, τηκεδόνι.

(5) Ovidius : « lenique *tepore* » cremantur. » Legebat vel se legisse putabat *tempore* Planudes. Repones ad sensum, ἁπαλῷ πυρὶ καίονται, βραδείᾳ καίονται καὶ μετρίᾳ φλογί.

(6) Codices, ὅτι. Addidi μὴ, quod addendum fuit, ut græca latinis responderent, sensusque esset integer. Latina : « *nisi* te » repulso. » Planudes formula ὅτι μὴ, pro latino *nisi*, ubique utitur : cf. supra p. 2, et ad IV, 419, 426 ; V, 529 ; VI, 388 ; VII, 26, 127, 236 ; etc. Dioge-

χὺς Κυλλήνιος « Σῖῶμεν » εἶπεν « ἐπὶ ταύτης δὴ τῆς ὁμολογίας »· καὶ τὰς ἐπεζυγωμένας θύρας ἀνεπέτασε τῇ ῥάβδῳ. Τῇ δ' ἀναστῆναι πειρωμένῃ ὅσαπερ ἐν τῷ καθίζειν κάμπτεται μέρη ἀδυναῖεῖ κινηθῆναι τῇ βαρείᾳ νωθρότητι. Καὶ ἡ μὲν μάχεται εἰς ὀρθὸν ἑαυτὴν σῶμα κουφίσαι· ἀλλὰ τὰ τῶν γονάτων ἄρθρα ἐσκλήρυνται, καὶ διὰ τῶν ὀνύχων ψυχρότης ἕρπει, καὶ ὠχριῶσιν αἱ φλέβες, ἀπολωλότος τοῦ αἵματος. Καὶ οἷα δὴ τὸ ἀνίατον κακὸν ὁ καρκῖνος εἰς πλάτος ἕρπει, καὶ τὰ ἀπαθῆ τοῖς πεπονθόσι πρησίθησι μέρεσιν, οὕτως ὁ θανάσιμος χειμὼν κατ' ὀλίγον ἤρχετο πρὸς τὸ στῆθος, καὶ τὰς ζωικὰς ὁδοὺς καὶ τὰς διαπνοὰς ἔκλεισε. Καὶ οὐκέτι φθέγξασθαι ἐπεχείρησεν, οὐτ', εἰ ἐπιχειρήκει, φωνῆς εἶχεν ὁδόν. Λίθος μὲν οὖν ἤδη τὸν τέρχνλον εἶχε, καὶ ἡ ὄψις πεπώρωται, καὶ τέρας (1) ἄπνουν καθῆστο. Οὐ μὴν οὐδὲ λευκὸς λίθος γέγονεν· ἡ γὰρ ἰδία διάνοια ταύτην ἐμόλυνε.

Ταύτας τὰς δίκας ὁ Ἀτλαντιάδης τῶν τε λόγων καὶ τῆς ἀνοσίου λαβὼν διανοίας, τὴν ἐκ τῆς Παλλάδος (2) ὠνομασμένην καλαλιμπάνει γῆν, καὶ διὰ τοῦ ἀέρος εἶσι, τινάσσων τὰς πτέρυγας. Καλεῖ δὲ τοῦτον ὁ πατὴρ, καὶ, τὴν τοῦ ἔρωτος αἰτίαν μὴ διομολογησάμενος, « Ὦ τέκνον, » εἶπε « καὶ πιστὲ τῶν ἐμῶν ἐντολῶν ὑπηρέτα, δίωσαι πᾶσαν μέλλησιν, καὶ, τῷ » συνήθει δρόμῳ ταχὺς διολισθήσας πρὸς τὴν γῆν, ἢ

nes Laertius, III, 37 : αὐτοῦ δὲ (Æschinis) Πλάτων οὐδαμόθι τῶν ἑαυτοῦ συγγραμμάτων μνήμην πεποίηται, ὅτι μὴ ἐν τῷ περὶ ψυχῆς.

(1) Ovidius, *signum*, nempe *statua*. Planudes debuit scribere, βρέτας, ἄγαλμα, ἀνδριάς. Cf. infra not. ad III, 112.

(2) Si pro Παλλάδος posuisset Ἀθηνᾶς, nominis urbi quid sit statim intelligerent lectores. Nec sic ænigma valde est difficile.

» τὴν σὴν μητέρα (1) ἐκ τῶν εὐωνύμων ὁρᾷ (Σιδω-
» νίαν αὐτὴν οἱ ἰθαγενεῖς ὀνομάζουσιν), ἴθι· καὶ, ἣν
» πόρρω βλέπεις ἐν τῇ ὀρείᾳ χλόῃ βασιλικὴν νεμο-
» μένην ἀγέλην, πρὸς τὴν ἡϊόνα τρέπε. » Εἶπε· καὶ,
ἐξελαθέντες ὅσον τάχος οἱ μόσχοι τοῦ ὄρους, κατὰ
τὸ κελευσθὲν, τὴν ἡϊόνα ζητοῦσιν, ἔνθα ἡ τοῦ μεγά-
λου βασιλέως θυγάτηρ παίζειν, ταῖς Τυρίαις συνοῦσα
παρθένοις, εἰώθει. Ἀλλὰ γὰρ οὐκ εὖ συνίασιν οὐδ'
ἐν μιᾷ χώρᾳ χορνίζουσι μεγαλοπρέπειά τε καὶ ἔρως.
Τὸν ὄγκον τῶν σκήπτρων καλαλιπὼν ὁ Πατὴρ, ὁ τῶν
θεῶν ἡγεμὼν, ὁ τὴν δεξιὰν πυρὶ τειγλώχινι (2) καθο-
πλίζων καὶ τὸν κόσμον ἅπανθ' συγκλονῶν, εἶδος ἀμφι-
έννυται ταύρου, καὶ, τοῖς μόσχοις συναναμιχθεὶς δή,
μυκᾶται, κἀν ταῖς τρυφεραῖς πόαις εὐειδέσταλος
εἶσι. Χρῶμα μὲν γὰρ ἦν χιόνος, ἣν οὔτ' ἴχνη ποδὸς
ῥυπῶντος ἐπάτησαν, οὔθ' ὁ ὑδατώδης ἔτηξε νότος·
τρόχηλος καὶ τένοντες ἀνεσταλκασι· δέρμα τὸ τοῦ φά-
ρυγγος ἐς γάλα ἀπηώρηται· κέρα μικρὰ μὲν, οἷα
δ' ἂν ἐρίσαις χειροποίητα εἶναι, καὶ λαμπρῶν λίθων
διαφανέστερα· οὐκ ἔστιν ἥτις ἦν ἐν τῷ μετώπῳ
ἀπειλή· οὔτε μὴν τὸ βλέμμα παρεῖχε φόβον, ἀλλ'
εἰρήνην τὸ πρόσωπον ἔχει. Θαυμάζει τοίνυν ἡ τοῦ
Ἀγήνορος παῖς, ὅθ' οὕτως ἐστὶν ἐκπρεπὴς, ὅτι μη-
δένα πόλεμον ἀπειλεῖ. Ἀλλ', εἰ καὶ τὰ μάλιστα καὶ

(1) Scholium in B: τὰς πλειάδας. Λέγει δὲ τοῦτο, διὰ τὸ τοπωτέραν εἶναι τὴν Σιδῶνα. Ἐν γὰρ ταῖς καθ' ἡμᾶς κλίμασι πρὸς ἀνατολὰς βλέπουσι (leg. βλέπουσι), ἐπὶ τῆς δεξιᾶς χειρὸς ἔχομεν μεσουρανούσας τὰς πλειάδας· οἱ δὲ νοπώτεροι τῆς Συρίης, ἐπὶ τῆς ἀριστερᾶς· οὐ μὴν οἵ γε Σιδώνιοι· τοῦτο γὰρ ἐνταῦθα ποιητικῶς εἶπεν ὑπερβολῇ.

(2) B, τειχλωνι. Confer supra notam, p. 61, ubi τῇ τειγλώχινι φλογὶ, eadem periphrasi.

χειρώθους ὄντος ἅπλεσθαι τὸ πρῶτον ἐδεδοίκει (1), αὐτίκα δὴ πρόσεισι, καὶ ἄνθη προσείνει τῷ λευκῷ στόματι. Ὁ δ' ἐρασθὴς χαίρει, καὶ, τὴν ἐλπιζομένην ἐπιθυμίαν ἥκουσαν ὁρῶν (2), φιλήματα ταῖς χερσὶ δίδωσι, καὶ μόλις ἀναβάλλεται τὰ λοιπά· καὶ νῦν μὲν προσπαίζει καὶ τῇ χλοερᾷ πόᾳ σκιρτᾷ, νῦν δὲ τὴν χιονώδη πλευρὰν ἐπὶ τῆς ξανθῆς τίθησιν ἄμμου· καὶ, κατὰ μικρὸν ἀναιρουμένου τοῦ φόβου, νῦν μὲν τὰ σέρνα τῇ παρθενικῇ ἐπαφώμενα παρέχει χειρὶ, νῦν δὲ τὰ κέρα νέαις εἰρεσιώναις (3) ἐμπλεκόμενα. Ἐτόλμησεν ἡ βασιλικὴ παρθένος καὶ τοῦτο, ἀγνοοῦσα δὴ (4) τίνα πιέσει, τῷ νώτῳ καθεσθῆναι τοῦ ταύρου. Ὁ τοίνυν θεὸς ἐκ γῆς τε καὶ τῆς ξηρᾶς ἠιόνος ἡσυχῇ καὶ καλὰ μικρὸν τὰ πεπλασμένα τῶν ποδῶν ἴχνη πρῶτον (5) θεὶς ἐν τοῖς ὕδασι, ἐντεῦθεν ἅπεισι περαιτέρω, κἂν μέσοις τοῖς τοῦ πόντου ὕδασι φέρει τὴν λείαν. Ἡ δὲ θαμβεῖται, καὶ πρὸς τὴν ἠιόνα, ἣν ἀπαγομένη καταλέλοιπεν, ἀτενίζει· καὶ τῇ δεξιᾷ μὲν τὸ κέρας

(1) Latina sic distinxit, nec male, Planudes : « Sed, quam » vis mitem metuit contingere » primo, Mox adit. »

(2) Ovidius : « et *dum veniat* sperata voluptas. » Male Planudes vertit. Sensus est, ἄχρις οὗ ἥκοι ἡ ἐλπιζομένη ἡδονή. Mox in sequentibus *cetera differt*, ἀναβάλλεται τὰ λοιπὰ, apte notavit Burmannus nomine *cetera* obscœnas imagines interdum a scriptoribus fuisse subindicatas, cui frustra Gierig. obloquitur. Aristænetus, 1, 16, extr. in re simili : τὰ δ' ἄλλα, οἶδας γὰρ ὁπόσα τὰ λοιπὰ, νόει μοι κατὰ σαυτόν : ubi quæ notavi vide, si tanti est talia videre.

(3) A, κέρα, νέεἐρεσιώναις. B, κέρ' ἀνὰ εἰρεσιώναις : et ad marginem κέρα, νέειρεσιώναις. Ad latina *sertis novis* græca composui. Futura, *plaudenda*, *impedienda*, non recte præsentia esse voluit interpres.

(4) B, δέ : solenne. Cf. p. 70.

(5) Secutus est malam lectionem *primo*, meliorem, quæ est *primis*, ignorans. Reponas ergo, πρώτοις, nempe τοῖς ὕδασιν. Ovidius : « *primis* in undis. »

κατέχει, ἡ δὲ λοιπὴ τῷ νώτῳ (1) ἐπίκειται· καὶ ἡ ἐσθὴς, τινασσομένη τοῖς πνεύμασιν, ἐκολποῦτο.

(1) B, τῶν νώτων. Hæc varietas oriri potuit ex alius codicis scriptura, τῶι νώτωι. Nam, ut monui in Notitiis MSS. tom. X, part. II, p. 240; tom. XI, part. II, p. 28; ad Nicetam, p. 26; iota adscriptum, quum non pingitur nitide, fere τῷ ν simile potest evadere, hincque fit ut ῳ et ων, ῃ et ην, ac talia, varientur.

ARGUMENTUM

LIBRI III

EX CANTERI NOVIS LECTIONIBUS.

FILIAM amissam Agenor *Cadmum* jubet investigare. Quod dum ille facit, in Bœotia e *dentibus draconis* occisi *satis* enascuntur *homines*, quibuscum ille deinde Thebas condidit. Huic non omnino felici luctuosa primum fuit *Actæonis* nepotis in *cervum* mutati dilaniatio; quæ vero Junoni, quum *Semelen* pellicem, Cadmi filiam, ut omnem Agenoris domum, odisset, grata fuit : ideoque, ad ipsam facie *Beroes* accedens, dolo effecit, ut illa Jovis fulminibus combureretur. Dum *Bacchus*, e Semeles flagrantis utero servatus, in terris nutritur, Jupiter, cum Junone disputans utra sit Venus suavior, *Tiresiam* adhibet arbitrum, quandoquidem sexum utrumque fuerat expertus. Is, lata contra Junonem sententia, ab illa quidem visu privatus, a Jove autem vaticinandi scientiam consecutus est. Primum ejus oraculum in *Narcisso* comprobatum fuit : qui quum puellas omnes, inter quas et *Echo* præ amoris impatientia in *vocem* fuerat conversa, contemsisset, sui ipsius tandem amore contabescens, *flos* est factus sui nominis. *Pentheus* tamen vatem hunc irridebat; quanquam et ipsi fata futura prædicebat, quibus mox eventus constitit: nam, quum Orgia celebrarentur, ille *Bacchum*, sub persona famuli sacrorum latentem, postquam *Tyrrhenos nautas* in *delphinos* esse transformatos ab eodem cognoverat, in vincula conjecit; ob quod facinus a Bacchis est discerptus; id quod magnam apud omnes fidem sacris conciliavit.

ΟΒΙΔΙΟΥ

ΜΕΤΑΜΟΡΦΩΣΕΙΣ.

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

Ἦδη μὲν οὖν ὁ θεὸς, τὸ ψευδόμενον εἶδος ἀποθέμενος τοῦ ταύρου, ἑαυτὸν ὡμολόγησε, καὶ τοὺς Δικταίους καλεῖχεν ἀγελούς· ὁ δὲ παλὴρ Ἀγήνωρ ἀγνοῶν ἐπιτάττει τῷ Κάδμῳ τὴν (1) ἁρπαγεῖσαν ἀναζητεῖν, καὶ δίκην, εἰ μὴ εὕροι, προστίθησιν ἀίδιον ἐξοδίαν, ἐν ἐνὶ καὶ τῷ αὐτῷ γενόμενος συμπαθής τε καὶ ἀσυμπαθής. Κατὰ πάντα τὸν κόσμον τοιγαροῦν ἀληθεὶς (2), (τίς γὰρ ἂν δυνηθείη φωρᾶσαι τὰ τοῦ Διὸς κλέμματα;) Φυγὰς ὁ Ἀγηνορίδης τήν τε πατρίδα καὶ τὴν ὀργὴν φυλαττέτω τοῦ πατρὸς, καὶ τὸ χρηστήριον τοῦ Ἀπόλλωνος ἀντιβολῶν ἐρωτάτω, καὶ τίς αὐτῷ γῆ κατοικηθείη (3) ζητεῖ. Ὁ δ' Ἀπόλλων ἀνεῖλεν·

Βοῦς σοι, Ἀγηνορίδη, προσυπαντιάσει κατ' ἀγυιὰς,
Δεσμοῦ τε ζυγοῦ καὶ ὑβοῦ (4) ἄϊδρεις ἀφέτευτ·
Τῇπερ ἐφεσπόμενος κατ' ἴχνος, τόθι γούνατα κάμψει
Τείχεα Θᾶσσον ἔγειρε, τὰ καὶ Βοιώτια φάσκε.

Οὕπω καλῶς ὁ Κάδμος ἐκ τοῦ Κασταλίου κατελήλυθεν ἄντρου, καὶ δάμαλιν ἀφύλακτον βάδην ἰοῦσαν ὁρᾷ, σημεῖον λατρείας οὐδὲν ἐπ' αὐχένος φέρουσαν.

(1) B omisit male articulum.

(2) Codices, ἀληθές, sine sensu. Puto me Planudis manum assecutum fuisse.

(3) B, καλοικησθείη. Voluit καλοικισθείη.

(4) B, ἠβοῦς. Greg. Cor. D. D. 101: τὸν κυρτὸν καλοῦσιν ὑβόν. Pla-

Ταύτη ἔπελαι, καὶ, τὸ βῆμα συσπείλας, τἀκείνης ἀναλέγεται ἴχνη, τοῦ τε ἡγεμόνος τῆς ὁδοῦ Φοίβου σιωπῇ δεῖται. Ἤδη μὲν οὖν, τὴν τοῦ Κηφίσου ῥοῦσιν καὶ τὰ τῆς Παιόπης πεδία παρελπλυθυῖα, ἣ βοῦς ἔστη, καὶ, πρὸς οὐρανὸν ἄρασα τὸ περικαλλὲς τοῖς ὑψηλοῖς κέρασι μέτωπον, μυκηθμῶν τὰς αὔρας ἐπλήρου, ἰδοῦσα δὲ τὴν ἑταιρείαν τοῦ Κάδμου, κατὰ νώτων ἑπομένην (1), ὤκλασε, καὶ τῇ μαλακῇ πόα τὴν πλευρὰν ἐπιτέθεικεν· ὁ δὲ δὴ Κάδμος χάριτάς τε ὁμολογεῖ, καὶ τῇ ἀλλοδαπῇ γῇ φιλήματα δίδωσι, καὶ τὰς ἀγνοουμένας κολώνας καὶ ἀγροὺς προσαγορεύει. Ἱερὰ δὲ τῷ Διὶ ποιεῖν μέλλων, κελεύει τοὺς ὑπηρέτας ἐλθόντας σπεισθησόμενον ζητεῖν ἐκ πηγῆς ζώσης ὕδωρ.

Ἀρχαία δὴ λόχμη ἑστήκει, μηδέπω ὑπ' ἀξίνης ἀδικηθεῖσα, καὶ σπήλαιον ἐν μέσῳ λύθοις καὶ θάμνοις συνερφὲς, λίθων ἁρμονίαις ἀψίδα ταπεινὴν ἀπολελοῦν, ὑδάτων τε γνήσιον ἀφθόνων (2). Ἔνθα κεκρυμμένος ἐν ἄντρῳ Ἄρεως ἦν δράκων, ἐπίσημος λόφῳ τε καὶ χρυσῷ, οὗ οἱ μὲν ὀφθαλμοὶ πυρὶ λάμπουσι, τὸ δὲ πᾶν σῶμα φαρμάκῳ ἐξώδηκε, τρεῖς τε προκύπτουσι γλῶσσαι καὶ τριπλῷ σταίχῳ οἱ ὀδόντες ἵστανται. Ἐπεὶ (3) δὲ τῆς λόχμης ταύτης οἱ ἐκ τοῦ Τυρίου καταγόμενοι γένους ἥψαντο κακοδαίμονι πορείᾳ, καὶ ἡ κάλπις εἰς τὸ ὕδωρ καθιεμένη δέδωκεν ἦχον, ἐξῆρε τὴν κεφαλὴν τῆς μακρᾶς σήραγγος ὁ γλαυκὸς δράκων, καὶ φοβεροὺς συριγμοὺς ἔπεμψεν. Ἀπέῤῥευσαν δὴ τῶν χειρῶν αἱ ὑδρίαι, καὶ τὸ

nudis ὑγρὸν ἄροτρον sumtum est ex poeta antiquiore : cf. not. ad loc. Gregorii.

(1) Codex A, κατὰ νῶτον ἑπομ.

(2) B, ἀφθόρων : mox ἄντρῳ.

(3) Ἐπί. Frequens hæc est synchysis : cf. ad Callimachi Hymni Dianæ versum 55, nunc in Blomfieldiana recte tandem distinctum editione.

αἷμα τοῦ σώματος ἀπέπλη, καὶ ἐμβεβληθέντων ἐξαπίναιος (1) τὰ μέλη καθέσχε τρόμος. Ὁ δὲ Φολιδωτὸς δράκων σπείραις συνεσταλμέναις κύκλῳ ἑλίσσει (2), καὶ ἁπλέτῳ πηδήματι κολποῦται εἰς τόξον· καὶ, πλέον ἢ τὸ ἥμισυ τοῦ σώματος ἐς τὰς κύφας ὀρθωθεὶς αὔρας, ἄνωθεν πᾶσαν ὄρᾳ τὴν λόχμην· καὶ τοσούτου σώματός ἐστιν, ὅσον εἰ σκοπιὴς (3) ὅλον τὸν διορίζοντα τὰς δισσὰς Ἄρκτους. Οὐκ εἰς μαχεῖν τε τοὺς Φοίνικας, εἴτ' ἐκεῖνοί γε ὅπλα πυτρέπιζον, εἴτε φυγήν, εἴτ' αὐτὸς ὁ φόβος (4) εἶρξεν ἑκάτερον, καθετάχησε, καὶ τοὺς μὲν δήγματι, τοὺς δὲ περιελίξεσι θανατοῖ, ἔστι δ' οὓς καὶ ὀλεθρίῳ λύμῃ τοῦ ἐμπνεομένου φαρμάκου.

Ἤδη μὲν οὖν ἥλιος ὑψηλότατος γεγονὼς ἐλαχίστας ἀπετέλεσε τὰς σκιάς· ὁ δὲ παῖς τοῦ Ἀγήνορος ἐκπλήττεται τίς σοί' ἂν εἴη τοῖς ἑταίροις ἡ βραδυτής. Ἀνιχνεύει τοίνυν τοὺς ἄνδρας. Ἦν δέ οἱ σκέπασμα μὲν σκυλευθέντος λέοντος δέρμα, ὅπλον δὲ δόρυ σιδήρῳ λαμπρὸν, καὶ ἀκόντιον (5), καὶ ψυχὴ παντὸς ὅπλου προφερεστέρα. Ὡς δὲ τοῦ νέμους εἴσω γενόμενος, καὶ πεφονευμένα τὰ σώματα ἑώρακε, καὶ τὸν νικητὴν ἐχθρὸν ἐπὶ τούτοις πολυπλέθρου (6) μὲν ὁλκοῦ, ἡμαγμένην δὲ γλώσσῃ τὰ ταλαίπωρα περιλείχοντα σώματα, « Ἦ τιμωρὸς ὑμῖν » εἶπεν « ἔσομαι τοῦ θανάτου, » πιστότατα σώματα, ἢ κοινωνός. » Εἶπε, καὶ τῇ δεξιᾷ

(1) A, ἐξαπταίος. B, ἐξαπναίως.

(2) Κύκλους forsan, vel σπείρας συνεσταλμένας, vel ἑλίσσεται, ni cum τῷ ἑλίσσει subaudiatur ἑαυτόν.

(3) A, σκεπτὶς. B, σκοπὶς.

(4) Codex A, Φοῖνος.

(5) A, σκυλευθέντος καὶ ἀκόντιον, mediis omissis.

(6) Codices, πολυπρέθρου, permutatione perpetua τοῦ λ et τοῦ ρ, jam notata p. 4. Infra ad Ν. 277, pro γεγώδη, B exhibet γλαώδη, cum notula, ἴσως γεγώδη.

μυλίτην ἔλαβε λίθον, καὶ μέγαν μεγάλῳ ἀφῆκεν ὠθισμῷ. Ἐκείνου μὲν οὖν τῇ βολῇ (1) καὶ ὑψηλὰ τείχη πύργοις αὐτοῖς ἐδονήθησαν ἄν (2), ὁ δὲ δράκων ἄτρωτος (3) ἔμεινεν (4). Ταῖς γὰρ τοῦ θώρακος φολίσιν ἐπικουρούμενος καὶ τῇ τῆς μελανανγοῦς λεβηλίδος ἀντιλυπίᾳ, τὰς ἰσχυρὰς τῷ δέρματι βολὰς διωθεῖτο. Οὐ μέντοι τῇ γε αὐτῇ ἀντιτυπίᾳ καὶ τοῦ ἀκοντίου (5) κρείττων ἐφάνη· τοῦτο δ', ἐν μέσῃ τῇ καμπῇ τῆς ἀκάνθης (6) παρανυγείσης παγέν, ἔστη, καὶ σύμπας ὁ σίδηρος μέχρι τῶν ἐγκάτων κατέδυ. Ὁ δὲ, χαλεπήνας τῷ ἄλγει, περιήγαγεν ἐπὶ τῶν νώτων τὴν κεφαλήν, καὶ, τὴν πληγὴν ἰδὼν, τὸ παγὲν

(1) Codices, βουλῇ. Et nihil hac harum vocum, βουλή, βολή, permutatione frequentius. Sic Philostrato Her. p. 547, restitui βολὰς loco editi βουλάς. Cf. quæ notavi ad Nicetam Eugen. p. 211.

(2) B caret τῷ ἄν.

(3) Codices, ἄντρῳ, absurde. Latina: « serpens *sine vulnere* » mansit. » Reposui quod scripsit vel voluit scribere Planudes.

(4) B, ἔμεινε. Facile feretur ν ἐφελκυστικὸν, etiam ante consonantem literam, præcipue in fine sententiæ. Brunckius, ad Acharn. 35, præfractius asserit sic non posse scribi, quem confutant infinita omnium codicum loca: vide quæ monui supra p. 9, et ad Philostr. p. 346; ad Eunap. p. 464; collatis Wagner. ad Alciphr. III, 58; Villoison. Epist. III, de Inscript. Rosett. p. 53. Supra p. 93, ad ν. 10, A, αἰεῖλε.

(5) Cod. A, λεβηλίδος ἀντιλυπίᾳ καὶ τοῦ ἀκοντίου, mediis omissis.

(6) Sic codices, non ἀκάνθας, ut et infra ad vers. 672. Atque habent παρανυγείσης, quod mutavi. Sed vel cum mutatione latinum *lentæ* non exprimitur; quod si diligenter vertere voluisset Planudes, τῆς ὑγρᾶς ἀκάνθας scribere debuisset. Non capiebant hunc vocis ὑγρὸς sensum belluli e nostratibus interpretes in Pindarica aquilæ descriptione, quæ ὑγρὸν νῶτον dormiens αἰωρεῖ. Chabanonus enim vertit, *Son dos humide se soulève;* Ginus, *Une douce moiteur lisse ses plumes;* Vauvillerius, qui tamen in nota ὑγρὸν apte vertit *lentum*, in textu inepte, *Son dos énervé par la volupté s'abaisse ou s'élève:* recentissimus alius siluit prudentior. Sensum apte aperuit Villebrun. ad Hippocr. Aphor. p. 369. De τῷ ὑγρὸς hac significatione notavi ad Aristæn. I, 1.

ἀκόντιον ἔδακε, καὶ τοῦτο καλὰ πᾶν μέρος ἀπλέτῳ βίᾳ κατάξας, μόλις τῶν νώτων ἐξήρπασεν· ὁ δὲ σίδηρος τοῖς ὀστοῖς δῆτα προσέσχετο. Τότε τοίνυν, ἐξ αἰτίας (1) προσφάτου τοῖς συνήθεσι θύμοις προσχωρησάσης, ὁ φάρυγξ ἐξωλκώθη (2), πλησθεισῶν τῶν φλεβῶν, καὶ λευκὸς ἀφρὸς τὸ λοιμῶδες περιέῤῥαινε χάσμα, ἥ τε γῆ, σαρουμένη ταῖς φολίσιν, ἠχεῖ, καὶ τὸ τοῦ σιγγίου στόματος μέλαν ἐξιὰν ἄσθμα μολυνομέναις ταῖς βοτάναις (3) λυμαίνεται. Αὐτὸς δὲ νῦν μὲν, ἀμέτρητον κύκλον ταῖς σπείραις ποιῶν, περιελίσσεται· ἔστι δ' ὅτε μακροῦ εὐθύτερος ξύλου (4) γίνεται· νῦν δ', ὥσπερ συλλογιζόμενος πολαμὸς ὀμβρίης, μεγάλη φορείᾳ ῥύμῃ, καὶ τὴν ἀνθισταμένην λόχμην συναφέρτει τῷ σήθει. Ὑπεξέστη τούτοις ὁ Ἀγηνορίδης μικρὸν, καὶ τῇ λαιῇ τὰς ἐφόδους ὑφίσταται, καὶ τὸ δεινῶς ἐπικείμενον ἀσταδὲλλει στόμα, τὸ δέρμα (5) προβεβλημένος. Ὁ δὲ μαίνεται, καὶ τυφλῶς σκληρῷ σιδήρῳ

(1) Græca non conveniunt cum latinis, « postquam solitas accessit » ad iras Plaga recens. » Habuitne interpres *causa* pro *plaga?* Vel, quod verius esse puto, *αἰτία* more recentiorum, verbi gratia Scriptorum Rei Accipitrariæ, ipsi valet idem *τῷ νόσῳ*. Sic latini medici recentiores *τῷ causa* utuntur. Macer, I, II: « In multis *causis* » usus medicamine porri Dicitur » Hippocrates, medicinæ maximus auctor. » Cf. Bernard. ad Demetr. Pepagom. cap. XVI. Et *ἀφαμὶ*, *φρόφασις*, pro morbo dicuntur: vide quæ notavi ad Eunap. p. 573. Statim A omisit *τοῖς*: atque habent codices *προσχωρήσαντος*, quod mutavi.

(2) A, ἐξεγκώθη. B, ἐξογκώθη.

(3) Planudes in codice habuit *herbas*, non *auras*. Supra codices ἐξιών· sed in B correctio facta ab ipso librario fuit.

(4) Addidi ξύλου male a librariis omissum. Ovidius: « longa » *trabe* rectior. »

(5) Latina « *cuspide* protensa » aliter legebat Planudes, vel suo auctori parere noluit; male: nam quod sequitur *τῷ σκληρῷ σιδήρῳ* cum *τῷ δέρμα* non convenit. Debebat scripsisse, *τὸ ἔγχος προβεβλ.*

πληγὰς δίδωσιν, ἐπί τε τῆς αἰχμῆς πήγνυσι τοὺς ὀδόντας. Ἦν τε τῆς ἰοβόλου ῥεῖν ὑπερώης ἠρξαῖο λύθρος, καὶ τὰς χλοερὰς τῷ ῥαπίσματι κηλεχρώνου βολάνας· ἀλλὰ κοῦφον ἦν τὸ τραῦμα· καὶ γὰρ τῆς βολῆς ἀνεῖλκεν ἑαυτὸν, καὶ τὸν αὐχένα πλητόμενον ἀνέφερεν εἰς τοὐπίσω, τήν τε πληγὴν ὑποχωρῶν ἐνεργὸν (1) εἶργε γενέσθαι, καὶ προελθεῖν ἐπὶ πλέον οὐ συνεχώρει, μέχρις Ἀγηνορίδης τὸν σίδηρον ἐσαραχθέντα τῷ φάρυγι εἰς τέλος ἐπισπέρχων εἰσώθησεν, ἔνθαπερ ἐπὶ πόδα ἀναχωροῦντι δρῦς ἀπέσχη, καὶ ἡ κεφαλὴ αὐτῷ δένδρῳ περιεπάρη. Τῷ δέ γε βάρει τοῦ δράκοντος ἐκυρτώθη τὸ δένδρον, καὶ ἔσεισε, τῷ τῆς οὐρᾶς ἄκρῳ τῶν οἰκείων κλάδων μασσομένων. Τοῦ γε μὴν ἀρίστεως (2) τὸ μῆκος καὶ μανθάνοντος τοῦ πτηθέντος ἐχθροῦ, φωνὴ ἐξαίφνης ἠκούσθη, πόθεν μέντοι οὐκ ἦν ἐκ τοῦ παρόντος γνῶσκειν· ἠκούσθη δ' οὖν·

Κάδμε Ἀγηνορίδη, τί ποτε κτανθέντα δράκοντα
Λεύσσεις; Καὶ σὺ δ' ὄφις ἔρχθήσεαι ὕστερον αὖτις.

Ὁ μὲν οὖν ἐπὶ μακρὸν ἐκθαμβος ἅμα ταῖς φρεσὶ καὶ τὴν χεῖρα ἀπολώλεκε, καὶ ψυχρῷ φόβῳ αἱ τρίχες ἔφριξαν· ἰδοῦ δὲ καὶ ἡ τοῦ ἀνδρὸς ἡγεμονὶς Παλλὰς, τῆς οὐρανίας αὔρας διολισθήσασα, πάρεστι, καὶ κελεύει νεωθείσῃ τῇ γῇ τοὺς δρακοντείους ὀδόντας ὑποθεῖναι, δήμου μέλλοντος σπέρματα. Ὁ δ' εἴκει, καὶ, ἀρότρῳ πεσθέντι ἀνοίξας αὐλακας, σπείρει κατὰ γῆς τοὺς κελευσθέντας ὀδόντας, ἀνθρώπων δὴ σπέρ-

(1) Codd. ambo, male, ἐνεργῶν. (2) Codices exhibent ἀειστέος.

ματα. Ἐντεῦθεν, μεῖζον πίστεως, οἱ βῶλοι κινεῖσθαι ἤρξαντο, καὶ πρώτη μὲν φάλαγξ ἐκ τῆς αὐλακος ἀνεφάνη, δόρατα (1)· αὐτίκα δ' ἔπειτα κράνη λόφοις νεύοντα ποικίλοις, αὐτίκα δ' αὖθις ὦμοι, στέρνα τε, καὶ ὅπλοις βαρυνόμεναι χεῖρες ἐπανεστήκασι· καὶ λήϊον ἀνδρῶν ἠδρύνθη κατάφρακτον. Οὕτως, αἰσθομένων ἐν τοῖς παιδήμοις θεάτροις τῶν αὐλαιῶν, ἐγείρεσθαι εἰώθασιν αἱ σημαῖαι (2), καὶ πρῶτα μὲν δεικνύναι τὰ πρόσωπα, τὰ λοιπὰ δὲ κατὰ μικρὸν, ἡσυχῇ τε καὶ κατὰ συνέχειαν ἐξαιρούμεναι, ὅλαι φαίνονται, καὶ τιθέασι τοὺς πόδας ἐν ἄκρῳ τῷ λώματι. Ὁ δὲ δὴ Κάδμος, τῷ καινῷ καταπλαγεὶς ἐχθρῷ, ἕτοιμος ἐγίνετο λαμβάνειν ὅπλα· εἷς δέ τις τοῦ δήμου τοῦ ἐκ γῆς ἀναδοθέντος ἀνέκραγε· « Μὴ » λάμβανε, μηδὲ σαυτὸν ἐμφύλιοις (3) πολέμοις πα» ράβαλλε. » Καὶ οὕτως ἕνα τῶν γηγενῶν ἀδελφῶν ἐγγύθεν σταγανῷ (4) παίει ξίφει, ἀκοντίῳ δὲ πόρρωθεν αὐτὸς τύπτει. Ἀλλά γε δὴ καὶ οὗτος, ὃς τοῦτον θανάτῳ δέδωκεν, οὐκ ἐπὶ πλέον ἔζησεν αὐτοῦ· ἐκπνεῖ δ'

(1) Ovidius : « Primaque de » sulcis *acies* apparuit hastæ. » Mirus Planudis lapsus, qui *acies* esse credidit pro *agmen*, et *hastæ* in recto plurali positum. Vertendum : *καὶ πρόσωπα μὲν* (vel *ἄκρα μὲν*) *αἰχμὴ δόρατος ἐκ τῆς αὐλακος ἀνεφάνη.*

(2) Glossa in B, *ἔρκα σημαίας.* Ovidianum *signa* (*statuas* nempe) male reddidit. Nam *σημαῖαι* sunt *signa* quidem, sed militaria, vexilla. Herodianus in Epimerismis, *σημαία, τὸ φλάμουλον* : ubi confer quæ adposui. In Marmore Ancyrano græco legitur *τὰς σημέας*, quod Sancto-Crucius in Memoriis Acad. Inscription. t. XLVII, H. p. 96, ait esse *terme du dialecte Galatique pour τὰ σημεῖα.* Bene vidit Oberlinus (ad Tacit. t. IV, p. 328, in hoc Bibliothecæ latinæ Syntagmate Lemariano) *σημέας* esse pro *σημαίας*; et *σημαία* est vox Ἑλληνική, non Γαλατική, a *σημεῖον* detorta. Jam in hac voce erravit Planud., *signum*, nempe *statuam*, *τέρας* interpretatus : conf. p. 88.

(3) B, *ἐμφύλμοις.*

(4) A, *σπαθῷ.*

εὐθὺς ἦν ἀρτίως ἀναπέπνευκεν αὔραν. Ὑποδείγματί τε ἴσῳ μαίνεται σύμπας ὁ δῆμος, καὶ τῷ ἰδίῳ πολέμῳ πίπτουσι δι' ἀμοιβαίων τραυμάτων ἐξαπίνης οἱ ἀδελφοί. Ἤδη τε οὖν ἡ βαρχέος βίου διάσημα κληρωσαμένη νεολαία αἱματωθεῖσαν τὴν μητέρα θερμῷ (1) ὀρνεῖς πίπτουσες ἔτυπτον στήθει, πέπτε μόνων περιγενομένων, ὧν εἷς ἦν Ἐχίων. Οὗτος γὰρ, κατὰ γῆς ῥίψας τὰ ὅπλα παραινέσει τῆς Τριτωνίδος, τῆς ἐκ τῶν ἀδελφῶν εἰρήνης πίστιν ἠτήσατό τε καὶ ἔδωκε. Τούτους ἔσχε τοῦ ἔργου συμπράκτορας ὁ Σιδώνιος ξένος, ἡνίκα τὴν κελευσθεῖσαν ταῖς Φοιβείαις κληδόσι πόλιν ἀνίστη.

Ἤδη μὲν οὖν ἔστησαν αἱ Θῆβαι· ἤδη δὲ, Κάδμε, οἷός τ' ἦσθα τῇ ὑπηρεσίᾳ δοκεῖν εὐδαίμων· κηδεσταὶ γάρ σοι Ἄρης καὶ Ἀφροδίτη κατέστησαν, οἷς πρόσθες καὶ γένος ἐκ τοιάσδε συζύγου, τόσους υἱοὺς καὶ θυγατέρας καὶ ἐγγόνους, τῆς τύχης ἐνέχυρα φίλτατα (2), καὶ τούτους ἤδη νεανίας. Ἀλλ', ὡς ἔοικεν, ἀεὶ τὴν ἐσχάτην ἡμέραν ἐκδέχεσθαι χρεὼν ἄνθρωπον ὄντα, καὶ μακάριον οὐδένα πρὸ τελευτῆς καὶ τῆς ὑστάτης ἀναπνοῆς χρὴ λέγειν. Πρώτη γάρ σοι θρήνων ἀφορμὴ, Κάδμε, γέγονεν ἐν τοσοῖσδε δεξιώμασι

(1) In codice Planudes suo habuit *tepido plangebant*, non *trepido*. *Plangebant*, quod bene vertit ἐπαίων, *trepido* aptius jungitur quam *tepido*.

(2) Latina *pignora cara* male vertit. Poterat simpliciter scribere τὰ φίλτατα, et bonum fidelemque egisset interpretem. Etenim τὰ φίλτατα Græcis id ipsum est quod Latini *pignora cara* vocant. Clytæmnestra Iphigeniam vocat τὰ φίλτατα; Agamemnon ait se ἐπὶ τοῖς φιλτάτοις τέκνας φορίζειν; Jocasta ἐν τοῖς φιλτάτοις jacet, inter filios nempe mortuos moritura. Confer Valckenarium ad Euripidis Phœnissas 437, 1477; Hœpfnerum ad Iphigeniam Aulidensem 458.

τῆς τύχης, ὁ Θυγατρίδους, καὶ κέρα ἀλλότρια τῷ ἐκείνου προσφύλα μετώπῳ, καὶ ὑμεῖς, ὦ κύνες, οἱ τοῦ δεσποτικοῦ αἵματος ἄδην πιόντες. Εἰ μέντοι καλῶς (1) ζητοίης, πλαῖσμα τύχης ἐν ἐκείνῳ, καὶ οὐχ ἑκούσιον εὑρήσεις ἁμάρτημα· τίνα γὰρ ἁμαρτίαν εἶχεν ἡ πλάνη;

Ὅρος ἦν διαφόρων θηρῶν φόνῳ μεμολυσμένον (2)· καὶ ἡμέρας ἤδη τὸ μεσαίταλον τὰς τῶν σωμάτων συνέσπειλε σκιάς, καὶ ἥλιος ἐκ τῶν ἴσων ἐκλέγου καμπτῆρος ἀφεσπήκει. Ὁ δὲ νεανίας τοὺς κοινωνοὺς τῶν ἔργων δι' ἀβάτων φωλεῶν ἁλωμένους εὐμενεῖ στόματι ἀσθμαίνων δὴ (3) συναθροίζει, « Τὰ λῖνα

(1) B, καλῆς, et ad marginem, ἴσως καλῶς.

(2) Codices, μεμολυσμένων.

(3) *Ovidius*, « juvenis Hyantius. » Quum Actæon non pertinuerit ad Hyantas, gentem Bœotiam quæ circa Alalcomeniam habitabat, *Hyantius* hic est simpliciter pro *Bœotius* positum : cf. Pined. ad Stephani Byz. Ὑαντης; Oberlin. ad Vibium, p. 219; Claver. ad Apollod. p. 363; Etym. M. Quod qui ignorabat Planudes, nec se ab hac voce bene expediens, et nescio qua cum verbo *hiare* similitudine deceptus, scripsit ἀσθμαίνων δή, nempe *qui præ æstu et nimia defatigatione anhelabat hiante ore*. Agri *Hyantei* in versu 183 Thebaïdos primæ (« Cadmus Exul Hyan- » teos invenit regna per agros ») illi homini fuissent squalentes agri et sitientes fissurisque hiantes, quum sint agri ab antiquis Hyantibus inculti. Vetus Scholiastes, Lactantius vulgo dictus, Thebas Hyanteas fuisse vocatas ait a Nympha quæ illic colitur, vel a satis Serpentis dentibus : hæc ratio est ineptissima ; illa caret auctoritate. Ab interprete qui vertit, Marollio præeunte, *les campagnes arrosées par l'Hyante*, doceri velim unde flumen noverit *Hyantem*. Simon, quidem, ille qui nuper Martiali versione pessima sibique nocuit, pro latinis XII, 3, « Clarus *Hyanteæ* Stella sititor aquæ, » nec bene descriptis, hæc nobis apposuit gallica, *Stella qui se désaltère dans la fontaine d'Ianthis*, ipse hoc fonte labra non proluens Hyanteo. Notabo simul virum, cetera diligentissimum, qui *Hyanteus* et *Hyantius* vertit *d'Actéon* ; unde aqua illa *Hyantea*, et Aganippe *Hyantea* Ovidii, M. v, 312, fiet *l'eau d'Actéon* et *l'Aganippe*

» μέν », λέγων « ἑταῖροι, καὶ ὅσις ἡμῖν (1) σίδηρος
» τῷ τῶν θηρῶν λέλουται λύθρῳ, καὶ τῆς τύχης ἅλις
» ἦδ' ἔσχεν ἡ ἡμέρα· τῇ δ' ἐπιούσῃ, ἐπειδὰν ἡ
» ἠὼς ἐπὶ κρυσταφῶν (2) φερομένη τῶν δίφρων τὸ φῶς
» ἐπαναγάγῃ, ἀναληψόμεθα τὸ παρακείμενον ἔργον.
» Νῦν δ' ὁ Φοῖβος ἑκατέρας γῆς τὸ ἴσον ἀφίσταται,
» καὶ ταῖς τῶν ἀτμῶν ἀνιμήσεσι τὴν γῆν διαῤῥήσει.
» Στῆτε τὸ νῦν ἔχον τοῦ πόνου, τά τε πολύπλοκα
» ἄρατε λῖνα (3). » Εἶπε, καὶ οἱ ἄνδρες τὰ κελευσμένα ποιοῦσι, καὶ τὸν μόχθον διαλιμπάνουσιν.

Ἦν δέ τις κοιλὰς πεύκαις καὶ ὀξείᾳ κυπαρίσσῳ καλλάκομος, τοὔνομα Γαργαφία, ἱερὰ τῆς εὐζώνου Ἀρτέμιδος· ἧς περὶς ταῖς ἐσχατιαῖς ἀνακεχωρηκώς ἐστι συνηρεφὲς ἄντρον, τέχνῃ μὲν ἐκπεπονημένον οὐδεμιᾷ· ἀτὰρ ἡ φύσις τῷ καθ' αὑτὴν διαπεφυκότι τὴν τέχνην αὐτὴν ἐμιμήσατο. Καὶ γὰρ κισσήρει καὶ κούφοις πώρεσι (4) αὐτοφυῆ περιηγάγετο σταλάν. Πηγὴ

d'Actéon; quod nec bene conveniet *Hyanteo* Iolao Ovidii, M. VIII, 310. Eruditius se gessit Popius in loco Thebaïdos vertendo : *Cadmus..... fated in Bœotian fields to found A rising empire on a foreign ground.* Etymologus M. ait Bœotos Ὑαντας fuisse dictos διὰ τὸ χοιρώδεις εἶναι, inepte, ut solet scriptor ille.

(1) A, ἡμῖν in ὑμῖν mutatum. B, ὑμῖν, et supra, a prima manu, ἡμῖν. Hoc prætuli. Infra ad ν. 330, pro ὑμᾶς, A male ἡμᾶς : et ad 448, A et B male ὑμᾶς.

(2) A, κρομοσαφῶν.

(3) Codices hic et supra, λῖνα : sed λίνα melius foret.

(4) Ovidius, *levibus tophis*. In codice utroque post κούφοις est lacunula. Planudes vocem *tophis* vertere non potuit, et omisit, significans tamen ingenue se fuisse versurum, si potuisset. Probabili lacunam implevi supplemento. Vox a πῶρος derivata, πώρωσις, Etym. M. restituenda, in Ἄπυκλος. Ἄπυκλος, ait, ἄπιστος (lege ἄπιστος) καὶ ἀναίσθητος, ὁ μήτε παραινέσει, μήτε [φόβῳ] τὴν πώρωσιν (lege πώρωσιν) καὶ τὸ τοῦ ἤθους σκληρὸν τυγχάνων. Emendationes plane firmantur Lexicis apud Ruhnken. ad Tim. p. 249, quæ Etymologus exscripsisse ad verbum videtur, omissa tamen

δὲ οἱ ἐκ δεξιῶν κελαρύζει, λεπτῷ τε ὕδατι διαφανεστάτῃ, καὶ λώματι χλοηφόρῳ τὰς σεσηρυίας ὄχθας περιεζωσμένη· ὅθιπερ ἡ τῶν δρυμῶν θεὰ κάμνουσα τῇ θηρσονίᾳ τὰ παρθενικὰ μέλη καθαρῷ ῥείθρῳ λούειν εἰώθει. Τοῦτο τοίνυν ὑπελθοῦσα μιᾷ τῶν ὁπλοφόρων Νυμφῶν τὸ ἀκόντιον παρεδέδωκε, τήν τε φαρέτρην καὶ τὸ τόξον ἀνειμένον· ἄλλῃ δὲ, τὴν ἐσθῆτα τῆς θεᾶς ἀποδυομένης, τοὺς πήχεις ὑπέτεινε· δύο δὲ τὰς ἐνδρομίδας τῶν ποδῶν ὑπολύουσιν· ἡ δ' ἐκείνων ἐμπειρίᾳ Ἰσμηνὶς Κερκάλη κατὰ τοῦ ταρσοῦ διεσκεδασμένους τοὺς βοστρύχους εἰς δεσμὸν ἕνα συνάγει, εἰ καὶ τὰ μάλιστά γε αὐτὴ περιφοιτᾷ λυσιέθειρα. Ἀναλαμβάνουσι τοίνυν ὕδωρ Νύμφη (1) καὶ Ὑάλη, καὶ Ῥανὶς, καὶ Ψεκὰς, καὶ Φιάλη, καὶ εὐρυχώρους ταμοὺς (2) ἐγχέουσιν. Ἐν ὅσῳ δὴ τοῖς εἰωθόσιν ὕδασιν ἡ Τιτανὶς ἐκεῖ λούεται, ἰδοὺ καὶ ὁ τοῦ Κάδμου θυγατριδοῦς, μέρος τι τῶν καμάτων διαφέρων, δι' ἀγνώστου νέμους πλάνησι πορείαις ἀλώμενος, ἀφίκετο καὶ κατὰ τὴν λόχμην· οὕτω γὰρ ἔφερεν ἐκεῖνον αἱ Μοῖραι. Τοῦτον δ' εἰς τὸ περικλυζόμενον ἄντρον ὑπὸ τῆς πηγῆς εἰσελθόντα ὡς εἶδον αἱ Νύμφαι,

voce φόβω, cujus defectum τῷ ἀπυλῇ Sylburgius supplere voluit. Miror Arnaldum Lectt. Gr. p. 25, hoc loco usum, ad hæc menda non offendisse. In Lexico Rhetorico Bekk. Anecd. p. 458, 13, ἄπισος in ἄπιστος mutetur. Ibidem ἄπιγκλος dicitur σκληρὸς ὢν ὡς ἡ πίτυα, quod et ad τὸ πώρωσις facit stabiliendum.

(1) Habuit in codice *Nymphe*. Nunc legimus *Nephele*. Mox scripsi καὶ Ῥανὶς pro codicum lectione κερανίς. Errorem similitudo soni τοῦ αι et τοῦ ε peperit. Nihil frequentius. Ovidius: *Rhanisque*.

(2) A, ταμοὺς. B, ταμιούς. Forma, quam reposui, videtur ex optimo Ravennate libro Nubibus danda v. 237. In Ione v. 435, ταμοῦσιν malum esse puto, et cum Barnesio placet magis ταμιοῦσιν.

γυμνὰ τὰ ἑαυτῶν ἐπλήξαντο στέρνα, καὶ αἰφνιδίων ὀλολυγμῶν ἅπαν τὸ νέμος ἐπλήρωσαν, καὶ περιχυθεῖσαι τὴν Ἄρτεμιν τοῖς ἑαυτῶν ἔσκεπον σώμασιν· ὑψηλοτέρα δ' ὅμως ἁπασῶν ἦν ἡ θεὰ, καὶ μέχρι τραχήλου πασῶν ὑπερεῖχεν. Οἷον δ' ἐν ταῖς νεφέλαις εἴωθε χρῶμα γίνεσθαι βαπτομέναις (1) ὑπὸ τῆς κατὰ πρόσωπον ἡλίου βολῆς, ἢ τῇ πορφυρᾷ ἕῳ, τοιοῦτον καὶ τῷ προσώπῳ γέγονε τῆς Ἀρτέμιδος ἐκτὸς ἐσθῆτος ὀφθείσης. Ἡ δ', εἰ καὶ τὰ μάλιστα τῷ τῆς ἑταιρείας περιεστοιχίσθη χορῷ, κατὰ πλευρὰν ὅμως λέχριος ἔστη, καὶ τὴν ὄψιν ἔστρεψεν (2) εἰς τοὐπίσω, καὶ ἤθελεν ἕτοιμα φέρειν τὰ βέλη· ὃ δ' οὖν εἶχεν ὕδωρ ἀρυσαμένη (3) τῆς ἀνδρώας κατεσκέδασεν ὄψεως, καὶ τὴν κεφαλὴν ἀμυντηρίοις ὕδασι καταῤῥαίνουσα, καὶ τὰ ῥήματα τάδε προσέθετο τοῦ μέλλοντος ὀλέθρου προάγγελα· « Νῦν σοι ἔξεστι διηγεῖσθαι ἰδεῖν με » θοιμάτιον ἀποδυσαμένην, εἰ ἄρα διηγεῖσθαι δυ- » νήσῃ. » Πλέον οὐδὲν φθεγξαμένη τῇ βραχείσῃ (4) δίδωσι κεφαλῇ μακροβίου ἐλάφου κέρα· δίδωσι τῷ αὐχένι διάστημα, καὶ πρὸς ἄκρον ὀξύνει τὰ ὦτα· σὺν ποσί τε χεῖρας, καὶ σὺν μακραῖς κνήμαις τοὺς πήχεις μεταβάλλει· καὶ δορᾷ τὸ σῶμα περισκέπει καταστίκτῳ. Προσετέθη δὴ καὶ δέος, καὶ φεύγει ὁ Ἀκταιώνιος (5) ἥρως, καὶ ἑαυτὸν οὕτω ταχὺν ἐν αὐτῷ

(1) Codices, βλαπτομέναις: quod mutavi. Simile mendum supra vidimus p. 53. Infra ad XII, 131, codex male pro βλαπτόμενον exhibet βαπτόμενον.

(2) B, ἔστρεφεν, et ad marg. γράφ. ἔστρεψεν.

(3) Codices ambo, ἀῤῥυσαμένη.

(4) Codices, βραχίσῃ.

(5) Ovidius, *Autonoeïus heros*. Absurde Planudes vocem, quam non intelligebat, mutavit. Corrigat lector, Αὐτονοήϊος. Actæon Autonoës filius fuit.

θαυμάζει τῷ δρόμῳ. Τὰ δὲ κέρα καὶ τὴν ὄψιν ἐν τοῖς ὕδασι καλοπλεύσας « Οἴμοι, τάλας! » ἔμελλε λέγειν, φωνὴ δέ οἱ οὐδὲ μία τις εἵπετο· ἐσιέναξε γοῦν, καὶ ἀντὶ φωνῆς τοῦτο γέγονε· καὶ δάκρυα τὴν ἀλλοτρίαν ὄψιν κατέσταζον· μόνος δ' ὁ ἀρχαῖος συνέμεινε νοῦς. Τί πολ' οὖν δράσειε; πότερον ἀναζητήσειεν ἂν τὸν οἶκον καὶ τὰς βασιλικὰς στέγας, ἢ καλὰ τὸν δρυμὸν κρύπτοιτο; Φόβος μὲν τοῦτο, αἰσχύνη δὲ ἀνέστειλεν (1) ἐκεῖνο. Ταλανιευόμενον δὴ τὴν γνώμην εἶδον οἱ κύνες. Καὶ πρῶτος ὁ Μελάμπους, καὶ ὁ ἀγχίνους Ἰχνοβάτης σύνθημα ταῖς ὑλακαῖς ἔδωσαν· Κνώσσιος μὲν ὁ Ἰχνοβάτης, ὁ δὲ Μελάμπους Σπαρτιάτης τὸ γένος. Ἐνιεῦθεν δὴ συῤῥέουσιν οἱ λοιποὶ κούφης αὔρας ὀξύτερον, Παμφάγος καὶ Δορκεὺς καὶ Ὀρείβασος, Ἀρκάδες πάντες, Νεβροφόνος (2) τε ῥωμαλέος, καὶ χαλεπὸς σὺν Λαίλαπι Θήρων, καὶ ποσὶ Πτερέλας καὶ ῥισὶ χρήσιμος Ἄγρη, Ὑλαῖός (3) τε δεινὸς ἀρτίως ὑπὸ μονίου πεπληγμένος, καὶ ἐκ λύκου συλληφθεῖσα Νάπη, καὶ τοῖς θρέμμασιν ἑπομένη Ποιμενὶς, τέκνοις τε συνοῦσα δυσὶν Ἅρπυια, καὶ λίσπας φέρων ἰξὺς Σικυώνιος Λάγγων (4), καὶ Δεσμὰς, καὶ Καναχὶς (5), Δικτή (6) τε καὶ Τίγρις, καὶ Ἄλκη, καὶ χιονιάδης Λεύκων, καὶ λάχνης σκολεινῆς Ἄσβολος (7), σιερρόταλός τε Λείχων, καὶ τὸν δρόμον εὔτονος Ἀελλὰ (8), καὶ

(1) Codex B habet ἀνέστειλεν.

(2) Codices, πευρφόνος, permutatione solenni. Cf. p. 57.

(3) B, ὁ λαῖος. Ovid., *Hylæus.*

(4) Ovidius, *Ladon.*

(5) B, καναχὰς. Ovid., *Canace.*

(6) B, Δικτήνη. A, Δικτὴ, quod est vicinius Ovidiano *Sticte.* Vera lectio fuerit Σπκτὴ vel Σλίκτη.

(7) B, λαχνης σκοπεινὴ Ἄσβ. Ovidius: « Et niveis Leucon et villis » Asbolus atris. » Legit forsan Planudes *niveus*, et sic scripserit, puto, χιονώδης.

(8) Ovidius, *Aello.* Et Noster forte scripserat Ἀελλώ.

Θοὸς, καὶ ταχὺς Κυπρείων ἅμα μητρὶ Λυκίσκη (1), καὶ μέλαν μέτωπον μέσῳ λευκῷ κεχρωσμένος Ἄρπαλος, καὶ Μελανεὺς, καὶ ἀμφιλαφὴς τὴν τείχα Λάχνη, καὶ παλαιὸν μὲν Δικλαίῳ, μητρὶ δὲ Λακαίνῃ γεννηθέντες, Λάβρος καὶ Ἀγριόδους, καὶ ὀξυβόας Ὑλάκτωρ, καὶ οὓς καλαλέγειν ἐργῶδες. Τούτων τὸ ἄθρισμα, τῷ τῆς θήρας ἔρωτι, διὰ σκοπέλων, διὰ χρημνῶν καὶ πετρῶν πορείας ἀμοιβούσῶν, καὶ ἡ δυσχερὴς, καὶ ἡ μηδεμία ἐστὶν ὁδὸς, ἔπονται. Ὁ δὲ φεύγει δι' ὧν πολλάκις τόπων ἐδίωξε. Φεῦ! τοὺς αὐτὸς αὑτοῦ φεύγει δούλους. Καὶ ἤθελε φωνῆσαι (2), « Ἀκταίων ἐγώ » εἰμι· τὸν ὑμέτερον δεσπότην γνωρίσατε· » ἀλλ' ὁ νοῦς ῥημάτων ἐσπάνιζεν. Ἀνίσχει δὲ ταῖς ὑλακαῖς ὁ ἀήρ. Πρῶτα μὲν οὖν ὁ Μελανχαίτης κατὰ τῶν νώτων (3) εἰργάσατο τραύματα, τούτῳ δ' ἑπόμενος ὁ Θηριδάμας· ὁ δ' Ὀρεσίτροφος τοῖς ἄρθροις ἐνέφυ. Βράδιον μὲν οὖν ἐξήεσαν, ἀλλὰ διὰ τῶν ἐπικρήμνων τοῦ ὄρους ἐπιτομωτέρα γέγονεν ἡ ὁδός. Ἐκείνων γε μὴν τὸν δεσπότην καταλεχόντων, τὸ λοιπὸν συνέρχεται σύστημα, καὶ τραγάσει τοὺς ὀδόντας τῷ σώματι (4). Ἤδη μὲν οὖν τόπος ἐνέδει τοῖς τραύμασιν· ὁ δὲ σθένει, καὶ ἦχον, εἰ καὶ μὴ ἀνθρώπου, ὃν δὲ τέως ἀναδοῦναι

(1) Ovidius: « et Cyprio velox » cum fratre Lycisce. » Planudes *Cyprio* habuit pro nominativo (*Cyprio, onis*), et pro *fratre* legisse videtur *matre*. Codd. λυκίσκη, quod e latino *Lycisce*, male pronuntiato, ortum est. Ad latinorum mentem verte : καὶ Κυπρίῳ ἅμα ἀδελφῷ Λυκίσκῃ.

(2) Codices, φωπῆ. Scripsi φωνῆσαι, re jubente. Mox A, ἀνπχεῖ, qui et supra (monere non memineram) exhibuit, ἔποτπο.

(3) A, τὸν νῶπον: non rara synchysi τῶν ω et ο. Supra p. 7, penult. A habuit μιπωπόρου. Infra ad ν. 534, codd. male ὅσθ' pro ὥσθ'.

(4) A, σώμαπ. Et sic infra peccat ad ν. 249.

δύναιτ' ἂν ἔλαφος (1), ἔχει, καὶ γοερῶν κωκυμάτων τὰς συνήθεις δειράδας πληροῖ. Ὀκλάσας δὲ τὰ γόνατα, καὶ ἐοικὼς ἱκετεύοντι, σιωπῇ τὸ πρόσωπον, οἷα δὴ χεῖρας, περιφέρει. Οἵ γε μὴν ἑταῖροι ἀγνοοῦντες τὸ ὀξὺ ταῖς εἰωθυίαις ὑλακαῖς τάγμα διερεθίζουσι, καὶ ζητοῦσι τοῖς ὀφθαλμοῖς τὸν Ἀκταίωνα, καὶ οἷάπερ ἀπόντα ἐπτοημένως καλοῦσι δὴ τὸν Ἀκταίωνα· ὁ δὲ πρὸς τοὔνομα τὴν κεφαλὴν ἀναφέρει (2). Οἱ δ' ὡς ἀπόντι μέμφονται καὶ ἀμελοῦντι τοῦ τὴν προσαγομένην θήραν εἰς ὄψιν λαβεῖν· ἀλλ' ἐκεῖνος ηὔχετο μὲν ἀπεῖναι, παρῆν δὲ, καὶ ἤθελε βλέπειν, οὐ μὴν καὶ αἰσθάνεσθαι τῶν χαλεπῶν τῶν ἑαυτοῦ κυνῶν ἔργων. Οἱ δ' οὖν κύνες πάντοθεν περιΐστανται, καὶ, ἐνέντες εἰς τὸ σῶμα τὰ ῥύγχη, τὸν δεσπότην διασπαράττουσιν ὑπὸ ψευδεῖ τύπῳ ἐλάφου. Οὐδὲ, πρὶν ἢ πλείστοις τραύμασι τὴν ἐκείνου τελευτῆσαι ζωὴν, ὁ τῆς ἰοχέαιρας (3) θυμὸς Ἀρτέμιδος λέγεται κορεσθῆναι.

Φήμη μὲν οὖν ἐν ἀμφιβόλῳ κεῖται. Τοῖς μὲν γὰρ ἀποτομωτέρα τοῦ δικαίου δοκεῖ ἡ θεός· οἱ δ' αὐτὴν ἐπαινοῦσι, καὶ ἀξίαν τῆς ἀνενδότου καλοῦσι παρθενίας. Ἑκάτερον γὰρ μέρος λόγους ἐφευρίσκει. Μόνη δ' ἡ τοῦ Διὸς σύζυγος οὔκουν τοσοῦτον ἤτοι μέμ-

(1) Ovidius: « Et, si non hominis, quem non tamen edere possit Cervus, habet. » Planudes, scribens εἰ καὶ, legebat *etsi*, non *et, si*, quod merito nolebat sic divisim legi vir doct. in Classica Valpyi Ephemeride t. XI, p. 178. Sed interpres male omisit alteram negationem, quæ ipsum forte impediebat. Locus tamen non valde obscurus est.

(2) A omittit ἀναφέρει. Mox Planudes legit *et abesse queruntur*, recte, non *ut ab. quer.*, quod invitis libris citraque necessitatem Heinsius reposuit, cui paruit Gierig., Editore nostro, viro doctissimo, repugnante, idque merito.

(3) A, ἰοχαίδας. B, ἰοχαιέρας. Et statim A, κορισθῆναι.

φαιτ' ἄν, ἢ δοκιμάσειε τὸ σῶγμα (1), ὅσον τῷ τῆς οἰκίας ὀλέθρῳ χαίρει τῆς ἐξ Ἀγήνορος κατιούσης, καὶ τὸ συναθροισθὲν αὐτῇ μῖσος ἐκ τῆς Τυρίας ἀνιζήλου εἰς τοὺς τοῦ γένους κοινωνοὺς μεταφέρει. Ἰδοὺ (2) δὲ καπὶ τῇ πρεσβυτέρᾳ σοφάσει σόσφαλος ἀναφύεται, καὶ κνίζει ταύτην τὸ τὴν Σεμέλην ἐκ τῆς σποδοῦς τοῦ μεγάλου Διὸς κύειν· καὶ τὴν γλῶτταν λύειν διανοεῖται σοὸς λοιδορίας. « Ἀλλὰ γὰρ τί τοσάκις » διὰ τῆς λοιδορίας » εἶπεν « ἤνυσα; Αὐτή μοι ζήλητέα ἐστίν. Αὐτήν, εἰ Μεγίστη Ἥρα καλοῦμαι δικαίως, ἀπολέσω, εἴ γε ἐμοὶ τὸ διάλιθον σκῆπτρον » τῇ χειρὶ σπέπει φέρειν, εἴπερ εἰμὶ δέσποινα καὶ » τοῦ Διὸς ἀδελφή τε καὶ σύζυγος· ἀδελφή γε τῷ » ὄντι. Ἀλλ', οἶμαι, τοῖς κλέμμασιν ἀγαπᾷ, καὶ τοῦ » ἡμελέγου θαλάμου ἡ ὕβρις βραχεῖα αὐτῇ γίνεται. » Συνέλαβε· τοῦτο μόνον ἀπῆν· καὶ φανερὸν τὸ πάθος » βαθούσῃ φέρει γαστρί, καὶ ἡ μήτηρ, ὃ μόλις ἐμοὶ » μόνῃ συνηνέχθη, ἐκ τοῦ Διὸς γενέσθαι βούλεται· » τοσαύτη ἐστὶν ἡ ἐπὶ τῷ κάλλει πεποίθησις· ὅπερ » αὐτὴν ἐγὼ σφῆλαι ποιήσω. Ἢ οὐκ εἰμὶ Κρονία, » εἰ μὴ, ὑπὸ τοῦ Διὸς αὐτῆς καταπονλισθεῖσα, σοὸς » τὸ Στύγιον διελεύσεται ὕδωρ. »

Τούτοις ῥηθεῖσιν, ἀνίσταται τοῦ θρόνου, καὶ ξανθῇ κεκαλυμμένη νεφέλῃ τοῖς τῆς Σεμέλης σόσεισι δώμασιν. Οὐ μέντοι σρότερον τὴν νεφέλην μετέστησεν, ἢ γυμνὴ ἑαυτὴν εἴκασε, καὶ πολιὰς τοῖς κροτάφοις ἐπέθηκε, καὶ καλεχάραξε τὸ δέρμα ῥυτίσι (3), καὶ κυρτὰ μέλη καὶ τρομερὸν ἀνέλαβε βῆμα, καὶ γραώδη τὴν

(1) Abest forsan, λέγει, quod respondeat latino *eloquitur*.

(2) B, *ἰδών*. Mox A, *ἡ μεγίστη*.

(3) A, *ῥυπῶσι*. Modo A B, *ἡ οὐκ*.

φωνὴν ἀπιέλεσεν· αὐτή τε (1) ἦν Βερόη, ἡ τῆς Σεμέλης Ἐπιδαυρία τροφός. Ἐπεὶ δὲ, λόγων ἀψάμενα καὶ ἐπὶ πλεῖστον ὁμιλοῦσα, πρὸς τὸ Διὸς ἦλθον ὄνομα, ἡ γραῦς ἐστέναξε, καὶ « Εὔχομαι » εἶπεν « εἶναι » τὸν Δία· δέδοικα δ' οὖν ἅπαντα. Πολλοὶ τῷ τῶν » θεῶν ὀνόματι πρὸς τοὺς σεμνοὺς εἰσεφθάρησαν θα- » λάμους. Ἀλλ' οὐκ ἀπόχρη τοῦτο μόνον εἶναι Δία· » ἐχέγγυον δότω τοῦ ἔρωτος. Εἴπερ ἀληθῶς οὗτός » ἐστιν, ὅσος τε καὶ οἷος ὑπὸ τῆς μεγάλης δέχεται » Ἥρας, τόσος καὶ τοιοῦτος, δεήθητι, δότω σοι τὰς » περιπλοκὰς, καὶ τουπίσημον αὐτοῦ πρόσθεν ἀρά- » τω.» Τοιοῖσδε λόγοις ἀγνοοῦσαν τὴν Καδμηΐδα παι- δοτριβήσασα τῆς Ἥρας, ἐκείνη τὸν Δία δῶρον ἀνώ- νυμον αἰτεῖ. Ταύτῃ δ' ὁ θεὸς « Ἐκλεξαι » εἶπεν· « οὐδὲ μίαν (2) ἀρνησιν ὑποστήσῃ. Ὡς ἂν δὲ μᾶλλον πι- » στεύσειας, ἡ τοῦ Στυγίου χειμάρρου θειότης τοῦτο » συνίστω· ὁ φόβος δῆτα καὶ θεὸς τῶν θεῶν. » Ἡ τοί- νυν Σεμέλη τῷ κακῷ χαίρουσα, σφόδρα τε ἰσχύουσα τοῖς ὅρκοις, καὶ τῇ τοῦ ἐρῶντος εὐπειθείᾳ ἤδη ἀπο- λουμένη, « Οἷον εἴωθεν » εἶπεν « ἡ Ἥρα σε ἀγκαλί- » ζεσθαι, ἡνίκ' ἂν καλὰ νόμον Ἀφροδίτης συνέρχησθε, » τοιοῦτόν μοι σαυτὸν δός.» Ἠθέλησεν ὁ θεὸς ἐπι- σχεῖν φθεγγομένης τὸ στόμα, ἀλλ', ἤδη τῆς φωνῆς ἐκδραμούσης ὅτι τάχιστα πρὸς ἀέρα, ἐστέναξεν· οὔτε γὰρ τὴν Σεμέλην μὴ ἠτηκέναι τοῦτο, οὔτ' ἐκεῖνον μὴ ὀμωμοκέναι οἷόν τ' ἦν. Τοίνυν περιπαθέ- στατος περὶ τὸν ὑψηλὸν ἀνῆλθεν αἰθέρα, κἀπὶ τὸ πρόσωπον τὰς ὀπαδοὺς νεφέλας συνείλκυσεν, αἷς

(1) B, αὐτὴ ἡς. Latina : « ipsa- que fit Beroe. » Cf. p. 78.

(2) B, οὐδεμία : et sic p. 105, 3. Confer not. pag. 71.

ὑέτοὺς καὶ ἀνέμοις ἀστραπὰς συνεζευγμένας προσέθηκε, βροντάς τε καὶ τὸν ἀναπόδραστον (1) κεραυνόν· πλὴν, ἐφ' ὅσον οἷόν τε δύναται (2), τῆς ἐκείνου (3) δυνάμεως ἀφαιρεῖν πειρᾶται. Οὔτε μὴν ἐκείνῳ νῦν ὁπλίζεται τῷ πυρὶ, ᾧ τὸν ἑκατόγχειρα καθεῖλε Τυφῶνα· πολύ τι γὰρ αὐστηρότητός ἐστιν ἐν ἐκείνῳ. Ἔστι δ' ἄλλος κουφότερος κεραυνὸς, ᾧπερ ἡ τῶν Κυκλώπων δεξιὰ ἧττον αὐστηρότητός τε καὶ φλογὸς καὶ ἧττον ὀργῆς συνεκέρασε· βέλη Δεύτερα ταῦτα καλοῦσιν οἱ θεοί· ἃ δὴ λαβὼν, εἰς τὴν Ἀγηνορείαν οἰκίαν εἰσεισι. Τὸ δέ γε θνητὸν σῶμα τὴν αἰθερίαν οὐκ ἤνεγκε ταραχήν· ἀμέλει (4) δὴ καὶ τοῖς ἐπιθαλαμίοις δώροις ἐφλέχθη. Τὸ δὲ βρέφος ἡμιτελὲς ἔτι τῆς μητρικῆς γαστρὸς ἐξαρπάζεται, καὶ ἁπαλὸν ἔτι τῷ τοῦ πατρὸς (εἰ πιστεύειν ἄξιον) ῥάπτεται μηρῷ, καὶ τὸν τῆς μητρὸς χρόνον ἀναπληροῖ. Λάθρα δ' ἐκεῖνο πρῶτον ἡ τηθὶς (5) Ἰνὼ ἐν λίκνῳ τρέφει· ἐκεῖθεν δ' αἱ Νυσηΐδες λαβοῦσαι Νύμφαι πρὸς τοῖς ἑαυτῶν ἔκρυπτον ἄντροις, καὶ γάλακτος παρεῖχον τροφήν.

Τούτων τοίνυν ἀνὰ πᾶσαν τὴν γῆν τῷ νόμῳ τῆς φήμης φερομένων (6), καὶ τῆς τροφῆς τοῦ δὶς γεννη-

(1) Cod. B, ἀπόδραστον brevius.

(2) Quis nollet abesse vel δύναται, vel οἷόν τε? Ceterum hoc abutitur pleonasmo Zosimus, IV, 6: ᾠήθη δεῖν ὁ Προκόπιος ἐπιπέμψαι τινὰς οἳ δυνήσονται πάντας, οὓς ἂν οἷοί τε ὦσιν, ὡς αὐτὸν μεταστῆσαι.

(3) Male ἐκείνου, quod referas ad κεραυνόν. Ovidius: « vires *sibi* demere tentat. » Scribere debuit Planudes ἑαυτοῦ. Sæpicule in hoc pronomine vertendo peccat.

(4) A, οἱ θεοί. ἀμέλει: mediis omissis.

(5) B, τυθίς. Et statim, λίμνω, et Νισηΐδες.

(6) Ovidius: « Dumque ea per » terras *fatali lege geruntur.* » In quibus bis turpiterque se dedit Planudes, dum *fatalis* a verbo *fari, dicere*, ita deduxit, ut ipsi *fatalis* esset *qui dicitur, qui fama celebratur*, et dum τὸ *geruntur* idem significare τῷ *feruntur* pu-

θένλος Διονύσου ἀσφαλῶς γινομένης, λόγῳ αἱρεῖ, τυχὸν οὕτω, τὸν Δία, τῷ νέκλαρι ἀνεθέντα, τὰς βαρείας ἀπολεθεικένας φρενίδας, καὶ μετὰ τῆς Ἥρας, φρενίδων κἀκείνης ἀπαλλαγείσης, παιδιὰν σὺν ῥαστώνῃ περικεκλικένας (1), καὶ « Μείζων » εἰρηκέναι « παν- » τάπασιν ἡ ὑμελέρα ἐπιθυμία, ἢ ἥτις περέσεσι τοῖς » ἀνδράσιν. » Ἡ δ' ἀπαρνεῖται. Καὶ ἐπὶ τούτοις ἤρεσε ζητῆσαι τίς ἂν ἡ τοῦ πεπιερμένου Τειρεσίου ψῆφος ἐπ' αὐτῷ εἴη. Τούτῳ γὰρ ἡ ἑκατέρων ἔγνωστο ἀφεδίτη. Ὀφεων γὰρ μεγάλων ὁλκοὺς δύο κατὰ τὸ χλοερὸν νέμος συγγινομένων, τὴν βακτηρίαν καθενεγκὼν, παίει· καὶ, ἐξ ἀνδρὸς θαυμασίως γυνὴ γενόμενος, ἑπτὰ μετοπωρινὰς διετέλεσεν ὥρας, τῇ δ' ὀγδόῃ πάλιν τοὺς αὐτοὺς ἐθεάσατο, καὶ « Εἰ τοσαύτη ἐστὶν » ἡ ἰσχὺς » εἶπε « τῆς ὑμετέρας πληγῆς, ὡς τὴν » τοῦ πλήττοντος φύσιν εἰς τἀναντία μεθαρμόζειν, » καὶ νῦν αὖθις ὑμᾶς παίσω. » Παλάξαντι δὲ τοὺς αὐτοὺς ὄφεις ἡ περέρα φύσις ἐπανελήλυθε, καὶ τὸ σπερμογόνον ἐπανέδραμεν εἶδος. Οὗτος οὖν, διαλλακτὴς ληφθεὶς ἐπὶ τῇ μελὰ παιδιᾶς δίκῃ, τοὺς τοῦ Διὸς ἐπικερεῖ λόγους. Λέγεται δ' ἡ Ἥρα βαρύτερον, ἢ τὸ δίκαιον ἦν, ἀλγῆσαι, καὶ οὐκ ἀναλόγως τῷ περέγματι· καὶ τῶν ὀφθαλμῶν τοῦ διαιτητοῦ διηνεκῆ κατεψηφίσατο (2) νύκτα. Ὁ πανσθενὴς δὲ Πατὴρ (οὐ γὰρ ἔξεστιν οὐδενὶ τῶν θεῶν ἔργον ἑτέρου ἀκυρῶσαι θεοῦ) ἀντὶ τοῦ περισυλητέντος αὐτῷ φωτὸς περειδέναι τὰ

tavit. Vertere debuisset, τῷ τῆς εἱμαρμένης νόμῳ, τῷ εἱμαρμένῳ νόμῳ, γενομένων.

(1) Mira versio latinorum, *agitasse jocos.* Codd. περικεκλικένας, et B, ad marg. ἴσως περικεκλικέναι.

(2) A, κατεψηφίσατο, atque N. 343, Κιφισός: iotacismi labe.

μέλλοντα δέδωκε, καὶ τῇ τιμῇ τὴν τιμωρίαν ἐκύφισεν.

Ὁ μὲν οὖν διὰ τῶν Ἀονίων πόλεων τῇ φήμῃ περιφανέστατος ἀνεπιλήπτους τοῖς ἐρωτῶσιν οἰωνισμοὺς ἐδίδου· πρώτην δὲ πίστιν καὶ πεῖραν τῆς δοθείσης (1) ἔλαβεν ὁμφῆς ἡ γλαυκὴ Λειριόπη, ἣν ὁ Κηφισὸς πολὺ, τῷ καμπύλῳ σχὼν ποταμῷ καὶ τοῖς ἑαυτοῦ συγκλείσας (2) ὕδασιν, ἐβιάσατο. Αὕτη δὲ καλὰ γαστρὸς σχοῦσα περικαλλέστατον ἀπέτεκε βρέφος, αὐτίκα μάλα δυνάμενον ἐρώμενον ὑπὸ Νύμφης (3) εἶναι, Νάρκισσόν τε τούτῳ τίθησιν ὄνομα. Περὶ οὗ δὴ ὁ τῶν Μοιρῶν ἐξηγητὴς μάντις ἐρωτηθεὶς εἰ μακροὺς χρόνους λιπαροῦ θεάσεται γήρως, « Ἢν ἑαυτὸν (4) » εἶπε « μὴ » ἐπιγνῷ. » Λόγος ἄλλως δὴ πολλοῦ μέχρις ἡ τοῦ θεοπρόπου ἐδόκει φωνή· ἡ δ' ἔκβασις αὐτὴν καὶ τὸ πρᾶγμ' αὐτὸ (5) συνιστάνει, καὶ τὸ τοῦ θανάτου εἶδος, καὶ ἡ τῆς μανίας καινότης. Καὶ γὰρ ἐπὶ τρισὶ πέντε ἦν ὁ Κηφίσιος προσέθηκεν ἔτος, καὶ παῖς δὴ καὶ νεανίας δοκεῖν οἷός τ' ἦν. Πολλοί τε τούτου νεανίαι, πολλαὶ νεάνιδες (6) ἐπεθύμησαν· ἀλλ' ἦν ἐν τῷ ἀπαλῷ κάλλει σκληρὰ (7) κομιδῇ τις ὑπερηφία· οὐδένες τε τούτου νεανίαι, οὐδέ τινες νεάνιδες ἥψαντο.

(1) Legit ergo *datæ*, non *ratæ*; illudque bonum.

(2) B, *συγκείσας*. Statim pro scripto in utroque codice *αὐτὴ* malui *αὖτη*. Frequentis horum pronominum commutationis exempla dedi ad Cratetis Epistolam VII, in Notit. MSS. t. XI, part. II.

(3) Ergo habuit Planudes in codice *Nymphæ*, non *Nymphis*; sed male instituit syntaxim, legendumque *Nymphe*, quod et forsan codex offerebat: nempe, *enixa est Nymphe*; quod nunc commode firmatum intelligo Editoris nostri, viri doctiss., nota ad Ovidii textum.

(4) B, *ἑαυτόν*, et ad marg. *ἑαυτόν*.

(5) B, *αὐτό*, et supra, *αὐτήν*.

(6) A, *ναπίδες*: et sic infra.

(7) A B, *σκληρά*. Mox B *δὲ* pro *τε*.

Εἶδε τοίνυν (1) τοῦτον δειλὰς ἐλάφους εἰς δίκτυα συνελαύνουσα ἡ φωνήεσσα Νύμφη, ἥτις οὔτε σιωπᾷν τῷ λαλοῦντι, οὔτ' αὐτὴ σιγᾶν μεμάθηκε φθέγγεσθαι, ἡ ἀντίφθογγος Ἠχώ. Σῶμα γὰρ ἔτι οὖσα ἐτύγχανεν, οὐ μὴν φωνὴ ἡ Ἠχώ· ἀλλὰ καὶ ὡς, οὐχ ἕτερον ἔθος ἡ λάλος καὶ νῦν ἔχει ἢ ὃ (2) καὶ πρόσθεν εἶχε τοῦ στόματος· ἀντιαποδιδόναι μὴν ἐκ πολλῶν, ἥπερ ἂν δύναιτο, τὰ πάντα ὑστατα ῥήματα. Τῆς Ἥρας γέγονεν ἔργον, ὅτι πολλάκις, δυναμένην Νύμφας ἐν ὄρεσι τῷ ἑαυτῆς Διΐ συγκαθευδούσας (3) συλλαμβάνειν, ἐκείνη συνέτως μακρᾷ καλεῖχε τὴν θεὸν ὁμιλίᾳ, μέχρις ἂν αἱ Νύμφαι φύγωσιν. Ἐπεὶ δὲ τοῦτό γε ἡ θεὸς ᾔσθετο, « Ταύτης » εἶπε « τῆς γλώττης ἡ δύνα- » μις, ὑφ' ἧς πολλάκις ἐνεπαίχθην, μικρά σοι δο- » θήσεται, καὶ χρῆσις φωνῆς βραχυλάτης· » καὶ πρόσγμαλιν τὴν ἀπειλὴν βεβαιοῖ. Ἡ δ' ἐπὶ τῷ τέλει τῶν λόγων ἐπαναδιπλοῖ τὴν φωνήν, καὶ, ἅπερ ἀκούει, ῥήματα ἀντεπιφέρει.

Ἐπεὶ τοίνυν τὸν Νάρκισσον δι' ἀβάτων τόπων εἶδεν ἀλώμενον, καὶ ἐξεκαύθη, ἔπειτα λάθρᾳ καθ' ἴχνος αὐτῷ, καὶ, ὅσῳ μᾶλλον ἔπειτα, τοσούτῳ ἐκκαίεται (4), ἐγγυτέρω τοῦ πυρὸς γενομένη, οὐχ ἑτέρως, ἢ ὡς ὅτε θεῖον ἄπυρον δαλῷ πεπυκνωμένον καὶ κινηθὲν (5) λαμβάνει φλόγα. Ἆ! ποσάκις ἠθέλησε μει-

(1) Codex B caret voce τοίνυν.
(2) B sine ὅ. Mox A, πάντων.
(3) Legisse videtur *cum Jove*, modestius quam *sub Jove*.
(4) Deesse μᾶλλον post τοσούτῳ, vel σφοδρότερον, vel simile quid, non statim putandum est.
(5) Ovidius: « *Admotam* ra- » piunt vivacia sulfura flam- » mam. » In codice suo habuit aut habere debuit Planudes *admota*, cum lineola indicio absentis *m*, quam quum prætervidisset, vel deletam injuria temporis supplere non valuisset, putavit *admota* idem esse τῷ *mota*, et pessime

(3) B, γυνῆ, et ad marg. γρ. γυναικί. Nomen γυνὴ, γυνῆς, γυνῇ, non est Planudeæ dialecti.

» ὁ τῷ δορατί μοι περιπαρείς, ἡνίκα, ἐκ τῆς Σιδῶνος
» παραγενόμενος, τοὺς δρακοντείους ὀδόντας, καινὰ
» σπέρματα, καὶ γῆς ἔσπειρα; Τούτῳ εἴ τις τῶν
» θεῶν σφόνοια σὺν ὀργῇ βεβαίᾳ ἀμύνει, καὶ αὐτὸς,
» ἐκελεύω, γενναῖος ὄφις, εἰς μακρὸν ἐνλαθείην σπεῖ-
» ρων. » Εἶπε, καὶ, οἷάπερ ὄφις, εἰς μακρὸν ἐξελάθη
ὁλκὸν, καὶ σκληρυνθέντι τῷ δέρματι φολίδων αὐξανο-
μένων ἠσθάνετο, καὶ, τοῦ μελανθέντος σώματος γλαυ-
κοῖς ποικιλλομένου τοῖς στίγμασι, πίπτει τε σφηνὴς
ἐπὶ σῖῆθος, καὶ συναφθεῖσαι εἰς ἓν αἱ κνῆμαι ἰσχνῷ καὶ
βραχὺ λεπτύνεσθαι (1) τῇ ὀξύτητι. Χεῖρες ὑπελεί-
φθησαν μόναι, καὶ τὰς ὑπολειφθείσας ἐκλείνει χεῖρας,
καὶ, δάκρυσι διὰ τοῦ ἀνθρωπίνου ἔτι σφσώπου ῥέουσι,
« Πρόσιθι, ὦ σύζυγε, σφόσιθι (2), ὦ ταλαίπωρε »,
εἶπεν· « ἐν ὅσῳ τέ τι τῶν ἐμῶν ἐστὶ λείψανον, ἅλφαι
» μου, καὶ τῆς χειρὸς, ἐν ὅσῳ χεῖρ ἐστὶ, ψαῦσον,
» ἐν ὅσῳ μήπω με κελέλαβεν ὅλον ὁ ὄφις. » Ὁ μὲν
οὖν σλείω λέγειν ἐβούλετο· ἀθρόως δ' ἡ γλῶττα
εἰς δύο διήρηται, καὶ, λαλεῖν ἐθέλων, οὐκ ἐχρῆτο δὴ
ῥήμασιν· ἀλλ', ὁσάκις τινὰ δεινοπάθειαν ἐν παρα-
σκευαῖς ἦν ἀναδοῦναι, συρίζει (3)· ταύτην αὐτῷ φωνὴν
ἡ φύσις κελέλιπεν. Ἡ μὲν γυνὴ, χερσὶ τὸ σῖῆθος
γυμνὸν τύπτουσα, κράζει· « Κάδμε, μεῖνον, καὶ
» σαυτὸν, δυσδαίμον, τόδε τὸ τέρας ἀπόδυσον.
» Κάδμε, τί τοῦτο; Ποῦ σοι πούς; ποῦ ὦμοι, καὶ
» χεῖρες, καὶ χρῶμα, καὶ σφόσωπον; ἀλλ' ἐν ᾧ πάντα

(1) Deest forsan ἤρξατο, vel λεπύνονται scribendum.

(2) Codices, σφόσιθι, et A quidem e correctione. Eodem modo, ad *v.* 667, A exhibet ἐπὶ pro ἐπί: ut et p. 151, ad *v.* 249.

(3) B, ad marg. ἴσως, συρίζειν. Pravam conjecturam!

» καὶ λέγω, τί (1) δήποτε, ὦ θεοὶ (2), μὴ κἀμὲ πρὸς
» τὸν αὐτὸν μεταπλάττεται ὄφιν; » Ἡ μὲν εἶπεν· ὁ
δὲ τῆς ἑαυτοῦ γυναικὸς τὸ πρόσωπον περιέλειχε, καὶ
πρὸς τοὺς φίλους κόλπους, ὡσὰν γινώσκων αὐτούς,
ἦει, καὶ ἐδίδου περιπλοκάς, καὶ τὸν ἐξ ἔθους ἐζήτει
τράχηλον. Πᾶς δ' ὅστις παρῆν (παρῆσαν δ' οἱ ἑταῖ-
ροι) ἐδειμαλιώθησαν· ἡ δὲ γυνὴ τὸν ὀλισθηρὸν τοῦ
φοινικοκόμου δράκοντος τράχηλον καλαφᾷ (3). Καὶ
δύο γεγόνασι δράκοντες ἐκ τοῦ παραχρῆμα, καὶ συ-
νεστραμμέναις ἕρπουσι σπείραις, μέχρι τοὺς κευ-
θμῶνας (4) τῆς παρακειμένης ὑπέδυσαν λόχμης. Καὶ
νῦν δ' οὔτε φεύγουσι τοὺς ἀνθρώπους, οὔτε τραύματι
βλάπτουσιν· ὃ δὲ καὶ πρόσθεν ἦσαν, τίθασοι μεμενή-
κασιν (5) ὄφεις.

Ὅμως γε μὴν ἀμφοῖν μεγάλας ψυχαγωγίας τῆς
μεταβληθείσης μορφῆς ὁ ἔγγονος δέδωκεν, ὃν καλλιπο-
λεμηθεῖσα ἔσεβεν ἡ Ἰνδία, ὃν ἡ Ἑλλὰς, νεὼς ἱδρυσα-
μένη, ἐθρήσκευε. Μόνος δ' ὁ Ἀσαυλιάδης Ἀκρίσιος, τῆς
αὐτῆς τῶν Ἑλλήνων φυλῆς γεγενημένος, ὑπόλοιπος

(1) Ovidius: « et facies, et, » dum loquor, omnia? Cur » non »... Planudes locum male cepit. B, bis πάντα. Ad mentem Ovidii scribendum erat, καὶ πρόσωπον, καὶ, ἐν ᾧ λέγω, πάντα; Τί δήποτε...

(2) Addidi vocem θεοί.

(3) Quæ e codice Regio proponitur lectio, « at illis Lubrica » perlucent cristati colla draco» nis », non videtur vulgata pretiosior. Nam, illa recepta, perit quod est in versu sequenti miraculum, « Et *subito* duo » sunt. » Ab edita standum, quam et habuit Planudes. Dum Harmonia imperterrita draconis colla amati permulcet, fit *subito* et ipsa serpens.

(4) Et iterum malus conjector ad marginem B, ἴσως, τοῦ κευθμῶνος.

(5) Ovidius, *meminere*. Putavit Planudes tempus esse verbi *manere*, quod est verbi *meminisse*. Rescribas, si velis latinis adhærere, μέμνηλαι.

ἦν, ὃς τῶν τειχῶν τῆς Ἀργολικῆς πόλεως τοῦτον ἀπείργει, ἐναντία τε τῷ θεῷ ὅπλα λαμβάνει, καὶ γένος εἶναι θεῖον (1) αὐτὸν ἥκιστα πείθεται· οὐδὲ γὰρ τὸν Περσέα τοῦ Διὸς εἶναι νομίζει, ὃν ἡ Δανάη χρυσῷ ῥυέντι συνείληφεν. Ἀλλὰ γὰρ αὐτίκα μάλα τῷ Ἀκρισίῳ (τοσαύτη τις ἡ τἀληθοῦς (2) παρουσία) μετεμέλησε τοῦ τε πρὸς τὸν θεὸν ὑβρίσαι, καὶ τοῦ μὴ τὸν ἔγγονον ἐπιγνῶναι. Ὁ μὲν γὰρ ἤδη πρὸς οὐρανὸν ἀνενήνεκται, ὁ δὲ, τῆς τεραστίας ἐχίδνης τὴν περιβόητον φέρων λεβηρίδα, ἥπτετο τοῦ λεπτοτάτου ἀέρος συριζούσαις ταῖς πτέρυξι· καὶ τὴν Λιβυκὴν ὑπεριπταμένου τοῦδε, μετὰ τὴν νίκην, ἄμμον, τῆς Γοργονίας κεφαλῆς αἱματηραὶ σταγόνες κατέπεσον, ἅσπερ ἡ γῆ δεξαμένη εἰς πολυειδεῖς ὄφεις ἐζώωσεν· ὅθεν καὶ τοὔδαφος ἐκείνης τῆς γῆς ὄφεσι πεπύκνωται καὶ λελύμανται. Ἐντεῦθεν διὰ τοῦ ἀπείρου ἀέρος φερόμενος διχοστατοῦσιν ὁ Περσεὺς πνεύμασι, νῦν μὲν δεῦρο, νῦν δ' ἐκεῖσε, δίκην νεφέλης νοτερᾶς, στέλλεται, καὶ ἐξ ἄκρου τοῦ αἰθέρος τὴν ἀπῳκισμένην γῆν πόῤῥω βλέπων, τὸν κόσμον ἅπαντα περιΐπταται. Τρὶς τὰς ψυχρὰς (3) εἶδεν Ἄρκτους, τρὶς τοὺς τοῦ Καρκίνου βραχίονας· πολλάκις ἐπὶ δυσμὰς, πολλάκις ἐπ'

(1) Habuit Planudes lectionem, « genusque Non putet esse » deum » : quam equidem (pace dicam viri doctissimi) editæ non prætulerim. Hic autem est contextus : « contraque deum ferat » arma, genusque Non putet » esse Jovis : neque enim Jovis » esse putabat Persea. » Inconcinna videtur viro doctiss. repetitio vocis *Jovis* in eodem versu; sed num concinna est repetitio vocis *deum ?* immo inconcinna valde, quum eadem sit vox et non eadem, ob casus discrimen. Ni fallor, *Jovis* cum emphasi repetitum est et efficacia.

(2) Latinum *præsentia* vertendum hic, δύναμις, ἐνέργεια.

(3) Hab. *gelidas* melius quam *geminas*. Posset *ter geminas* cum *tergeminas* confundi.

ἀνίσχοντα ἥλιον ἐκομίζετο. Ἤδη δὲ πόρρω τῆς ἡμέρας κλινούσης (1), δείσας πιστεῦσαι τῇ νυκτὶ ἑαυτὸν, εἰς πόλιν ἐσπερίαν ἀφίκετο, καὶ τὴν τοῦ Ἄτλαντος δυνασταίαν, καὶ βεβαίαν ἀνάπαυσιν ἤτησε, μέχρις ἂν Ἑωσφόρος τὸ τῆς Ἕω φῶς ἐκκαλέσηται, καὶ τὸν ἡμερινὸν δρόμον (2) ἡ Ἕως. Ἔχει δὴ πάντας ἀνθρώπους ὑπερβάλλων τῷ μεγέθει τοῦ σώματος ὁ Ἰαπετιονίδης (3) ἦν Ἄτλας· ὑπὸ δὲ τούτῳ βασιλεῖ τά τε τῆς γῆς ἔσχατα καὶ ὁ ὠκεανὸς ἦν, ὃ τοῖς πνευστιῶσιν Ἡλίου ἵπποις ὕδωρ ὑπολιθεὶς, καὶ τὸ κεκμηκὸς ὑποδεχόμενος (4) ἅρμα. Χίλια τούτῳ ποίμνια καὶ ἀγέλαι τοσαῦται καλὰ τὰ πεδία περινέμονται· καὶ τὴν αὐτοῦ χώραν οὐδεὶς γειτων ἐβάρυνε. Καὶ στελέχη δένδρων χρυσῷ λαμπρῷ στίλβοντα καὶ κλάδους ἐκ χρυσοῦ καὶ μῆλα ἐκ χρυσοῦ ἔφερον. Τούτῳ τοίνυν ὁ Περσεὺς εἶπεν· « Ὦ ξένε, εἴ τε σου δόξα μεγάλου γένους ἄπλεται, ὁ Ζεύς μοι τοῦ γένους ἀρχή· εἴ τε καλορθώματα θαυμάζεις, θαυμάσῃ δὴ τὰ ἡμέτερα. Αἰτῶ τοίνυν ξενίαν παρὰ σοῦ καὶ ἀνάπαυλαν. » Ὁ δὲ τοῦ παλαιοῦ μεμνημένος χρησμοῦ, (τοῦτον γὰρ ἡ Παρνασία Θέμις τὸν χρησμὸν ἀνεῖλεν·

Ἴξεται ἦμαρ, Ἄτλαν, καθ' ὃ συληθήσεται ἔρνος
Σὸν χρυσοῦ· τὸ κλέος δὲ τόδ' εὖ μάλα παῖς Διὸς ἕξει.)

(1) Cf. ad Nicet. Eug. p. 135.

(2) Planudes legit *cursus*, non *currus*, male.

(3) B, οἷα πλιονίδης, vocibus inepte divisis. Idem mendum Theophylacti Bulg. Epist. 29 deformat: τὸν Ἀνλίλοχον οἶσθα, ὦ παῖ ἱερώτατε, τοῦ καλοῦ ὑπερμυδυκεύσαντα Νέστορος, ὅτε πρὸς τὰς ἐκείνου τὴν τοῦ Αἰθίοπος λόγχην αὐτὸς ἐδέξατο. Verba πρὸς τὰς vertit Meursius, « ob illius pugnam et victo» riam »; quod si in græcis videre potuit, fuit oculatissimus. Male divulsas junge syllabas, scribeque προσλάς, et verte, « quando » stans ante patrem. »

(4) A, ὑποδεχόμενον.

τοῦτο φοβούμενος, ἐχυρῆς τὸν παρέδεισον πεμέλαβε τείχεσι, καὶ δράκοντι πελωρίῳ φυλάττειν παρέδωκε, καὶ ξένους ἀπείλας τῶν οἰκείων ὁρίων ἐξέκλεισε. Καὶ τότε πρὸς τὸν Περσέα (1) ἔφη· « Ἐκποδὼν ἴθι, » μή ποτέ σοι τηλοῦ μὲν ἡ τῶν καλαρθωμάτων, ἃ » ψευδὴ, δόξα (2), τηλοῦ δὲ καὶ Ζεὺς ἀπείη. » Ταῦτ' εἰπὼν, περσίθησι καὶ βίαν ταῖς ἀπειλαῖς, καὶ χερσὶν ἀπελαύνειν πειρᾶται προσλιπαροῦντα, καὶ ταπεινοῖς λόγοις θρασυτέρους παραμιγνύντα. Ὁ δ', ἥττων τὴν ἰσχὺν ὤν (τίς γὰρ ἂν ἴσος Ἄτλαντι τὴν ἰσχὺν εἴη;) « Ἀλλ' ἐπεί » φησὶ » μικρῶν σοι τινὸς ἡ » ἠμελέρα χάρις ἐστὶ, δέξαι τοὐμὸν τὸ δῶρον. » Καὶ ἐξ εὐωνύμων τὴν ἰχῶρος γέμουσαν τῆς Μεδούσης κεφαλὴν, ἐσπραμμένος αὐτὸς εἰς τοὐπίσω, προήνεγκε (3), καὶ ἡλίκος ὁ Ἄτλας ἦν ὄρος εὐθὺς γέγονε. Πώγων μὲν γὰρ καὶ (4) κόμη εἰς λόχμην μελέβησαν, ὦμοι δὲ καὶ χεῖρες δειράδες ἐγένοντο· ὃ δὲ πρότερον ἦν κεφαλὴ, ἄκρα καὶ κορυφὴ τοῦ ὄρους ἀπελελέσθη, τὰ δ' ὀστᾶ λίθοι καλέσπασαν· καὶ τότε δὴ καλὰ πᾶν μέρος εἰς ἄπειρον ἐπιδέδωκεν ὕψος (οὕτως ὑμεῖς, ὦ θεοὶ, τοῦτ' ἐσήσατε), καὶ ὅλος ὁ οὐρανὸς ἅμα τοσούτοις ἄστροισιν ἐν ἐκείνῳ διανεπαύσατο.

Ἔκλεισε μὲν οὖν ὁ Ἱππιάδης τῇ ἀϊδίῳ τοὺς ἀνέμους εἱρκτῇ, ὁ δὲ τῶν ἔργων εἰσηγητὴς Ἑωσφόρος

(1) Planudes habuit lectionem *huic*, vulgata *hinc* meliorem.

(2) A, ἡ τῆς καταρθωμάτων ἀψευδὴς δόξα.

(3) B, προσήνεγκε. Ovidius, *protulit*. Hæc variatio notatur pp. 18, 65 et 129. B sine εὐθύς.

(4) B, καλά. Hæc variatio sæpe a viris criticis animadversa fuit; et de illa ipse monui ad Marinum, pag. 107. In Joannis Damasceni Epistola de Imaginibus, p. 119, edit. Combefis. S. 8, si legeris αἱρέσιως κατὰ τῆς τοῦ θεοῦ, κ.τ.λ., pro καὶ, locus erit, puto, sanus et integer.

λαμπρόταλος ἐν τῷ ὑψηλῷ ἀνέσχεν οὐρανῷ· ὁ δ', ἀναλαβὼν τὰς πλέυρας, ἐν ἐκκλέσις τοῖς ποσὶν ἔσφιγξε, καὶ τὸ καμπύλον περιζώννυται ὅπλον, καὶ, τὰ πέδιλα κινῶν, τὸν καθαρὸν σχίζει ἀέρα, καὶ, ἔθνη καλαλιπὼν ἄπειρα ἐπὶ τάδε τε καὶ ἐπέκεινα, τὸ τῶν Αἰθιόπων φῦλον καὶ τὰ τοῦ Κηφέως (1) πεδία περιαθρεῖ. Ἐκεῖ δὲ τὴν Ἀνδρομέδαν, μηδὲν πρόσπολον, δίκας ὑποσχεῖν τῆς μιαιφόνου γλωσσαλγίας ἀδίκως ὁ Ἄμμων ἐκέλευσεν· ἣν ἰδὼν ὁ Ἀβαντιάδης τὰς χεῖρας ταῖς ἀπολόμοις ῥαχίαις προσδεδεμένην, εἰ μὴ ὅτι κούφη αὔρα τὴν ἐκείνης κόμην ἐκίνησε, καὶ θερμὰ δάκρυα (2) καλέρρει τῶν ὀφθαλμῶν, μαρμάρεον ἂν ἔργον εἶναι ᾠήθη. Ἀγνοῶν γέ μην τίς ποτ' ἂν εἴη, καὶ πῦρ συνέλεξεν ἔρωτος, καὶ θαμβεῖται τῷ τῆς ἐξηρημένης μορφῆς κάλλει συναρπασθείς. Καὶ μικροῦ τὰς ἑαυτοῦ πλέυρας ἐν ἀέρι κινεῖν ἐπελάθετο· σιγὰς δ' εἶπεν οὕτως· « Ὦ » μηδαμῶς ἀξία τούτων δὴ τῶν δεσμῶν, ἀλλ' οἷς ἐν » ἀλλήλοις οἱ φιλοσόργως ἐρῶντες συνάπτονται, λέγε » μοι ἑσμένῳ τό τε σὸν ὄνομα καὶ τῆς χώρας, καὶ » τοῦ χάριν τὰ δεσμὰ φέρεις. » Ἡ δὲ πρότερον μὲν σιωπᾷ, καὶ οὐδὲ τολμᾷ προσειπεῖν ἡ παρθένος τὸν ἄνδρα, καὶ, εἰ μὴ δεσμὰ περιέκειτο, ταῖς χερσὶν ἄν, αἰδουμένη, τὸ πρόσωπον καλεκάλυψεν· ὃ δ' οὖν ἠδύνατο, δάκρυα ἀναδοῦσα τοὺς ὀφθαλμοὺς ἔπλησε. Πολλάκις δ' ἐγκειμένῳ, τοῦ μὴ δόξαι μὴ (3) βούλεσθαι

(1) A, κηφίας: et modo αἰθιώπων.

(2) Planudes legit ergo « te» pido fletu. » Gierig. edidit *trepido*, alteram lectionem ut absurdam rejiciens: « tepor enim » ait « cerni non potest. » Non vidit Perseus *teporem*, sed vidit lacrymas; et poeta, qui rem narrat, epitheto fletum ornavit e natura rei desumto.

(3) Addidi alterum hoc μή.

οἰκείαν (1) ἑαυτῆς ἁμαρτίαν ὁμολογεῖν, τό τε τῆς γῆς ὄνομα καὶ ἑαυτῆς, καὶ ὅση τις ἐγεγόνει τῇ μητρὶ ἐπὶ τῷ κάλλει πεποίθησις, ἐξαγγέλλει. Καὶ, μήπω πάντων μνημονευθέντων, τὰ ὕδατα ἤχησε. Τῷ γὰρ ἀπείρῳ πελάγει ἐρχόμενον κῆτος ἐπίκειται, καὶ πλεῖστον ὕδωρ ὑπὸ τὸ στῆθος πιέζει. Ἀνακράζει τοίνυν ἡ κόρη· καὶ παρῆσαν ὁ πατὴρ ὁμοῦ καὶ ἡ μήτηρ οἰμώζοντες, ἄμφω μὲν ἄλθιοι, ἀληθέστερον δ' ἡ παρθένος (2)· φέρουσι δ' οὐκ ἐπικουρίαν, ἀλλ' ἀξίους τοῦ καιροῦ κοπετούς τε καὶ θρήνους, καὶ τῷ προσηλωμένῳ τῆς παιδὸς προσίσχονται σώματι. Τοὺς δ' ὁ ξένος ἰδὼν, εἶπε· « Τῶν δακρύων μὲν μακρὸς χρόνος ὑμῖν δύναται μεῖναι· πρὸς » βοήθειαν δὲ βραχεῖα προσοιστέα ἐστὶν ὥρα (3). » Ταύτην δ' εἰ μετελεύσομαι ἔγωγε Περσεὺς τοῦ Διὸς » υἱὸς κἀκείνης ἣν ἐγκεκλεισμένην (4) ὁ Ζεὺς ἐγκύμονα » γονίμῳ πεποίηκε χρυσῷ, Περσεὺς (5), ὁ τῆς δρακοντοκόμου περιγενόμενος Γοργόνος, καὶ τῷ κινεῖν τὰς » πτέρυγας ἀνὰ τὰς αἰθερίας αὔρας ἰέναι τολμῶν, » ἀντὶ πάντων ἂν αἱρεθείην ὑμῖν τῷ ὄντι γαμβρός. » Προσθεῖναι τοῖς τοσοῖσδε προτερήμασι καὶ τὸ ταύ» την (6) ἀξίως λαβεῖν (ἵλεῳ μόνον εἶεν οἱ θεοί) πει» ράσομαι· συμφωνῶ τε ταύτην ἐμὴν εἶναι, ὥσπερ » δὴ καὶ τῇ ἐμῇ φυλαχθήσεται ἀρετῇ. » Δέχονται τὴν

(1) Codices, οἰκίαν: cf. p. 164. B supra, ἐρωμένω.

(2) Pessime conjector ad B marginem, ἴσως, ἀθλιέστερον. Ovidius: *sed* justius *illa*. Et *illa* de matre, non de Andromeda, non de virgine, est intelligendum. Erravit Planudes. Mox erravere librarii, scribentes τοῦ παιδός.

(3) Habuit malam lectionem, « hora ferenda est. » Ad sensum rescribendum, προσοιστέαν.

(4) Habuit nullo sollicitandam modo lectionem, *clausam*.

(5) In B ad marginem schol. ἐπανάληψις, τὸ σχῆμα κατὰ ῥήτορας.

(6) A, τοσαύτην.

σύμβασιν οἱ τεκόντες, (τίς γὰρ ἂν ἐνδοιάσειεν;) ἱκετεύουσί τε, καὶ ὑπισχνοῦνται καὶ τὴν βασιλείαν ἐπὶ τῇ ἄλλῃ προικί. Ἰδοὺ δ' ὥσπερ ἔμβολον ταχεῖα προβεβλημένη ναῦς τὸ ὕδωρ χαράττει χερσὶ νέων ἱδρούσαις ἐλαυνομένη, οὕτω τὸ θηρίον, τῷ τοῦ στήθους ὠθισμῷ τὰ ὕδατα διϊστῶν, τοσοῦτον ἀπῆν τοῦ σκοπέλου, ὅσον Βαλιαρικὴ σφενδόνη τὸν μόλυβδον (1) στρέψασα κατὰ τὸ μέσον οἵα τέ ἐστι τοῦ ἀέρος ἀφεῖναι. Αὐτίκα δὲ τοῖς ποσὶν ὁ νεανίας τὴν γῆν διωσάμενος, μετέωρος ἐπὶ τὰς νεφέλας ἀφίκετο· ἐν δὲ τῇ τῶν ὑδάτων ἐπιφανείᾳ ἡ τἀνδρὸς ἐφάνη σκιὰ, καὶ τὸ θηρίον τὴν σκιὰν ἰδὸν ἐξεμάνη. Ὡς δ' ὁ τοῦ Διὸς προηγούμενος (2) ὄρνις, ἰδὼν ἐν κενῷ πεδίῳ δράκοντα τὰ πελιδνὰ νῶτα τῷ ἡλίῳ παρέχοντα, ἀπεστραμμένῳ τούτῳ ἐφίπταται, μήποτε τὸ δεινὸν ἐπιστρέψειε στόμα, τῷ τε φολιδωτῷ τραχήλῳ πήγνυσιν ἀσμένως τοὺς ὄνυχας· οὕτως ὁ Ἰναχίδης, ταχινῇ πτήσει κατενεχθεὶς διὰ τοῦ ἀέρος, τοῖς νώτοις τοῦ θηρὸς ἐπεκάθισε, κἀν τῇ δεξιᾷ φειμάσσοντος τούτου πλευρᾷ τὸν καμπύλον μέχρι τῆς καμπῆς ἔκρυψε σίδηρον. Ὁ δὲ θὴρ, τῷ βαρεῖ πληγεὶς τραύματι, νῦν μὲν μετέωρος ἑαυτὸν εἰς τὰς αὔρας φέρει, νῦν δ' ὑπὸ τοῖς ὕδασι κρύπτει, νῦν δὲ δίκην ἀγρίου μονίου στρέφεται, ὃν κυνῶν σύστημα περιϋλακτοῦν καταπλήττει (3). Ὁ Περσεὺς δὲ τὰ ἐκείνου δήγματα ταῖς ταχιναῖς ἐκφεύγει πτέρυξι, καὶ, ἔνθα ἂν τὸ θηρίον φαίνηται, νῦν μὲν τὰ κοίλαις κόγχαις

(1) B, μόλιβδον. Mox codices, οἷά τε: cf. p. 74.

(2) Sic vertit latinum *præpes*, quod a *præ* et *pes* deducebat: melius et verius ταχύτατος scripsisset. Modo A, ὡς τοῦ Δ. et mox ἐκκενῶ et πτῆσις.

(3) B, περιϋλακτοῦντα πλ.

ἐστεγασμένα νῶτα, νῦν δὲ τὰς ἑκατέρωθεν πλευρὰς, νῦν δ' ἔνθα τὸ οὐραῖον λεπτυνόμενον εἰς ἰχθῦν ἀπολήγει, τῷ δρεπανοειδεῖ πλήττει ξίφει. Τὸ δὲ δὴ κῆτος φοινικῷ αἵματι κύματα μεμιγμένα τοῦ στόματος ἐξεμεῖ, καὶ αἱ τοῦ Περσέως πτέρυγες ἐβρίθοντο ταῖς ῥανίσι βραχεῖσαι. Καὶ μηκέθ' οὗτος τολμῶν τοῖς ἑαυτοῦ πεδίλοις νοτεροῖς γενομένοις πιστεύειν, ἐσκέψατο σκόπελον (1), τῶν μὲν ὑδάτων ἡσυχαζόντων τῇ ἄκρᾳ κορυφῇ ἐξανέχοντα, κινουμένης δὲ τῆς θαλάττης καλυπτόμενον. Ἐκεῖνον δὴ καταλαβὼν, καὶ τὴν πρώτην τῆς ῥαχίας δειράδα κατασχὼν τῇ λαιᾷ, τρὶς καὶ τετράκις διήλασεν ἐπανακάμπτων διὰ τῶν ἐγκάτων τὸν σίδηρον. Κρότος μὲν οὖν καὶ κραυγὴ τάς τε ἠϊόνας καὶ τοὺς τῶν θεῶν ὑπερτάτους ἔπλησαν δόμους. Χαίρουσι δὲ καὶ χαίρειν κελεύουσι τῷ γαμβρῷ, ἀλεξίκακόν τε τῆς οἰκίας ὁμολογοῦσι καὶ φύλακα Κασσιέπη τε καὶ Κηφεύς. Ἡ δὲ κόρη τῶν δεσμῶν λυθεῖσα βαδίζει, μισθὸς καὶ αἰτία τῶν τοῦ Περσέως πόνων. Ὁ δὲ τὰς νικηφόρους χεῖρας, ὕδωρ ἀρυσάμενος, ἀπολούει. Ὡς ἂν δὲ μή τι τῇ δρακοντοφόρῳ κεφαλῇ ἡ ἄμμος λυμήνηται (2), φύλλοις τε τὴν γῆν ἁπαλύνει, καὶ θάμνους ὑπὸ τοῖς ὕδασι φύντας στορέννυσι, καὶ ἐπιτίθησι τὸ πρόσωπον τῆς Φορκυνίδος Μεδούσης. Οἱ δὲ θάμνοι, πρόσφατοι ὄντες καὶ ζῶντες ἔτι, τῇ ἑλκτικῇ τῆς ἐντεριώνης δυνάμει τὴν τοῦ τέρατος ἥρπασαν δύναμιν, καὶ τῇ τούτου ἐπαφῇ ἐσκληρύνθησαν, καὶ καινὴν ἔν τε κλάδοις καὶ φύλλοις ἀντιτυπίαν ἐδέξαντο. Αἱ τοῦ πελάγους δὲ Νύμφαι τὸ συμπεσὸν θαῦμα πολυπραγμονοῦσιν ἐν πλείοσι

(1) A, σκόπτειν. Infra Κασσιέπη bene græcum pro lat. *Cassiope*.

(2) B, λυμήνυται. Mox codices, φορκυνίδος. Statim B, ζῶντες ἐπί.

θάμνοις, καὶ, τὸ αὐτὸ συμβαῖνον ὁρῶσαι, τέρπονται, σπέρματά τε ἐξ ἐκείνων ἀναζωπυροῦσιν ἐν τοῖς ὕδασι ῥίψασαι. Καὶ νῦν δὴ τοῖς κωφελίοις ἡ αὐτὴ φύσις παρέμεινεν, ὡς ἂν ἐξ ἀέρος, ἁφάμενα (1) τούτου, λαμβάνοιεν τὴν σκληρότητα, καὶ ὅπερ λύγος ὑπὸ τὴν θάλατταν ἦν, λίθος ὑπὲρ τὴν θάλατταν γέγνοιτο.

Τίθησι μὲν οὖν ἐκεῖνος τοῖσι θεοῖς ἐκ τοσῶνδε βώλων βωμοὺς, λαιὸν μὲν Ἑρμῆ, δεξιὸν δέ σοι, παρθένε πολεμική· μέση δ' ἦν ἡ Διὸς ἑσχάρα. Καὶ θύελαι τῇ μὲν Ἀθηνᾷ δάμαλις, τῷ δὲ πλερυγόποδι (2) μόσχος, ταῦρος δέ σοι, τῶν θεῶν ὕπαλε. Αὐτίκα δὲ τὴν Ἀνδρομέδαν καὶ τὰ ἆπαθλα τοῦ τηλικούτου ἔργου ἐν χώρᾳ λαμβάνει περικός· δᾳδάς τε ὅ τε Ὑμέναιος καὶ Ἔρως ἀνάπλειν κελεύουσι, καὶ πολλῶν ἀρωμάτων τὸ πῦρ κορέννυται, καὶ στέφανοι τῶν οἴκων ἐξήρτηνται, παύλαχοῦ τε λύραι καὶ αὐλοὶ καὶ ᾄσματα, εὐδαίμονες ἔλεγχοι ψυχῆς ἡδομένης, περιχοῦσι· καὶ τῶν θυρῶν ἀναπεπταμένων ἡ αὐλὴ πᾶσα χρυσῇ φαίνεται, καὶ λαμπρᾷ κατεσκευασμένη ἑτοιμασίᾳ (3). Οἱ Κήφειοι (4) δὲ μεγιστᾶνες εἰς τοὺς τοῦ βασιλέως γάμους συνίασιν. Ἐπεὶ δὲ, βρώμασί τε καὶ τῷ δώρῳ τοῦ γενναίου Βάκχου χρησάμενοι διεχύθησαν τὰς ψυχὰς, τό τε γένος καὶ τὴν ἐργασίαν τῶν τόπων ὁ Ἀβαντιάδης ζητεῖ, τά τε ἤθη καὶ τὰς ψυχὰς τῶν ἀνδρῶν, ἅπερ ὁμοῦ τε ἐδίδαξεν ὁ Κηφεὺς (5),

(1) Codicum ἁψάμεναι mutavi.

(2) B, πτερύποδι.

(3) *Instructa* retulit ad *atria*, quum pertineat ad *convivia*.

(4) Debuisset scribere, Κηφηνοὶ, vel Κηφῆνες, vel Κηφήνων, aut Κεφητῶν. Et sic peccat libri sequentis initio.

(5) Planudes lectionem habuisse videtur codicis Regii B,

καὶ « Νῦν » εἶπεν, « ὦ γενναιότατε Περσεῦ, εἰπὲ, δεό-
» μαι, τίνι δυνάμει καὶ ποίαις τέχναις τὴν κεφαλὴν
» ἀφεῖλες τὴν καταβόστρυχον ὄφεσι. » Διηγεῖται τοί-
νυν ὁ Ἀγηνορίδης τόπον ὑποκείμενον τῷ χρυσῷ (1)
Ἄτλαντι ἐρυμνὸν στερρᾶς ἀπορρῶγος (2) ὀχυρώματι γε-
γονέναι, ὃν, κατὰ τὴν εἴσοδον, δίτας ἀδελφὰς Φορ-
κύδας (3), ἑνὶ χρωμένας ὀφθαλμῷ, ἐσχηκέναι· τοῦτον
δ', ὑπὸ θατέρας θατέρᾳ παραδιδόμενον λάθρα καὶ
περιέργῳ μεθόδῳ, τὴν παλάμην ὑποθεὶς, εἰληφέναι,
καὶ, διὰ τόπων μακρὰν ἀπῳκισμένων τε καὶ δι' ἀβά-
των καὶ λίθων τραχείαις προσισχημένων λόχμαις,
πρὸς τοὺς Γοργονείους οἴκους κατηντηκέναι· καὶ, διά τε
τῶν ἀγρῶν καὶ τῶν ὁδῶν, ἀνθρώπων ὁμοιώματα καὶ
θηρῶν, ἐξ αὐτῶν δὴ μεταβληθέντα (4) τῷ τὴν Μέδου-
σαν ἰδεῖν, τεθεωρηκέναι· αὐτὸς δ' ὅμως τὴν φοβε-
ρὰν τῆς Μεδούσης μορφὴν, τῇ περὶ τὸν σίδηρον ἀν-
τανακλάσει τὸν κατὰ τὴν ἀσπίδα ἢν τῇ λαιᾷ ἔφερε,
κατωπτευκέναι, καὶ, ὕπνου βαρέος αὐτήν τε καὶ τοὺς
ὄφεις κατέχοντος, τὴν κεφαλὴν ἀπ' αὐχένος ἀφη-
ρηκέναι. Προστίθησι καὶ τὸν φεύγοντα πτεροῖς Πήγα-
σον, καὶ τοὺς τῷ τῆς μητρὸς αἵματι γενομένους ἀδελ-
φοὺς αὐτῷ ὄφεις (5), καὶ τοὺς μὴ ψευδεῖς τοῦ μα-
κροῦ δρόμου κινδύνους, τίνας τε θαλάσσας καὶ τίνας
χώρας ὑφ' ἑαυτὸν ἐξ ὕψους ἑώρακε, καὶ τίνων ἀστέ-

in notis Editoris viri clariss. exhibitam.

(1) Ovidius, *gelido*. Puto Planudem scripsisse vel scribere se putasse, κρυερῷ.

(2) B, στερρὰς ἀπορρῶγας. A, στερρᾶς ἀπορρῶγας.

(3) Codices, φορκίδας: modo, ὅς.

(4) Scripsit, opinor, εἰς λίθους μεταβλ.

(5) Ὄφεις addidit de suo male. Chrysaor et Cerberus serpentes dici nequeunt. Aliter ac melius quam editi Planudes distinxit.

ρων, τινάσσων τὰς πλέυρας, ἐφήλατο. Τούτων πέρι διηγησάμενος (1), περὶν ἐκείνους ἐκδέχεσθαι, ἐσιώπησεν. Ὅμως δέ τις τούτων ἐν τέλει ἀριθμοῦ, ὑπολαβὼν, ζητεῖ τί δήποτε μόνη τῶν ἀδελφῶν ἡ Μέδουσα μεμιγμένους τοῖς πλοκάμοις ἀλλεπαλλήλους φέρει ὄφεις. Καὶ ὁ ξένος πρὸς ταῦτα· « Ἐπεὶ διερευνᾷ τὰ » ἄξια διηγήσεως, δέξαι τὴν τοῦ ζητουμένου αἰτίαν. » Ἐκείνη περικαλλεστάτη γέγονε τὴν μορφὴν καὶ » πολλῶν ἐπίφθονος μνηστήρων ἐλπίς· καὶ μέρος οὐ- » δὲν ἐν πάσῃ τῇ μορφῇ γέγονε μᾶλλον τῆς κόμης » ἀξιοθέατον. Εὗρον οἱ ἑαυτοὺς τοῦθ' ἑωρακέναι φασί. » Ταύτην ὁ τοῦ πελάγους ἡγεμὼν ἐν τῷ ναῷ τῆς » Ἀθηνᾶς διάσασθαι λέγεται· ἀπεστράφη δ' ἡ τοῦ » Διὸς θυγάτηρ καὶ τοὺς σώφρονας ὀφθαλμοὺς ἐκά- » λυψε τῇ αἰγίδι· ὡς ἂν δὲ μὴ τοῦτ' ἀτιμώρητον » γένοιτο εἴη, τοὺς Γοργονείους πλοκάμους εἰς αἰ- » σχροὺς μετέβαλεν ὕδρους. »

Καὶ νῦν δ' ὡς ἂν τοὺς ἐναντίους καταβροντῶσα (2) τῷ φόβῳ καταπλήττῃ, ἐν ἀπεστραμμένῳ (3) τῷ σθένει οὓς ἐποίησεν ὄφεις βασιάζει.

(1) Codices, περιδιηγησαμενος.

(2) B, καταβροντῶσαι.

(3) Habuit Planudes malam lectionem *averso* pro bona *adverso*: alioqui scripsisset, ἐν ἀντλαίῳ, ἐν ἀντλωτῷ. Ceterum ultimam sententiam ita distinxi, ut poetæ narranti eam tribuerem. Perseus enim ipse non potuit dicere Minervam tunc caput in pectore sustinere, quod ipse adhuc habebat.

ARGUMENTUM

LIBRI V

EX CANTERI NOVIS LECTIONIBUS.

ORTO in nuptiis tumultu, Perseus *Phineum*, qui Andromedam sponsam sibi vindicabat, cum suis, et mox etiam *Prœtum* et *Polydecten*, saxeos reddit. Tum *Pallas*, quæ hactenus Persei comes fuerat, eo relicto, in Heliconem se confert, ut *Hippocrenen* inspiciat. Ibi narrant ei Musæ de *Pyreneo* et *Pieridibus* in *picas* conversis, postquam, cantu instituto, hinc de variis *Deorum transformationibus* in animalia, illinc de *raptu Proserpinæ*, de *Cereris erroribus*, de *Cyanes* in *fontem*, *pueri* cujusdam in *stellionem*, *Ascalaphi* in *bubonem*, *Sirenum*, Proserpinam quærentium, in *aves* ex parte, *Arethusæ* in *latices*, *Lynci* denique regis in *lynca* mutationibus, atque *Triptolemi* agricultura, inter se certaverant.

ΟΒΙΔΙΟΥ

ΜΕΤΑΜΟΡΦΩΣΕΙΣ.

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

Ταῦτα παρὰ μέσῳ τῷ τῶν Κηφείων (1) ἀρχόντων τέλει τοῦ Δαναείου ἥρωος ἀπομνημονεύοντος, ὄχλου ταραχῆς ἡ βασιλικὴ πληροῦται αὐλή, καὶ ὁ θόρυβος οὐχ οἷος τὴν τῆς συζυγίας ἑορτὴν ᾄδειν, ἀλλ' οἷος ἀγγέλλειν ὅπλα πολέμια (2)· τό τε συμπόσιον εἰς αἰφνίδιον (3) μεταβληθὲν θόρυβον εἰκάζειν ἂν οἷός τ' εἴης θαλάττῃ, ἣν ἠρεμοῦσαν ἀνέμων ἀγεία λύσσα τὰ κύματα σφετοῦσα ταράττει. Πρῶτος δ' ἐν τούτοις ὁ Φινεύς, ταρπελέσσεος ἀρχηγὸς τοῦ πολέμου, πελεΐνον (4) δόρυ χαλκῆς αἰχμῆς κεφαλαίνων, « Ἰδού » φησίν « ἰδού, πάρειμι τῆς ἁρπασθείσης τιμωρὸς συ» ζύγου, οὐδέ σε τῆς ἐμῆς χειρὸς οὔτε πτέρυγες οὔτ' » εἰς ψευδῆ χρυσὸν μεταβληθεὶς Ζεὺς ῥύσεται. » Πειρωμένῳ δὴ βάλλειν ὁ Κηφεὺς « Τί δρᾷς » ; ἀνεβόησε· « ποῖός σε, κασίγνητε, λογισμὸς εἰς τοῦτο μαινόμε» νον ἐξάγει τὸ ἐξάγιστον ἔργον ; Ἦ ἤδε τοῖς τηλι-

(1) Vide notam supra, p. 179.

(2) A, πολέμιοι : cf. p. 50, ubi eadem permutatio literarum α et οι. Adde notam p. 188.

(3) A, αἰφηδίου. Cf. p. 17. Ad VI, 268, B, αἰφηδίῳ. Eodem pronuntiationis vitio quo ι et η confunduntur, evenit ut infra, ad ν. 65, A et B exhibeant χαείσῃ pro χαρήσῃ, et ad ν. 214, ἱκέτης pro ἱκέτης, quum, versa vice, ad 514, in B sit ἱκέτης pro ἱκέτης: ad 574, B, μεταφήσασα.

(4) B, πλελέϊνον. Planudes ulmeam fecit hastam quæ Ovidio est fraxinea. Et sic infra labitur ad ν. 143, in arborum nominibus vertendis minime diligens.

» κούτοις ἔργοις ἀποδίδοσαι χάριν; Τοιούτοις ἔθνοις
» ἀμείβῃ τὴν τὸ ζῆν μὴ ἀποβαλοῦσαν; ἦν, εἰ τἀ-
» ληθὲς ζητεῖς, οὐχὶ Περσεύς σε ἀφείλετο, ἀλλ' αἱ
» βαρεῖαι θεαὶ Νηρηίδες, ἀλλ' ὁ κερασφόρος Ἄμ-
» μων, ἀλλ' ὃ τῆς θαλάσσης ἐφόρμα κῆτος τοῖς
» ἐμοῖς κορεσθησόμενον σπλάγχνοις. Ἐκεῖνόν σου τὸν
» χρόνον ἥρπαγη, καθ' ὃν ἔμελλεν ἀπολεῖσθαι. Εἰ μὴ
» σὺ τοῦτ' αὐτὸ, ὡς ἂν ἀπόλῃαι, ἀπανθρώπως
» ἀπαίλεῖς, καὶ τοῖς ἠμελέσθαις ἀνακουφίζῃ (1) θρήνοις.
» Οὐδὲ γὰρ ἀπόχρη δήπουθεν ὅτι σου βλέπουσα ἐδε-
» σμεῖτο, καὶ βοήθειαν οὐδεμίαν, οἷα δὴ θεῖος ἢ νυμ-
» φίος, παρασπένδεις· ἀλλ' ἐπὶ τούτοις ἀλγύνῃ ὅτι
» καὶ παρ' οὐτινοσοῦν διεσώθη, καὶ τὸ γέρας ἁρπά-
» σεις; Καίτοι τοῦτό, εἴ σοι μέγα δοκεῖ, ἐξ ἐκείνου
» τοῦ σκοπέλου, οὗ ἦν παρασπατάλευμένον, ζῆλεῖν
» ὤφειλες. Νῦν δ' ἄφες τὸν ζητήσαντα φέρειν, δι' οὗ
» τὸ ἐμὸν γῆρας (2) οὐ γέγονεν ὀρφανόν, ᾧ καὶ τῷ δι-
» καίῳ καὶ ταῖς ἐμαῖς ὁμολογίαις λαβεῖν συμπεφώ-
» νηκε, καὶ μήτε σαυτοῦ τοῦτον, ἀλλὰ τοῦ θανάτου
» παρημμένον ὡς ἀληθῶς ἴσθι. » Πρὸς ταῦτα μη-
δὲν ἐκεῖνος ἀντειπὼν, ἀλλὰ καὶ πρὸς τοῦτον καὶ πρὸς
Περσέα ἀμοιβαίοις ὄμμασι βλέπων, ἀγνοεῖ πότε-
ρον τοῦτον ἢ ἐκεῖνον βαλεῖ· καὶ δὴ, βραχὺ διανοηθείς,
καὶ συστρέψας τὸ δόρυ σθένει ὅσον ὁ θυμός γε ἐδίδου,
μάτην κατὰ τοῦ Περσέως ἀφῆκεν· ἔστη παγὲν γὰρ ἐπὶ
τῆς κλίνης. Καὶ τοῦ στρώματος εὐθὺς ὁ Περσεὺς ἀπεπή-

(1) B, ἀνακουείζῃ. Supra p. 41, pro πειφὺς, codex B, πειῤῥύς: et forte quis putaverit alterum id esse exemplum permutatorum elementorum φ et ρ; sed malim credere πειῤῥὺς malam esse scripturam participii πειῤῥυεὶς, quod et latinis apte conveniet.

(2) Codices, γήρας. Ovidius, *senectus*.

δησε, καὶν τὸ ξίφος ἐπενεγκών, ἀφειδῶς τὸ δυσμενὲς διέρρηξε σίδηρον, εἰ μὴ πρὸς τὸν βωμὸν ἔφθασε φυγὼν ὁ Φινεύς· καὶ παρ' ἀξίαν ἐλυσίτέλησεν ἐσχάρα τῷ πονηρῷ. Ὅμως ἐν τῷ τοῦ Ῥοίτου μετώπῳ ἥκιστα διακενῆς ἡ αἰχμὴ βληθεῖσα προσέσχε, ὃς δὴ πεσὼν, τοῦ σιδήρου ἐκ τοῦ ὀστέου ἀνασπασθέντος, λακτίζει, καὶ τὰς προκειμένας τραπέζας βαίνει τῷ αἵματι. Τότε τοίνυν τὸ πλῆθος εἰς ἀχαλίνωτον ὀργὴν ἐκθερμαίνεται, καὶ βέλος ἀφιᾶσι, καὶ ἦσαν οἱ τὸν Κηφέα σὺν τῷ γαμβρῷ δεῖν θανεῖν ἔλεγον. Ἀλλ' ὁ Κηφεὺς, τοῦ τῆς οἰκίας ἐξελθὼν οὐδοῦ, διαμαρτύρεται καὶ Δίκην καὶ Πίστιν καὶ τοὺς ξενίους θεοὺς ταῦτα αὐτοῦ κωλύοντος κινεῖσθαι. Πάρεστι δὲ ἡ καὶ Πολεμικὴ Θεὸς καὶ τῇ αἰγίδι τὸν ἀδελφὸν σκέπει, καὶ σθένος ἐνίησιν. Ἦν δέ τις Ἰνδὸς Ἄτυς, ὃν ἡ τοῦ πολυάμου Γάγγου θυγάτηρ Λιμάτη ὑπὸ τοῖς ὑελώδεσιν ὕδασι γεγεννηκέναι πιστεύεται ἐξηρημένον τῷ κάλλει· ὅπερ ἀφθόνοις ἐπιμελείαις εἰς ἐπίδοσιν ἦγεν, ἐν δὶς (1) ὀκτὼ ἔτεσιν ἁγνὸς ἔτι καὶ ἄφθορος· χλαμύδα τε Τυρίαν περικείμενος ἦν κράσπεδον χρυσοῦν περιέθει· περιδέραιον (2) δέ οἱ κεκοσμημένον ἐκόσμει (3) τὸν τράχηλον, καὶ κοῖλον ἐπίκρανον τοὺς σμύρνῃ (4)

(1) Codex A, sine sensu, ἔνδεος.

(2) De hac voce cf. not. ad Aristæn. I, Ep. 1, p. 223.

(3) Latina, «*aurata* monilia», non vertit. Imprudens legebat *ornata*, vel *ornatum*.

(4) A, τοὺς μύρνη. Ultima litera vocis prioris primam sequentis absorbuit; quod sæpicule fit. Cf. notata ad Nicetam Eugen. p. 342; et Alex. Morum ad Epist. ad Coloss. 2, 18. In Plutarchi Alcibiade, §. 25, legitur nunc, ὧν ἀφικομένων οὐδεμία σωτηρίας ἐλπὶς ὑπελείπετο, pro οὐδεμίας, lectione vetere. Alias litera duplicatur, quæ simplex esse debebat, et voci sequenti aut præcedenti adcrescit. Apollod. III, 6, 4: αὐτοῖς ἠγήσατο τῆς ἐπὶ κρήνην ὁδοῦ Ὑψιπύλη, ἥτις πήπιον παῖδα ὄνομα Ὀφέλτην ἀπολιποῦσα ὑπ' ἔτρεφεν. Oratio luxata est. Heynius vocem ἥτις, quæ male pendet, deleri jubet, et

διαβρόχους βοστρύχους. Οὗτος, εἰ καὶ τὰ μάλιστα ταῖς τῶν ἀκοντίων βολαῖς τοὺς διαφερομένους (1) περιπείρειν πεπαίδευτο, ἀλλὰ τόξον ἐντείνειν ἐμπειρότερος ἦν. Καὶ τότε δὴ χερσὶ τὰ παλίντονα κάμπτοντα κέρα ὁ Περσεὺς στύπει συνήραξεν, ὅπερ, ἐν μέσῳ τῷ βώμῳ (2) κείμενον, καπνὸν ἀνεδίδου, καὶ, τοὺς ὀδόντας συντρίψας, τὸ στόμα συνέχεε.

Τοῦτον εἶδεν ἐν αἵματι τὸ καλὸν συμφύροντα πρόσωπον ὁ συνηθέστατος ἑταῖρος αὐτῷ Ἀσσύριος Λυκάβας, καὶ τὴν ἀληθίνην οὐδ' ὁτιοῦν φιλίαν ὑποκρινόμενος. Ἐπεὶ δ' ἐκπνέοντα τὴν ζωὴν ὑπὸ τοῦ δεινοῦ τραύματος τὸν Ἄτυν ἐθρήνησεν, ὅπερ ἐκεῖνος ἔτεινε τόξον ἐδέξατο, καὶ « Μετ' ἐμοῦ σοὶ ὁ ἀγὼν » εἶπεν « ἔστω. Οὐκ εἰς μακρὰν γὰρ τῷ τοῦ παιδὸς » θανάτῳ χαρήσῃ, ἐφ' ᾧ πλέον μέμψεως ἢ ἐπαί- » νων σύγ' ἔχεις. » Οὔπω πάντα ταῦτ' ἔφη, καὶ περὶ τὴν νευρὰν τὸ ὀξὺ διέλαμψε βέλος, ὅπερ ὁ Περσεὺς φυλαξάμενος, ἀπὸ τῆς κολπουμένης ἐσθῆτος αὐτῷ κρεμασθῆναι παρέσχε. Στρέφει τοίνυν ὁ Ἀκρισιωνιάδης ἐπ' αὐτὸν τὴν περίβλεπτον τῷ τῆς Μεδούσης θανάτῳ ἅρπην, καὶ προσάγει τῷ στήθει. Ὁ δὲ, θνήσκων ἤδη, τῶν ὀφθαλμῶν ὑπὸ βαθείᾳ καλινδουμένων νυκτὶ, περιέβλεψέ τε τὸν Ἄτυν, καὶ ἑαυτὸν ἔκλινε πρὸς ἐκεῖνον, καὶ παραμυθίαν εἰς Ἅδου τὸν συνημμένον ἐπεφέρετο θάνατον.

Ἰδοὺ δὲ καὶ ὁ τῷ Μητίονι γεννηθεὶς Συηνίτης Φόρ-

Claverius illam uncis sepsit. Legendum puto, deleta tantum litera quæ prave iteratur, Ὑψιπύλη τις, νήπιον. Sic syntaxis apte procedit. Fateor tamen τὸ τις cum nomine Hypsipyles non mihi placere.

(1) Imo, τὰ μακρὰν ἀπέχοντα.

(2) Invenit bonam lectionem *in ara*.

ϐας, καὶ ὁ Λίϐυς Ἀμφιμέδων συνάψαι γλιχόμενος πόλεμον, ὀλισθήσαντες ἐν τῷ αἵματι, ᾧπερ ἡ γῆ πολλῷ περιεκλύζετο, πίπτουσιν· ἀνισταμένοις δ' αὐτοῖς ἀντέστη τὸ ξίφος, τοῦ μὲν κατὰ τὴν πλευρὰν, τοῦ Φόρϐαντος δὲ προσενεχθὲν κατὰ τὴν σφαγήν. Ἀλλὰ γὰρ οὐχὶ καὶ τὸν Ἀκτορίδην Ἔρυτον (1), ᾧ πλατὺς πέλεκυς ὅπλον ἦν, ὤσας ὁ Περσεὺς τὸ ξίφος ἐζήτησεν· ἀλλὰ μέγιστον κρατῆρα, ὑψηλοῖς ἐπανεστηκότα κολοσσοῖς καὶ πολλῷ βαρούμενον ὄγκῳ, ἀμφοτέραις ᾖρε ταῖς χερσὶ (2) καὶ προσέπλασε τῷ ἀνδρί. Ὁ δὲ φοινικοῦν ἤμεσε λύθρον, καὶ, ὕπτιος κείμενος, πατάσσει τὴν γῆν κεφαλῇ θανατώσῃ. Ἐντεῦθεν Σεμιραμίου αἵματος Πολυδαίμονα φύντα, Καυκάσιόν τε Ἄϐαριν καὶ Σπερχειάδην (3) Λύκητον, τόν τε μὴ κεκαρμένον τὴν κόμην Ἑλίκην (4) καὶ Φλεγύαν, καὶ Κλυτὸν, κατηδάφισε, καὶ τοὺς συμπεφορημένους σωροὺς (5) τῶν θνησκόντων καταπατεῖ. Ὁ δὲ Φινεὺς, μηκέτι τολμῶν ἐγγύθεν ἐπιθέσθαι τῷ ἐχθρῷ, πέμπει τὸ ἀκόντιον, ὃ πλανηθὲν ἠνέχθη κατὰ τοῦ Ἴδα, ἀνδρὸς ἀπειροπολέμου καὶ μάτην οὐδετέροις τῶν ἐν τοῖς ὅπλοις ἠκολουθηκότος (6). Ὁ δὲ, λοξῷ βλέμματι τὸν

(1) B, ἔριτον. Ovidius, *Erithon*, quod Ἔριθον græce sonabit. Infra ad N. 86, A B, λίκητον pro Λύκητον: ad 390, B, ἀπερίκουσαι pro ἀπερύκουσα: ad N. 431, B, ἐξιδαροῦται pro ἐξυδαροῦται, et ad 495, ἔπηλις pro ἔπηλυς: ad 536, A, βρυθούσης pro βριθούσης: ad 660, A B, λίγκα pro λύγκα.

(2) A, sine ταῖς χερσί. Statim puto scribendum, et scripsisse ipsum Planudem, προσέκλασε: ita latinum *infregit* apte vertetur. Raritas verbi προσκλάω errorem librariorum forsan pepererit.

(3) A, σπερχιάδην.

(4) Textus latini *Elycem* velim mutari in *Helicem*, vel *Erycem*: nam *Elycem* unde veniat non capio.

(5) Codices, σορούς.

(6) Codices, οὐδετέρας — ἠκολουθηκότα. Participii genitivum syntaxis postulabat omnino; et

ἀπηνῆ βλέπων Φινέα, « Ἐπεὶ » φησὶν « εἰς μέρος νῦν » προσλαμβάνομαι, δέξαι, Φινεῦ, ὃν σαυτῷ ἐχθρὸν » ἀπετέλεσας, καὶ ἀντισηκοῦ μοι τὸ τραῦμα τραύ- » ματι. » Ἤδη τε τὸ βέλος ἀφήσειν μέλλων, τοῦ σώματος ἐξελκύσας, τῶν μελῶν ἐκλιπόντων τῇ ῥύσει τοῦ αἵματος, κατενεχθεὶς ἔπεσεν.

Ἐνταῦθα δὴ, μετὰ Κηφέα τὸν βασιλέα πρῶτος ὢν, ὁ Ὀδίτης πίπτει τῷ ξίφει τοῦ Κλυμένου· τὸν Πρωτήνορα (1) δ' ὁ Ὑψεὺς πλήττει, καὶ τὸν Ὑψέα Λυγκείδης. Παρῆν ἐν ἐκείνοις καὶ ὁ ὠγύγιος Ἠμαθίων, τό τε δίκαιον τιμῶν καὶ φοβούμενος τοὺς θεοὺς, ὃς, ἐπείπερ ὁ χρόνος ἐμποδὼν γίνεται πολεμεῖν, μάχεται τῇ γλώσσῃ, καὶ περιφοιτᾷ, καὶ τὰ ἀνόσια ἔργα προκαλεῖται (2). Τούτῳ (3) δ' ὁ Χρόμις, χερσὶ τρομεραῖς τῷ βωμῷ περιφύντι, ξίφει τὴν κεφαλὴν ἀπαράσσει (4)· ἡ δ' εὐθὺς ἐνέπεσε τῷ βωμῷ, κἀκεῖ δ', ἡμιθνὴς οὖσα (5), λόγους βλασφήμους ἀνεδίδου τῇ γλώσσῃ, καὶ ἐν μέσῳ τῷ πυρὶ τὴν ψυχὴν ἐξέπνευσεν. Ἐντεῦθεν ἀδελφοὶ δίδυμοι, Βροτέας τε καὶ Ἄμμων, ταῖς ἱμάσθλαις ἀήττητοι, εἰ δύναιτο τὸ ξίφος ἱμάσθλης ἡττᾶσθαι, τῇ Φινείᾳ (6) χειρὶ ἀνετράπησαν, σὺν οἷς καὶ ὁ

ουδετέροις res ipsa poscebat. Litera α cum τῇ οι permutatur facillime: cf. Bast. Comm. Palæogr. p. 769, et quæ monui ad Phil. Her. p. 305, et supra p. 183.

(1) Codd. προθήνορα. B, ὀψεύς.

(2) Habuit *devocat*, et vertit quasi legisset *provocat*. Saltem scripsisset ἀποπροκαλεῖται.

(3) B, τοῦτον. A, τοῦτο.

(4) Legit *decutit* in suo codice, non *demetit*. Notæ Gierigianæ de metaphora verbi *demetere* adde quæ scripsi ad Phil. Her. p. 455; quæ scripsere Kooten. ad Pindari Iliad. 485; Jacobs. ad Anal. Epigr. Inc. 591, et in Miscell. Philol. Matth. t. I, p. 76; Markl. ad Suppl. 717.

(5) Habuit lectionem *semianimis*, quæ posset recipi, modo pronuntiaretur *semjanimis*, ut fit in multis poetarum locis.

(6) B, φοινεία. Hæc variatio

τῆς Δήμητρος ἱερεὺς Ἀμφικὼς (1) λευκῇ μίτρᾳ τοὺς κροτάφους κεκαλυμμένος (2). Καὶ σὺ δ', ὦ Λαμπετίδη (3), ἥκιστα ταῖσδε ταῖς χρείαις ἐφαρμόζων, ἀλλ' αἷς ἔρχον εἰρήνη, τὴν κιθάραν σὺν τῇ φωνῇ κινῶν, προσελάχθης τότε δεῖπνον καὶ τὴν τῶν γάμων ἑορτὴν ᾄδων ἐγκωμιάζειν· ᾧ πόρρωθεν ἱσταμένῳ καὶ οὐτιδανὸν προσέχοντι Πάτταλος (4) ἐγγελῶν « Τοῖς Στυγίοις » εἰδώλοις τὰ λοιπὰ μέλπε » φησί· καὶ δεινὸν (5) ξίφος τῷ κοράφῳ καθέπηξεν. Ὁ δὲ καταπίπτει, καὶ τοῖς δακτύλοις θνήσκουσι τοὺς τῆς λύρας ἀναφλαφᾷ μίτους, καὶ πίπτοντος οἰκτρὸς καὶ ἡ ᾠδὴ γέγονεν. Οὐ μὴν ἐᾷ τοῦτον ἀτιμωρητὶ (6) πεσεῖν ὁ Θηρσώδης Λυκόρμας, ἀσπίδα (7) δ' εὐτονον τοῦ δεξιοῦ ἁρπάσας σταθμοῦ, τῶν ὀστῶν τῆς κεφαλῆς μέσης κατήνεγκεν· ὁ δ' ὤκλασεν ἐπὶ γῆν δίκην μόσχου σφαγασθέντος. Ἀνασπᾷν ἐπειρᾶτο καὶ ὁ Κινυφεὺς Πελάτης τὴν ἐκ τοῦ λαιοῦ σπέρραν παρασπάδα· πειρωμένῳ δὲ περιεπάρη ἡ δεξιὰ τῇ τοῦ Μαρμαρίδου Κορύθου (8) αἰχμῇ, καὶ τῷ ξύλῳ

elementorum ι et οι peperit supra p. 125, ad ν. 572, lectionem ικέται in A, pro οἰκέται.

(1) Ovidius, *Ampucus*, nescio quam recte: saltem *Ampycus*, ab ἄμπυξ.

(2) B, κεκαλυμμένους.

(3) Habuit Planudes *Lampetide*, notum et ex aliis codicibus.

(4) Ovidius, *Pettalus*. Placeret magis *Pattalus* e Planudeo cod.

(5) Ovidius: « *lævo* mucro- » nem tempore figit. » Planudes invenit *sævum*, vel sic male legit errantibus oculis. Repone, καὶ λαιῷ ξίφ.

(6) A, ἀπιμώρητον, non male.

(7) A, ἀντήρειδα, et cum hoc accentu bene, sed iotacismi vitio ει pro ι: sic infra ad ν. 292, A B, ἐντιναχθέντων, et ad 596, B, ἐκτινάτλουσα, vitio jam notato p. 128, not. 3, quod et potueram notare pag. 131, ad 689; rursus ad 576, ἠλίου pro Ἠλείου. Theophylactus Simoc. Ep. 79: πρόπομποι καὶ ῥαδδοῦχοι καὶ κήρυκες, καὶ θεσπίων ὑψηλοπάτων ἐπίπυξις, φιλοσοφίας εἰσὶν ἀχλύς. Codex Reg. 2991 A, ἐπιπύξεις. De electione poterit lector ambigere.

(8) In latinis malim *Corythi*.

προσίσχει· προσισχομένῳ δὲ οἱ τὴν πλευρὴν ἀνεσίδωσεν ὁ Ἄβας· ὁ δ' οὐ κατεσπάσθη, ἀλλὰ, τῆς χειρὸς κατεχούσης αὐτὸν (1), θανὼν ἀπὸ τοῦ σταθμοῦ ἀπεκρέματο. Κατεσπάσθη δὲ καὶ ὁ Μελανεὺς ταῖς δυνάμεσι τοῦ Περσέως ἑπόμενος, καὶ ὁ τοῦ Νασαμωνιακοῦ ἀγροῦ πλουσιώτατος Δορίλας, ὁ πλούσιος ἀγροῦ Δορίλας, οὗ πατρίδι γῆν κτῆσιν εἶχεν οὐδείς, ἢ τοσούτους ἀπήγειρεν ἀρωμάτων σωρούς. Τούτῳ δὴ κατὰ τοῦ βουβῶνος ἐκ πλαγίου πεμφθεὶς ὁ σίδηρος ἔστη (κατίσχει γὰρ ὁ τόπος ἐκεῖνος)· ὃν ὁ τοῦ τραύματος ἐργάτης Βαρχεὺς (2) Ἀλκυονεὺς ἰδὼν ἀπολύσασθαι τὴν ψυχὴν καὶ τοὺς ὀφθαλμοὺς διαστρέφεσθαι, « Τοῦτο τῆς γῆς ὃ νῦν κατέ- » χεις » εἶπεν « ἐκ τοσούτων ἀγρῶν ἔσχε », καὶ τὸ σῶμα νεκρὸν κατελέλοιπε. Στρέφει πρὸς τοῦτον τὸ δόρυ ὁ τιμωρὸς (3), ἔτι θερμῆς ἐκ τῆς πληγῆς τοῦθ' ἁρπάσας· τὸ δ', ἐν μέσῃ ληφθὲν τῇ ῥινὶ, διῆλθε τὴν κεφαλὴν, καὶ ἐξεῖχεν αὐτῆς ἑκατέρωθεν. Καὶ δὴ οἱ τὴν χεῖρα τῆς τύχης ἐνισχυούσης, Κλυτιόν τε καὶ Κλόνον, μητρὸς τῆς αὐτῆς τεχθέντας, πληγῇ διαφόρῳ κατειργάσατο. Καὶ γὰρ διὰ μὲν τῶν μηρῶν ἑκατέρων τοῦ Κλυτίου διῆλθεν ἡ πρέπουσα βαρεῖα τινα χθεῖσα χειρί· ὁ Κλόνος δὲ τὸ ἀκόντιον τῷ σώματι ἔδεκτο. Ἔπεσε καὶ Κελάδων· ἔπεσε καὶ ὁ Μενδήσιος Ἀστρεὺς (4), μητρὸς μὲν Παλαισκήνης γεννηθείς, πατρὸς δ' ἀμφιβόλου, Αἰθίων τε δεινός πολε τὰ μέλλοντα βλέπειν, τότε δ' ἀπατηλῷ ψευσθεὶς

(1) A, τῇ χειρί. Invenit *retinente manu*, bonam lectionem, imo vulgata meliorem.

(2) Ovidio dicitur *Bactrius*. Planudes invenisse videtur *Barceus*, nec id male.

(3) Vel Planudes, vel librarius, omisit nomen τοῦ πρωρεῦ τούτου, qui Ovidio dicitur *Abantiades* ipse.

(4) Alia est latinorum divisio, et melior.

οἰωνῷ, καὶ ὁ τοῦ βασιλέως ὁπλοφόρος Κορυστὴς (1), καὶ ὁ πατέρα διαχρησάμενος δυσκλεὴς Ἀγύρτης.

Πλεῖόν γε μὴν ὑπολέλειπται τοῦ ἀναλωθέντος (2)· πᾶσι γὰρ ὁρμὴ τὸν ἕνα καθελεῖν, καὶ συνομωμοκότα πανταχόθεν τὰ πλήθη μάχεται ὑπὲρ τοῦ μαχομένου τῇ τε πίστει καὶ τῷ δικαίῳ· ἕνεκεν δὴ τούτων ὅ τε μάτην εὐσεβῶν κηδεστὴς καὶ ἡ νέα σύζυγος σὺν τῇ μητρὶ τῷ Περσεῖ συντίθενται, καὶ πληροῦσιν ὀλολυγῆς τὴν αὐλήν. Ἀλλ' ὁ τῶν ὅπλων ὑπεραίρει κτύπος, καὶ τῶν πιπτόντων ὁ στεναγμός. Ἥ τε Πολεμικὴ Θεὸς (3) ὁμοῦ τε πολλῷ αἵματι τοὺς θαλάμους κατέκλυσε (4) μολυνθέντας, καὶ μάχας ἀνανεουμένας συνάπτει. Περιστοιχίζουσί τε τὸν ἕνα Φινεύς τε καὶ μυρίοι (5) ἑπόμενοι τῷ Φινεῖ· ἵπταταί τε τὰ βέλη, χειμερίας νιφάδος πλέον, ἐγγυτάτω τε τῶν πλευρῶν ἑκατέρων, καὶ ἐγγυτάτω καὶ ὤμων καὶ ὀφθαλμῶν. Ὁ δὲ, τὰ μετάφρενα μεγάλου κίονος λίθῳ συνάψας, καὶ ἐν τῷ ἀσφαλεῖ φέρων τὰ νῶτα, καὶ κατὰ μέτωπον τῶν ἀντιτεταγμένων ἐπεστραμμένος, ὑφίσταται τοὺς ἐπικειμένους. Ἐπέκειτο δ' ἐκ μὲν τῶν λαιῶν ὁ Χαόνιος Μολπεὺς, ἐκ δεξιῶν δὲ ὁ Ναβαταῖος

(1) Naugerius videtur invenisse in Planude, Χοριστής. Ovidio edito dicitur *Thoactes*, Θοάκτης.

(2) Ovidius : « Plus tamen » exhausto superest », *labore* nempe : « plus labore exhausto » laboris superest ». Si legas e codice *exhaustis*, et *laboribus* intelligas. Alia proposita fuit interpretatio, facilis minus.

(3) Imo Ἐνυώ, *Bellona*.

(4) B, κατέκλεισε. Eodem modo A B peccant ad *N*. 357, in πλατὺ pro πλατεῖ : et supra p. 56, 6, A in βαθὺ pro βαθεῖ.

(5) B, μύριοι. Malui numerum non finitum; aliter res fieret absurda. Ovidius, *mille*, quod nec hic finitum est. At in Persis 974, pro μυρία μυρία scribendum μύρια μύρια, quod patebit Blomfieldii notam legenti. Pricæus, ad Judæ Epist. I, 14, pro μύρια in glossis legi jubet μυριάς, citra necessitatem.

Ἐθήμων. Ὡς δὲ τίγρις, ἐν διαφόροις κοιλάσι μυκηθμῶν
δυοῖν ἀγελαῖν ἀκούσασα, ἐρεθιζομένη τῇ πείνῃ, ἀγνοεῖ
πρέρ μᾶλλον ἐπιπηδήσει, ἐπιπηδῆσαι δ' ὅμως ἑκατέρᾳ διαθερμαίνεται, οὕτως ἐνδιάζων ὁ Περσεὺς πότερον εἰς τὰ δεξιὰ ἢ εἰς τὰ λαιὰ ὁρμήσει, Μολπέα μὲν, διαίρησας τὸ σκέλος, τῇ σληγῇ μελεκίνησε, καὶ ἠρκέσθη τῇ ἐκείνου φυγῇ· οὐδὲ γὰρ δίδωσι καιρὸν (1) ὁ Ἐθήμων, ἀλλὰ μαίνεται, καὶ, σπεύδων τερῦμα δοῦναι τῷ ὑπερνεσηκότι τούτου τραχήλῳ, ἀπεισκέπτῳ δυνάμει τὸ ξίφος κατένεγκεν, σὺν ἄξεν· ὡς γὰρ τὸ ἔσχατον μέρος ἐπάταξε (2) τοῦ κίονος, ὁ σίδηρος ἐκπηδήσας τῷ τοῦ δεσπότου προσεπάγη λαιμῷ. Οὐ μὴν ἀξιόλογον αἰτίαν πρὸς θάνατον ἥδε ἡ σληγὴ δέδωκεν. Ὁ γε μὴν Περσεὺς τρέμοντα, καὶ τὰς ἀπράκτους χεῖρας μάτην ἐκλείνοντα, τῇ Κυλληνίδι περιέπειρεν ἅρπῃ.

Ἐπεὶ δὲ τὴν ἑαυτοῦ ῥώμην τοῦ ἐκείνων εἶδεν ἡττωμένην ἀριθμοῦ, « Συμμαχίαν » εἶπεν, « ἐπείπερ ὑμεῖς » τοῦτ' ἀναγκάζετε, παρ' ἐχθροῦ ζητήσω. Ἀλλὰ ἀπο» στρέψατε τὰ ὑμῶν αὐτῶν πρόσωπα, εἴ τις ἐν ἀριθμῷ » φίλων πάρεστι. » Καὶ τὴν τῆς Γοργόνος προήνεγκε κεφαλήν. « Ἄλλον » εἶπεν ὁ Θετταλὸς « ζήτησον, ὃν » τὰ σὰ θρήσει πρόσωπα· » καὶ δὴ τῇ χειρὶ τὸ μόρσιμον ἀκόντιον διηγκυλημένος (3) ὥστε βαλεῖν, ἐν τούτῳ τῷ σχήματι μαρμάρεος γενόμενος ἀνδριὰς ἔμεινεν. Ἐγγύθεν δὲ τούτου ὁ Ἄμπυξ ἐγχειρίδιον (4) διαλαβεῖν τὰ σπλάγχνα μεγάλης ψυχῆς σπέρνα τοῦ Λυγκείδου ζητεῖ, καὶ ζητῶν τὴν δεξιὰν ἐσκληρύνθη, καὶ αὐτ' οὖν

(1) B, κρεών, nota variatione.
(2) Codices, ἐπίπαξε.
(3) Codex A, διηγκυλυμένος.
(4) B, ἐγχειρίω.

ἐπὶ τάδε κεκίνηται, οὔτ' ἐπ' ἐκεῖνα. Ὁ δὲ Νειλεύς, ὃς ἑαυτὸν παῖδα τοῦ ἐπλασμένου ἐψευδέτο Νείλου, καὶν τῷ θυρεῷ τὰ ἐπλὰ διεχάραξε σιόμαια, πῇ μὲν ἀργύρῳ, πῇ δὲ χρυσῷ, « Ὅρα, Περσεῦ », εἶπε, « τὴν » ῥίζαν τοῦ ἡμετέρου γένους· μεγάλην παραμυθίαν » οἴσεις πρὸς τὰς ἀφώνους καθ' Ἅιδου ψυχάς, τὸ παρ' » ἀνδρὸς τηλικοῦδε πεσεῖν. » Τό γε μὴν ἔσχαιον τῆς φωνῆς μέρος ἐν μέσῳ ἐπεσχέθη τῷ φθόγγῳ, καὶ κεχηνὸς μὲν ἔχει τὸ σίομα· ἔπεισας ἂν σαυτὸν βούλεσθαι φθέγγεσθαι τοῦτον· πάρεδος δὲ τοῖς ῥήμασιν οὐκέτι τις δι' αὐτοῦ. Ἐπιλιμᾷ τούτοις ὁ Ἔρυξ, καὶ « Τῇ κακίᾳ » φησὶ « τῆς ψυχῆς, οὐχὶ τῆς Γοργόνος » ἀτρεμεῖτε δυνάμει (1). Δεάμεῖε δὴ σὺν ἐμοὶ, καὶ » πρὸς γῆν καιαβάιεῖε τὰ ὅπια κινοῦντα μαγικὰ » νεανίαν. » Δεαμεῖσθαι γοῦν ἔμελιεν, ἐπέσχε δέ οἱ τὰ ἴχνη τὸ δάπεδον, καὶ μηδέν τι κινούμενος σιωπᾷ, καὶ εἰκὼν ἔμεινεν ὡπλισμένη.

Ἀλλ' οὗτοι μὲν ἀξίας ὑπέσχον τὰς δίκας· εἷς δέ τις τοῦ Περσέως ὑπασπισιὴς, Ἀκονεὺς ὄνομα, ὑπὲρ ἐκείνου μαχόμενος, ἰδὼν τὴν Γοργόνα, εἰς λίθον ἀρξάμενος ἐπιδέδωκεν· ὃν, ὑπολαβὼν ἔτι ζῆν, Ἀσυλάγης μακρῷ σιήτει ξίφει, καὶ ὀξεῖ ῥοίζῳ τὸ ξίφος ἤχησεν. Ἐκπιηγόμενος δὴ ὁ Ἀσυλάγης τὴν αὐτὴν (2) ἔπεσπάσαιο

(1) Planudes legebat *viribus*, non *crinibus*.

(2) B, ζῆν ἀσυλάγης τὴν αὐτὴν, mediis omissis ob ὁμοιοπέλευτον. Obiter lacunam in Procli Præfat. ad Platonis Rempubl. p. 354, implebo, varietate usus illa de qua monui, supra p. 169. Ἐν ταῖς μέσαις (τῆς ψυχῆς ἕξεσι, Proclus ait) ἡ μὲν πρὸς τῇ ἀμείνονι πάλιν ἀπέχεται τῶν πραγμάτων (codd. πράξεων, bene) ἔνδον μόνον ἔχουσα τὴν ἀδικίαν· ἡ δὲ μετ' αὐτὴν καὶ πράξειεν ἄν, ἀλλ' οὐχ ὅλῃ τῇ ψυχῇ πράττειν, οὐδ' (cod. οὐκ) αὐτὴ δὲ ἄνευ δικαιοσύνης οὖσα: quis ista capiat facile? Repono plenioribus verbis: ἀλλ' οὐχ ὅλῃ

φύσιν, καὶ ἐν λιθίνῃ ὄψει τὸ τοῦ θαυμάζοντος παρέμεινε σχῆμα. Μακρὸς ἂν εἴη λόγος τὰ τῶν ἀνδρῶν ὀνόματα λέγειν τὰ ἐκ μέσου τοῦ σύγκλυδος ὄχλου. Δὶς ἑκατὸν τῇ μάχῃ πεμπτεύοντο σώματα, καὶ δὶς ἑκατὸν ἐπέρρωσαν τὴν Γοργόνα ἑωρακότα.

Τότε δὴ τότε μέλαμέλει τῷ Φινεῖ τοῦ ἀδίκου πολέμου. Τί δ' ἂν δράσειεν; Ἰνδάλματα μὲν διάφορα διαφόροις ὄρᾳ σχήμασιν, ἀγνοεῖ (1) δὲ τοὺς ἰδίους, καὶ, πάνθ' ἕκαστον ἐξ ὀνόματος καλῶν, ἐπικουρίαν αἰτεῖ· ἧττον δὲ πιστεύων ἑαυτῷ, τῶν σωμάτων ἐγγὺς ὄντων ἄπληκτος, καὶ λίθος ἦν πάντα. Ἀποστρέφεται τοίνυν, καὶ ἱκέτης τάς τε (2) χεῖρας ὁμολογούσας καὶ τοὺς πήχεις πλαγίους ἐκλείπων, « Νικᾷς » εἶπε, « Περσεῦ· ἀπό» σπασον τὰ σὰ τέρατα, καὶ τὸ σὸν λιθουργὸν πρό» σωπον αἶρε, τὴν Μέδουσαν, ἥτις πολέ ἐστιν, αἶρε, » ἱκετεύω. Οὐ μῖσος ἡμᾶς καὶ τῆς βασιλείας ἐπιθυμία » πρὸς μάχην συνήλασεν· ὑπὲρ τῆς γυναικὸς κεκινή» καμεν ὅπλα. Κρείττων ἡ σὴ αἰτία παρὰ τῇ δίκῃ » γέγονε (3)· πολὲ δ' ἦν ἡ ἡμελέρα. Οὐκ ἐν ἐλαφρῷ » ποιοῦμαι τὸ μὴ ὑπεῖξαί σοι. Μηδενὸς, ὦ γενναιότατε, » πλὴν ταύτης μοι τῆς ψυχῆς παρεχώρει· τὰ δ' » ἔσω τὰ πάντα. » Τοιάδε φθεγγομένῳ καὶ μηδ' ὃν λόγοις ἱκέτευε προσβλέπειν τολμῶντι, « Ὅπερ » ἔφη, « δειλότατε Φινεῦ, καὶ παρασχεῖν δύναμαι καὶ

τῇ ψυχῇ δεδογμένα, διὰ τὸ εἶναί τινα μάχην· ἡ δὲ μετ' αὐτὴν ἐστὶν ἡ δεικνῦσα καὶ πρέπειν, καὶ ὅλῃ τῇ ψυχῇ πρέπειν, οὐδ' αὐτὴ....

(1) Ovidius, *agnoscit*. Petulantior monachus credidit *a* in *agnoscere* esse privativum, et scripsit ἀγνοεῖ, quum γιγνώσκει scribendum esset seu ἀναγνωείζει.

(2) A B, inverso ordine, τε πάς.

(3) Ovidius: « Causa fuit me» ritis melior tua, tempore no» stra. » Planudes locum non intellexit, cujus hic est sensus: κρείττων μὲν σὺ παῖς εὐεργεσίας, ἐγὼ δὲ τῷ χρόνῳ.

» μέγα τῷ φιλοψύχῳ γίνεται δῶρον (τὸ δέος ἀπόθου)
» παρέξω. Οὐδενὶ γὰρ ἀναιρεθήσῃ σιδήρῳ. Ναὶ μὴν καὶ
» μνημεῖα δώσω δι' αἰῶνος μενοῦνα, καὶ τοῖς τοῦ
» κηδεστοῦ μοι δώμασιν ἀεὶ θεαθήσῃ (1), ὡς ἂν ἑαυτὴν
» ἡ σύνευνός μοι παραμυθοῖτο τῇ τοῦ μνηστῆρος εἰ-
» κόνι. » Εἶπε, καὶ πρὸς ἐκεῖνο τὸ μέρος τὴν Φορκυνίδα
κεφαλὴν μείνεγκε, πρὸς ὅπερ ἑαυτὸν ὁ Φινεὺς περι-

(1) B, θεάσῃ, quod non prætuli in tali scriptore, etsi non nesciam futura media sæpe pro passivis usurpari. Cf. Plato Alcib. I, extr., ubi παιδαγωγήσῃ passive, quod Gottleberus apte defendit; Euripides Hipp. 1458, ubi σπρήσεσθε passive, cum egregia Monkii nota. Moschopulus Π. Σχ. p. 293: Θορυβήσομαι δὲ ἐπὶ παθητικῆς σημασίας, ἀντὶ θορυβηθήσομαι. In Cratylo §. 105, quum codex Gudianus exhiberet λέξεται passivo sensu, Heindorfius frustra putat hoc esse solœcum, et scribendum vel λελέξεται cum editis, vel λεχθήσεται. Euripidea Iph. A. 331, τὸν ἐμὸν οἰκεῖν οἶκον οὐκ ἐάσομαι; pessime vertit Heathius, qui non videre se ait quomodo ἐάσομαι passivam possit induere significationem, quam induit facillime. In Theocrito XXVIII, 6, πρήσομαι active, quum sit passive dictum, ceperunt Reiskius, Harlesius, alii, etsi jam illos meliora docuisset Hemsterhusius ad Thom. Mag. p. 853. Thucydides, VI, 15: ἐλπίζων Σικελίαν τε δι' αὐτοῦ καὶ Καρχηδόνα λήψεσθαι. Scholiastes, male activo sensu futurum vertens, subintelligit Ἀθηναίους: nam λήψεσθαι est pro ληφθήσεσθαι. Demosthenes in Callipp. t. V, Tauchn. p. 37: ὅπως ἂν αὐτός τι μὴ δόξω χείρων εἶναι, καὶ ἐκ τοῦ πράγματος μηδὲν ζημιώσωμαι: et hic passivus est sensus; sed scribendum ζημιώσωμαι ob ἄν: nam et δόξω est subjunctivi, non indicativi modi. Adde notata Fischero ad Platonis Criton. 15; Marklando ad Supplic. 531; Valckenario ad Theocr. I, 26; Spaldingio ad Midian. p. 111; Scholiastæ Luciani Jov. Trag. 5; et ipsi mihi ad Diogenis Epistolas in Notitiis Manuscript. t. X, part. II, p. 145. Ceterum neminem moretur forma illa passiva verbi θεάομαι. Participium θεαθείς est in ipso Συγγεγραφεῖ, III, 38, atque in Nicephori Scholiis ad Synes. p. 374 D; θεῶνται in Scholiis A, ad Septem-Theban. 50, et in Philostrati Her. p. 64, ubi cf. Editor p. 421; ἐθεάθης in Scholiis ad Dem. de Cor. p. 326 Bekker.; θεαθῇ in Isaaci Porphyrog. Paralipomenis Homericis, pag. 287; θεαθῆναι in Apollonii Tyan. Epist. 49, et in Scholiis A ad Persas 26; θεώμενος in Eunapio, ubi notavi p. 433.

δεεῖ σῐρέφει προσώπῳ. Τότε δὴ τοὺς ὀφθαλμοὺς σῐρέφειν (1) ἐπιβαλλομένῳ ὁ τεῦχλος ἐπωρώθη, καὶ ἡ τῶν ὀφθαλμῶν ὑγρότης εἰς λίθον ἐσκληρύνθη. Ὅμως γε μὴν καὶ εἶδος δεινὸν καὶ σχῆμα ἐν τῷ μαρμάρῳ ἱκέτου, χεῖρές τε ὑποπεπλωκυῖαι, καὶ καταδίκου πρόσωπον ἔμεινε.

Τριπαιοφόρος τοιγαροῦν ὁ Ἀβαντιάδης εἰς τὰ πατρῷα τείχη σὺν τῇ γυναικὶ εἴσεισι, καὶ, τῷ παλεὶ (2) ἀδίκως ἀπελαθέντι τιμωρῶν καὶ ἀμύνων, τὸν Πρῖτον μεθέρχεται. Καὶ γὰρ οὗτος, ὅπλοις τὸν ἀδελφὸν φυγαδεύσας, τὴν Ἀκρισιωνείαν πόλιν αὐτὸς ἐκτήσατο. Ἀλλ' οὔτε τῇ τῶν ὅπλων ἀλκῇ, οὔτε τῇ πόλει ἣν κακῶς ἐχειρώσατο, τῶν βλοσυρῶν ὀφθαλμῶν τοῦ δρακοντοφόρου τέρμα ὑπερέσχε. Καί σε δ' οὖν, ὦ τῆς μικρᾶς Σερίφου βασιλεῦ, Πολύδεκτες (3), οὐθ' ἡ τοῦ νεανίου ἀρετὴ, τοσούτοις δοκιμασθεῖσα πόνοις, οὔτε τὰ τόσα κακὰ ἐμαλάκισαν, ἀλλ' ἀπαραίτητον ἀπέχθειαν ἀπολόμως ἀσκεῖς, καὶ οὐδέν σοι τέλος περὶ τὴν ἄδικον ὀργὴν γίνεται. Καὶ δὴ καὶ τὰς ἀριστείας αὐτοῦ διαβάλλεις, καὶ πεπλασμένον τὸν τῆς Μεδούσης φόνον λεγόντα ἐλέγχεις. « Δώσομεν δή σοι τῆς ἀληθείας » ὁ Περσεὺς εἶπεν « ἐνέχυρα. Φείδεσθε (4) τῶν ὑμετέρων ὀφθαλμῶν,

(1) B, σῐρέφει. Sic infra ad ν. 258, ἠβουλήθη, omisso ν finali; et ad 335, ἀπάγχειλο, ejusdem literæ jactura. Contrario errore ad VI, 5, exhibet προσίχειν pro προσίχει. Tanta est circa extremas syllabas describentium incuria. Infra ad 390, ἀπειλοῦσαι est in B, pro ἀπηύρουσα: ad 440, in A B, ἐρχομένην pro ἐρχομένη. Supra p. 148, ad ν. 195, A B, ἀπνίζει pro ἀπνίζεις, de quo tunc non monui.

(2) Non τῷ παιρὶ, sed τῷ πάππῳ, Acrisio nempe. Ovidius, *parentis*, quod non est sine obscuritate dictum.

(3) Πολύδεκτα scribendum est.

(4) A, φείδεσθαι. Sic supra δραμεῖσθαι, ad ν. 198; σπουδιότερον in B, ad 578; προσλίθεται in A B, ad 667, nota permutatione.

» ὅσοι γε ἡμέτεροι » (1). Καὶ τὸ τοῦ βασιλέως πρόσωπον τῷ τῆς Μεδούσης προσώπῳ λίθον πεποίηκεν ἄναιμον.

Μέχει μὲν οὖν τοῦδε τῷ χρυσογενεῖ συγγόνῳ ἑαυτὴν ἡ Τελωνὶς εἰς ἑταιρείαν παρέσχεθο· ἐνθεῦθεν δὲ, κοίλῃ νεφέλῃ πρισχεθεῖσα, τὴν Σέριφον καλαλέλοιπε, τήν τε Κύθνον καὶ Γύαρον δεξιὰς ἀφεῖσα, ὅθεν συνθομωλάτη ὁδὸς ἔδοξεν ὑπὲρ τὴν θάλασσαν ἰούσῃ τάς τε Θήβας καὶ τὸν παρθενικὸν Ἑλικῶνα ζητεῖ (2), ὃν δὴ καὶ καλαλαβοῦσα ἔστη, καὶ πρὸς τὰς Μούσας τὰς ἐπιστήμονας ἀδελφὰς οὕτως εἶπε· « Φήμη πηγῆς » νέας τὰς ἡμετέρας ἔφθασεν ἀκοὰς, ἣν ἀπόκρυφος » ὅπλὴ τοῦ Μεδουσείου ἀνέῤῥηξεν ὑπομνήματος (3). » Αὕτη μοι τὸ τῆς πορείας αἴτιον. Ἠβουλήθην τὸ » θαυμαστὸν τοῦτο σκοπῆσαι ἔργον. Εἶδον ἐγὼ τὸν » ἵππον τοῦ μήτρῳου γεννώμενον αἵματος. » Ὑπολαβοῦσα τοίνυν ἡ Οὐρανία φησίν (4)· « Ἥτις ποτέ σοί

(1) Hoc acuminis ὅσοι γε ἡμέτεροι, ex ingeniolo addidit Planudes. B, ὑμέτεροι. Mendum scripturæ in pronominibus id genus passim serpit. Cf. quæ jam sunt monita p. 102, not. 1. Infra ad v. 309, A male ὑμῶν pro ἡμῶν : ad 311, A B, ἡμεῖς pro ὑμεῖς : ad 563, A B, ἡμῖν pro ὑμῖν. Libanius t. IV, p. 146, 9 : Ἔλεγον ὅτι, Οὕτως ὑμῖν, ὦ γύναι, πρέπει σιγᾶν : ubi miror Reiskii crisin, qui se malle ait, cum libro quodam scripto, ἡμῖν. Ὑμῖν unice aptum est; nempe, ὑμῖν παῖς γυναιξί.

(2) Naugerius ad Ovidium hunc Nostri locum adtulit ab ἐντεῦθεν δὲ ad ζητεῖ. Habet, male πεισχεθεῖσα, τὴν σ. Ἑλ., bene Γύαρον, quum mei libri exhibeant Γίαρον : post πᾶς omittit π.

(3) B, μεδσίου : et ad marg. ἤγουν Πηγάσου. Ovidius, *Medusæi præpetis*. Jam supra p. 177, Planudes a sensu vocis *præpes* aberravit. Non fuit hic felicior, imo tam infelix ut nesciam quid sit illud ὑπόμνημα nisi τῆς αὐτοῦ ὑπόμνημα ἀμουσίας. Invenitne *præcepti* pro *præpetis* ? Repone ἵππου, quod tamen vim latinæ vocis non æquat, vel τοῦ Μεδ. ἀετ. ἵππου, ἵππου τοῦ ὠκυπλέρου.

(4) B, οὐρανία φήμη.

» ἐστιν αἰτία τοῦ τὰς καλαγωγὰς ἰδεῖν, θεὰ, τάσδε,
» χαριεστάτη ταῖς ἡμετέραις ψυχαῖς γένεται. Πλὴν
» ἀληθῆ τὰ τῆς φήμης ἐστὶ, καὶ ὁ Πήγασος πατὴρ
» τῆσδε τῆς πηγῆς ἐστί. » Καὶ ἡγήσατο πρὸ τὸ ἱερὸν
ὕδωρ (1) τῆ Ἀθηνᾷ. Ἡ δ' ἐπὶ πλεῖστον θαυμάσασα τὸ
γεγονὸς τῇ πληγῇ τοῦ ποδὸς ὕδωρ, τὰς τῆς παλαιᾶς
λόχμης καθαδύσεις καὶ τὰ ἄντρα περιαθρεῖ, καὶ τὰς
ἀναριθμήτους ἄνθεσι διαγεγραμμένας βολάνας, εὐ-
δαίμονάς τε Μαιονίδας (2) ἐπίσης ἀποκαλεῖ τῷ τε
χώρῳ καὶ τῷ σπουδάσματι. Μία δέ τις τῶν ἀδελφῶν
οὕτω πρὸς ἑαυτὴν εἰρήκει· « Ὦ, εἰ μή σέ γε ἡ
» ἀρετὴ πρὸς τὰ μείζω τῶν ἔργων ἤνεγκεν, ἐλθοῦσα
» ἂν εἰς τὸ μέρος τοῦ ἡμετέρου, Τειτωνέια, χο-
» ροῦ, λέγεις ἀληθῆ, καὶ δικαίως ἐν ἐπαίνῳ ποιῇ τὸν
» τε τόπον καὶ τοὐπίπλασμα. Καὶ γὰρ οὖν θυμήρη
» τὸν κλῆρον (μόνον ἀσφαλεῖς εἴημεν) ἔχομεν. Ἀλλ'
» οὐκ ἔστιν ᾧ τις τὴν μοχθηρίαν φυλάξασθαι δύνα-
» ται, πάντα τε τὰς παρθενικὰς ἐκδειματοῦσι ψυχάς.
» Σκληρὸς γὰρ περὶ ἡμᾶς ὁ Πυρωνεὺς (3) ἀνεστρά-
» φη (4), ὡς μηδέπω με ὅλην ἐμαυτὴν πρὸς τὸν πρό-
» θεον λογισμὸν ἐπαναλαβεῖν. Οὗτος δεινῶς τὴν Δαυ-
» λίδα καὶ τὰ τῆς Φωκίδος πεδία Θερμία σπερχιᾷ
» εἶπε, καὶ ἀδίκως τούτων εἶχε τὴν ἀρχήν. Ἡμεῖς
» δ' ἐπὶ τὸν Παρνάσιον νεὼν ᾔειμεν (5)· ὁ δ' εἶδεν ἰού-

(1) Addidi ὕδωρ male a librariis omissum.

(2) Invenit *Mæonidas*.

(3) Sic AB. Ovidius, *Pyreneus*.

(4) Ovidius : « dirusque ante » ora Pyreneus Vertitur. » Mentem loci non cepit Planudes. Verterim: καὶ σκληρὸς πρὸ ὀφθαλμῶν ἔπι Πυρηνεὺς ἀνασπάφηται.

(5) Codices, εἴημεν. Cf. p. 125, not. 3; p. 143. Sic apud Libanium, t. IV, pag. 140, 6, pro ἀπῆει, bona lectione, Morelliana exhibet prave, ἀπίη.

» σας, καὶ, τὴν ἡμῶν θειότητα δολερῇ γλώττῃ τι-
» μήσας, Μαιονίδες (ἔγνω καὶ γάρ), σίγατε, εἶπε.
» μὴ δὲ δισσάσητε, δέομαι, τόν τε βαρὺν ἀσπέρχε καὶ
» τὸν ὑέλιον (ὑέλιος γὰρ ἦν) ὑπὸ τὸν ἡμέτερον οἶκον
» φυλάξασθαι· ὑπέδυσαν πολλάκις οἱ θεοὶ βεβαχυ-
» τάτας καλύβας. Ἡμεῖς δ', ἐπικαμφθεῖσαι τοῖς
» τε λόγοις ἐκείνου καὶ τῷ καιρῷ, ἐπευσάμεν τῷ
» ἀνδρὶ, καὶ εἰσήλθομεν εἰς τὸν περίδρομον. Παρῆλθε
» τοίνυν ὁ ὑέλιος, καὶ, τοῦ Βορέα τρεφαμένου τὸν Νό-
» τον, αἱ κυαναῖ νεφέλαι ἀπεδίδρασκον ἀναπεθαιρε-
» μένου τοῦ οὐρανοῦ· ἡμῖν δ' ὁρμὴ γέγονεν ἀπιέναι.
» Ὁ δὲ Πυρωνεὺς, τὰς θύρας ἐπισπασάμενος, βιά-
» ζεσθαι ἕτοιμος ἦν· ἡμεῖς δ', ἀναλαβοῦσαι πτέρυ-
» γας, διεφύγομεν. Ὁ δὲ, ἐπιδιωξομένῳ ἐοικὼς, ἐπὶ
» τῆς ὑψηλῆς ἀκροπόλεως ἔστη, καὶ, Τίς ποθ' ἡμῖν
» ὁδὸς ἔσται, ἢ αὐτὴ κἀμοὶ γενήσεται, εἶπε· καὶ ῥιπτεῖ
» ἑαυτὸν κατὰ γῆς ὁ ἀνόητος ἐξ ἀκρας τῆς κορυφῆς,
» καὶ πίπτει ὀρνιθὴς, καὶ, τῶν τοῦ σώματος ἐκλινα-
» χθέντων ὀστῶν, καταπορεῖ (1) τὴν γῆν θνήσκων
» ἀλιτηρίῳ χρωσθεῖσαν αἵματι. »

Ταυτὶ μὲν ἡ Μοῦσα διεξῄει, πτέρυγες δὲ διὰ τοῦ
ἀέρος ἐρρόιζησαν, καὶ φωνὴ περσαγορευουσῶν ἐκ τῶν
ὑψηλῶν πρέμνων καλῇ. Ἀναβλέπει δ' ἡ (2) τοῦ Διὸς
παῖς, καὶ πόθεν ἂν ἠχοῖεν αἱ οὕτω σαφῆ φθεγγόμε-
ναι γλῶτταν ζητεῖ, καὶ ἀνθρώπους οἴεται τοὺς λαλοῦν-
τας. Αἱ δ' ἦσαν ὄρνεις (3), ἔννεα τὸν ἀριθμὸν, καὶ,
τὴν ἑαυτῶν ὀλοφυρόμεναι μοῖραν, τοῖς κλάδοις ἐφί-

(1) B exhibuit καπακραλεῖ.
(2) Codd., ὁ : sic peccabant Rursus ad ν. 674, A B, ὄρνις.
p. 176. Mox B, sine γλῶτταν. Atque ita codd. ad VII, 4.
(3) B, ὄρνις, ut infra ad ν. 484.

ξανον, μιμούμεναι πάντα κίσσαι. Θαυμαζούσῃ δὲ τῇ θεῷ οὕτω πως ἡ θεὸς Μοῦσα λέγειν ἐνεστήσατο· « Νεωστὶ καὶ αὗται, τὸν πρὸς ἡμᾶς ἀγῶνα νικηθεῖσαι, » τὸν τῶν πτηνῶν πτύξησαν ἀριθμόν. Πίερος δὲ ταύ- » τας ἐγέννησεν, ἀνὴρ πλούσιος, ἐν τοῖς Πελλαίοις » πεδίοις· μήτηρ δ' αὐταῖς (1) ἦν Παιονὶς Εὐίππη (2), » ἡ τὴν ἰσχυρὰν Εἰλείθυιαν ἐννεάκις, μέλλουσα τέ- » ξειν, ἐπεκαλέσατο. Ἐξωγκοῦτο δὴ τῷ ἀριθμῷ τῶν » ἀμαθεστάτων ἀδελφῶν ἡ πληθύς. Καὶ διά τε τό- » σων Αἱμονίων καὶ τόσων Ἑλληνίδων πόλεων ἦλθε καὶ » δεῦρο, καὶ τοιοῖσδε ῥήμασι μάχας ἡμῖν ἀπάπτει· » Παύεσθε τὸν ἀπαίδευτον ὄχλον κενῇ καλαγηστεύειν » ἡδυεπείᾳ. Μεθ' ἡμῶν, εἴ τις ὑμῖν πεποίθησις, Θε- » σπιάδες θεαὶ, ἀγωνίσασθε· οὔτε γὰρ φωνῆς (3), οὔτε » τέχνης τὸ ἔλαττον ἔξομεν. Καὶ τοσαῦται δ' ἐσμὲν, » ὅσαιπερ καὶ ὑμεῖς. Εἶτ' οὖν παραχωρεῖτε ἡμῖν ἥτ- » τώμεναι τῆς τε Μεδουσείας πηγῆς καὶ τῆς Ἁντείας (4) » Ἀγανίππης, ἣ ἡμεῖς ὑμῖν τῶν Ἡμαθέων πεδίων » μέχει τῶν δυσχειμέρων Παιόνων ὑπεκστησόμε- » θα (5). Καὶ διαιτάτωσαν τὸν ἀγῶνα αἱ Νύμφαι. » Αἰσχρὸν μὲν οὖν ἡμῖν ἀμιλλᾶσθαι· παραχωρεῖν δ' » ἐκείναις αἰσχύστερον ἔδοξεν. Αἱρεθεῖσαι δ' αἱ Νύμ- » φαι κατά τε τῶν πολαμῶν ὁμωμόκεσαν, καὶ » ἐπὶ θάκων ἄρτι γεγενημένων ἐκ λίθων (6) ἱδρύνθη- » σαν. Τότε δὴ δίχα κληρωσαμένη ἡ πρώτη ἀγωνίσασθαι » διομολογησαμένη τοὺς τῶν θεῶν ἄδει πολέμους,

(1) Codex A, *αὐτῆς*. B, *αὐτῆς*.
τυράννου παρακεκίνητο· καὶ τοῦ θυμοῦ οὔκουν φόβος
ἐλάττων. Ἐκκλέπτ οὖν διερεθιζόμενος αἰτίᾳ, τὸ ξίφος
οὗ περιεζώννυτο (2) κουλεοῦ ἀφαρπάζει, καὶ ταύτης τῶν
πλοκάμων δραξάμενος, τὰς χεῖρας κάμπτας ἐπὶ τῶν
νώτων, δεσμὸν ὑφίστασθαι ἐκβιάζεται. Ἡ μὲν Φιλομήλα
τὴν σφαγὴν ἡτοίμαζε, καὶ προσδοκίαν τοῦ ἑαυτῆς θα-
νάτου, τὸ ξίφος ἰδοῦσα, συνείληφεν· ὁ δ' ἀπαξιοῦσαν,
καὶ τὸ τοῦ πατρὸς ὄνομα καλοῦσαν διὰ παντὸς, καὶ
λαλεῖν ἀπομαχομένην, λαβίδι τὴν γλῶσσαν συλλαβὼν
δεινῷ σιδηρῷ ἀφείλετο· μόνη δ' ἡ τῆς γλώττης ἐσχάτη
ῥίζα προσέβλητο, αὐτὴ δὲ πίπτει, κἀπὶ τῆς ἡμαγ-
μένης γῆς τρέμουσα ὑποφιθυρίζει· καὶ ὡς πατρῷαν εἰώθει
καὶ σπαίρειν κολοβωθέντος οὐρὰ ὄφεως, οὕτως ἠσπαιρε,
καὶ τὰ ἴχνη ζητοῦσα τῆς δεσποίνης ἐζήτει. Ἀλλὰ καὶ,
μελὰ τοῦτο δὴ τὸ μῦσος (μόλις ἂν τολμήσαιμι τοῦτο (3)
πιστεῦσαι) λέγεται πολλάκις ὑπ' ἀσελγείας τὸ σῶμα
καθαισχῦναι δὴ τὸ πεπτρωμένον. Καὶ τολμᾷ πρὸς τὴν
Πρόκνην μελὰ τόδε τὸ ἔργον ὑποστρέφειν· ἢ, τὸν σύζυγον
ἰδοῦσα, τὴν ἀδελφὴν ἐρωᾷ· ὁ δὲ πεπλασμένους δί-
δωσι στεναγμοὺς, καὶ θάνατον διέξεισιν ἐκείνης αὐτο-

(1) Vides probe supplevisse, « implebo » *factis* nempe.
(2) Codex A, οὗπερ ἐζώννυτο.
(3) A πύτῳ, æque bene.

σχεδιάζων, καὶ τὰ δάκρυα ἐνεποίει τὴν πίστιν. Ἡ τοίνυν Πρόκνη τὴν ἐσθῆτα τῶν ὤμων ἀφαιρεῖται πολλῷ χρυσῷ λάμπουσαν, καὶ μέλαν ἐνδύεται ἔνδυμα, καὶ κενήλιον συνίστᾳ, καὶ τῇ μάτην πιστευομένῃ καθ' Ἅιδου ὑπάρχειν ψυχῇ ἐναγίσματα δῆτα προσάγει, καὶ τὴν μοῖραν πενθεῖ τῆς οὐχ οὕτω πενθεῖσθαι ὀφειλούσης ἀδελφῆς. Ὁ μὲν οὖν (1) θεὸς τὰ δὶς ἓξ σημεῖα, τοῦ ἐνιαυτοῦ ἑξήκοντος, περιῆλθε· τί δ' ἂν οὖν ἡ Φιλομήλα ποιήσειεν; Εἴργει μὲν ἡ φυλακὴ τὴν φυγήν, πεπυργωμένα δὲ σιδηρῷ λίθῳ τὰ τῶν σταθμῶν ἴσταται τείχη· σῶμα δέ γε (2) βωβὸν, καὶ ὁ τὸ ἔργον μηνύσων ἀπῆν· ἀλλὰ μεγάλη τίς ἐστιν ἡ μηχανὴ τῇ ὀδύνῃ, καὶ τοῖς δυστυχέσι τῶν πραγμάτων μέθοδος παραγίνεται. Λευκὸν ἱστὸν βαρβαρικῇ σήμονι ἀπηώρησε, καὶ πορφυρᾷ γράμματα λευκοῖς ἐνέσιξε νήμασι τοῦ ἄγους τὴν ἔνδειξιν, τὸν δὲ πέπλους λαβόντα ἑνί τινι παραδίδωσι, καὶ νεύμασι δεῖται τοῦτον τῇ δεσποίνῃ κομίσαι. Ὁ δὲ, καὶ τὰ τὴν ἱκεσίαν, τῇ Πρόκνῃ προσήνεγκεν, ἀγνοῶν τί ποτ' ἂν ἐν ἐκείνοις δὴ παραδοίη. Ἡ δὲ δὴ τοῦ δεινοῦ τυράννου σύνευνος, ἀνελίξασα τὴν ὀθόνην, τὴν ἐκείνης τύχην, ἐλεεινὸν ἔπος, ἀνέγνω· καὶ δὴ (θαυμαστὸν δὴ τοῦτ' ἐστὶ δυνηθῆναι) σιγᾷ· τὸ γὰρ ἄλγος τὸ στόμα συνέκλεισε, καὶ ῥήματα μὲν ἀναξιοπαθείας πάνυ τι ζητούσῃ τῇ γλώττῃ ἀπῆν· τοῦ δὲ θρηνεῖν οὐκ ἦγε σχολὴν, ἀλλ' ὁρμᾷ καὶ ῥητὰ καὶ ἄῤῥητα συγχυκήσουσα, καὶ ἐφ' ᾧ τὴν τιμωρίαν καλὰ νοῦν ἀναπλάττειν ἦν πᾶσα.

Καιρὸς μὲν οὖν καθ' ὃν ἱερὰ τελεῖν καὶ τῷ Βάκχῳ εἰώθασιν αἱ Σιθόνιαι ἀναφέρειν χόρους, καὶ νὺξ συνίστωρ

(1) B, δὴ, et ad marg. οὖν χάφ. A sine θεός.

(2) B, sine γε. Mox A, μηνύσων. Distinxit post *mutum*, optime.

ταῖς τελείαις· καὶ νυκτὸς ἡ Ροδόπη περιηχεῖται ὀξυτάτῳ χαλκοῦ ῥοίζῳ. Νυκτὸς δ' ἔξεισι καὶ ἡ βασιλὶς τῆς οἰκίας καὶ τῷ τοῦ θεοῦ ἔθει ἑαυτὴν περισέλλει, καὶ μανιώδη ὅπλα λαμβάνει καὶ κληματίδι μὲν καλύπτει τὴν κεφαλήν, τῷ δὲ λαιῷ πλευρῷ νεβρίδα ἐξάπτεται, καὶ δόρυ κοῦφον τῷ ὤμῳ ἐπίκειται. Οἰστρηθεῖσα δὲ, διὰ τῶν δρυμῶν, φοβερὸν τῷ τῶν περσπόλων ὁμίλῳ, καὶ ταῖς τῆς ὀδύνης μανίαις ἐνθουσιῶσα, τὰς σὰς βάκχας, ὦ Βάκχε, μιμεῖται. Ὅμως δ' οὖν (1) ἦκε πρὸς τοὺς ἀβάτους σταθμοὺς, καὶ βρυχησαμένη «Εὐοῖ, Βάκχε!» ἀναβοᾷ, τάς τε πύλας συντρίβει, καὶ τὴν ἀδελφὴν ἁναρπάζει, καὶ ἁναρπασθεῖσαν τὰ τοῦ Βάκχου ἐπίσημα ἀμφιέννυσι, καὶ τὴν ὄψιν ἰσσοῦ κλάδοις καλύπτει, καὶ, καταπεπληγμένην ἄγουσα, τῶν οἰκείων εἴσω τοίχων ἄγει. Ἡ Φιλομήλα τοίνυν, ὡς ἤσθετο τῆς παρανόμου οἰκίας ἁψαμένη, ἔφριξεν ἡ ταλαίπωρος, καὶ ὠχρίασεν ἅπαν τὸ πρόσωπον. Τυχοῦσα δ' ἡ Πρόκνη τόπου, τὰ τῶν μυστηρίων περιαιρεῖ σύμβολα, καὶ τῆς δυστήνου ἀδελφῆς αἰσχυνόμενον ἀποκαλύπτει τὸ πρόσωπον, καὶ περιπλοκὰς αἰτεῖται. Ἀλλὰ γὰρ ἤκιστα καλὰ πρόσωπον αὕτη ταύτη (2) τοὺς ὀφθαλμοὺς αἴρειν ἀνέχεται, μοιχαλὶς τῆς ἀδελφῆς ὑπάρχειν ἑαυτῇ γε δοκοῦσα. Κλινάσῃ δὲ τὴν ὄψιν εἰς γῆν καὶ ὀμνύναι θελούσῃ καὶ μαρτύρεσθαι τοὺς θεοὺς ἢ μὴν βίᾳ τὴν αἰσχύνην αὐτῇ ταύτην ἐπενεχθῆναι ἀντὶ φωνῆς ἡ χεὶρ γέγονεν. Ἡ δὲ δὴ Πρόκνη πίμπρασθαί τε, καὶ τὴν ἑαυτῆς ὀργὴν οὐκέτι χωρεῖ. Τόν γε μὴν τῆς ἀδελφῆς ἀνασπάσασα

(1) Pro *tandem* legit vel legisse sibi visus est *tamen*, quæ adverbia facile permutantur. Rescribas, πλὴν ἦκε.—Infra B, ἁρπάζει καὶ ἁρπασθεῖσαν.

(2) A sine πάντη. B modo sine τῇ.

θρῆνον, « Οὐκουν θρήνοις τοῦτ' ἐστὶν ἀπευστέον (1) » εἶπεν, « ἀλλὰ σιδήρῳ· ἀλλ' εἴ τι πολὺ ἔχεις ὃ καὶ σίδηρον » ὑπερβάλλειν ἂν δύναιτο. Εἰς ἅπαν γὰρ ἀῤῥητον ἐμαυτὴν » ἐγὼ πυτρέπισα, ὦ ἀδελφή. Ἡ γὰρ ἐγὼ δαλοῖς τοὺς
615 » βασιλικοὺς οἴκους καταφλέξω, καὶ τὸν ἀῤῥητοποιὸν » Τηρέα εἰς μέσας τὰς φλόγας ἐμβαλῶ, ἢ τὴν γλῶσ- » σαν ἢ τοὺς ὀφθαλμοὺς καὶ ἅ σοι μέλη τὴν αἰδῶ ἀφεί- » λετο ἀφαρπάσω (2) σιδήρῳ, ἢ μυρίαις πληγαῖς τὴν » ἀθέμιτον ἐξελάσω ψυχήν. Μέγα μέν ἐστιν εἰς ὅπερ » παρασκευάζομαι· τί δ' ἂν γένοιτο, ἀγνοῶ ἔτι. » Τοι-
620 αῦτα τῆς Πρόκνης διεξιούσης, ὁ παῖς Ἴτυς ἀφικνεῖτο πρὸς τὴν μητέρα· ἡ δὲ τί ποτ' ἂν δράσειεν ἐξ ἐκείνου διδάσκεται· ὀφθαλμοῖς δ' ἀγρίοις ἰδοῦσα, « Ἆ! πόσον » ὅμοιος εἶ τῷ πατρί! » ἔφη. Καὶ, πλέον οὐδὲν εἰποῦσα, πρὸς οἰκτρὸν παιδοφονίαν ἐπείγεται, καὶ ἐνδομυχούσῃ (3) ὀργῇ κυμαίνεται. Ἐπεὶ δὲ δὴ καὶ ὁ παῖς προσῆλθε, καὶ
625 τὴν μητέρα δὴ χαίρειν εἶπε, καὶ νεωτέραις χερσὶ τὸν ἐκείνης περιέλαβε τράχηλον (4), καὶ φιλήματα ταῖς παιδικαῖς διὰ λόγων φιλοφροσύναις συνῆψεν, ἐκάμφθη μὲν ἡ μήτηρ, καὶ ὁ θυμὸς ἐπικλασθεὶς ἔσβη, καὶ ἄκοντες οἱ ὀφθαλμοὶ δάκρυσιν ἠναγκασμένοις ἐβρέχοντο. Ἀλλ' εὐθὺς αἰσθομένη τὸν ἐκείνου θάνατον (5) ἐκ τῆς σφοδρᾶς
630 ὑπορῥέοντα συμπαθείας, ἐκ τούτου πρὸς τὴν ὄψιν αὖθις ἐπεστράφη τῆς ἀδελφῆς, καὶ παραλλὰξ ἀμφω βλέ-

(1) Planudes legit *hoc*, non *hic*.

(2) B, ἀρπάσας. A, ἀφαρπάσας. Mutavi ad latinorum ductum. Mox A, ἐξελάσαι. Supra A, B, δαλοῖς: contrario mendo ad versum 720, μαλῶ.

(3) In cod. B est ἐνδομωχοῦσα.

(4) B, τεάχηλον, notata synchysi pag. 95, 150.

(5) Habuit in codice suo *mortem*, malam lectionem. Repone: αἰσθομένη τὴν μητέρα ἐκ σφοδρᾶς κεκινῆσθαι συμπ.

πουσα, « Τί δήποτε » φησὶν « ὁ μὲν κολακείας ὑπο-
» κινεῖ, ἡ δὲ τὴν γλῶσσαν συληθεῖσα σιγᾷ; Ἣν οὗτος
» μητέρα καλεῖ, ἵνα τι μὴ κακείνη ἀδελφὴν ὀνομάζει;
» Ὅρα, Πανδίονος θύγατερ, τίνι ἐγαμήθης ἀνδρί· μὴ
» καταισχύνῃς τὸ γένος· ἀθέμιτόν ἐστιν ἡ φιλανθρωπία
» πρὸς σύνευνον τὸν Τηρέα. » Καὶ δὴ τάχος εἵλκυσε
τὸν Ἴτυν, ὡς Γαγγητικὴ τίγρις νεβρὸν θηλάζοντα πρὸς
κατάσκιον λόχμην· καὶ μέρος ἀνακεχωρηκὸς τῶν ὑψη-
λῶν οἰκημάτων καταλαβοῦσα, τείνοντά τε τὰς χεῖρας
καὶ τὴν ἑαυτοῦ μοῖραν ὁρῶντα, καὶ « Μῆτερ! μῆτερ! »
βοῶντα, καὶ περιλαβεῖν ταύτην ζητοῦντα, πλήττει ξί-
φει οὗ τῇ πλευρᾷ τὸ στῆθος προσίσχεται· καὶ οὐδὲ
τὴν ὄψιν ἀπέστρεψεν. Ἤρκει μὲν οὖν αὐτῷ καὶ πληγὴ
μία πρὸς θάνατον, ἀλλ' ἡ Φιλομήλα σιδήρῳ τὸν αὐ-
χένα ἀπέτεμε, καὶ τὰ μέλη ἔτι τε ζῶντα, καί τι πα-
ρακατέχοντα τῆς ψυχῆς, διασπαράττουσιν· ὧν τὰ
μὲν ἐν κοίλοις χαλκώμασι σκαίρει (1), τὰ δ' ἐν ὀβε-
λοῖς κνίσσαν ἀνίησι (2). Λύθρῳ γε μὴν ὁ θάλαμος κα-
ταρρεῖται (3). Ταύταις ταῖς τραπέζαις ἡ γυνὴ τὸν Τηρέα
ὑποδέχεται ἀγνοοῦντα, καὶ, πατρίου ἔθους τοῦθ' ἱερὸν
εἶναι ψευσαμένη, πρὸς ὃ μόνον τὸν ἄνδρα θεμιτὸν
εἶναι εἰσελθεῖν, τούς τε προσπόλους καὶ δούλους με-
τέστησεν. Ὁ δὲ δὴ Τηρεὺς, ὑψηλὸς ἐπὶ θρόνου τοῦ παπ-
πῴου καθίσας, ἐσθίει, κἀπὶ τὴν ἰδίαν γαστέρα τὰ οἰκεῖα
σπλάγχνα συμφορεῖ· καὶ τοσήδε τῇ ψυχῇ προσῆν
ἄγνοια ὡς καὶ « Τὸν Ἴτυν δεῦρ' ἀγάγετε » λέγειν (4).

(1) Leg. in cod. A, καὶ σκαίρει.

(2) B, κνίσσης. Sed latinum *stridet* aliud est, nempe ῥοῖζον ἀνίησι, ῥοιζεῖ, κρίζει.

(3) B, καταρρεῖ. Uterque autem codex ὁ θάνατος, quod mutavi.

(4) B, ἔφη, et ad marg. γράφ. λέγειν. Ceterum de ἔφη non erit dubitandum, si cui id placuerit magis. Nec syntaxis post ὡς vel

Ἡ μέντοι Πρόκνη τὰς ἀπηνεῖς αὐτῆς ἡδονὰς οὐκέτι κατέχειν οἵα τε (1) ἦν, καὶ δὴ, τοῦ φόνου ἄγγελος σπεύδουσα καταστῆναι, « Ἐντὸς ἔχεις ὃν ζητεῖς » εἶπεν. Ὁ δὲ περιαθρεῖ, καὶ ποῦ ἂν εἴη ζητεῖ· ζητοῦντι δὲ καὶ αὖθις καλοῦντι ἡ Φιλομήλα, οἷαπερ ἦν τῷ μανιώδει φόνῳ λελυμένη τὴν κόμην, ἐπεπήδησε, καὶ τὴν Ἴτυος κεφαλὴν λελυθρωμένην τῷ τοῦ πατρὸς ἐπέρριψε προσώπῳ, καὶ κατ' οὐδένα χρόνον μᾶλλον ἠθέλησεν, ἢ κατ' ἐκεῖνον, λαλεῖν δύνασθαι, καὶ τὴν ἡδονὴν λόγοις δικαίοις διαμαρτύρεσθαι. Ὁ δὲ δὴ Θρᾷξ κραυγῇ μεγάλῃ τὴν τράπεζαν ἀνατρέπει, καὶ τὰς δρακοντοκόμους ἀδελφὰς (2) ἐκ τοῦ Στυγίου διανίστησι ῥύακος, καὶ εἰ μόνον (3) ἐδύνατο, τὸ στέρνον ἀνοίξας, τὴν δεινὴν ἐκεῖθεν τροφὴν ἐξῶσαι καὶ τὰ ἡμίβρωτα ἔγκατα σπεύδει. Θρηνεῖ δ' οὖν, καὶ τάφον οἰκτρὸν ἑαυτὸν τοῦ παιδὸς ὀνομάζει. Τότε δὴ γυμνῷ ξίφει τὰς Πανδίονος θυγατέρας διώκει. Τὰ δέ γε τῶν Κεκροπίδων σώματα πτεροῖς ἂν εἶπες μετεωρίζεσθαι, καὶ ἐμετεωρίζοντο δῆτα πτεροῖς· ὧν ἡ μὲν τὰς λόχμας ζητεῖ· ἡ δ' ὑποδύεται τὴν στέγην, καὶ οὐδέπω τοῦ στέρνου τὰ τοῦ φόνου ἀπέστη (4) σύμβολα, αἵματι δὲ κατακέχρωσται τὰ πτερά. Ὁ δὲ τῇ τε οἰκείᾳ ὀδύνῃ καὶ τῇ τῆς τιμωρίας (5) ἐφέσει σπεύδων, εἰς

ὥστε omnino requirit infinitivum tempus. Jam de hoc monitum fuit ad Eunap. p. 321. Demosthenes in Androt. t. II, p. 281, Tauchn. ὥστε γέγραφε : p. 294, ὥστ' ἐπίλμα. Æschines de Legat. pag. 95, ὥστε γράφει. Demosth. in Timocr. t. III. pag. 132, ὥστε ἐν βρόχῳ τὸν τράχηλον ἔχων νομοθετεῖ.

(1) Codd. οἷά τε : cf. pag. 177.

(2) In B, schol. ἤγουν, Ἐριννύας.

(3) Latinum *modo*, alteri *modo* oppositum, non cepit interpres. Vertere debuit, καὶ ὁτὲ μὲν, εἰ δύναιτο, — ὁτὲ δὲ θρηνεῖ.

(4) Fere malim ἄπεστι. Attamen vertit quod habuit, *excessere*.

(5) Codd. μωρίας. Hac varietate egregie firmatur emendatio

ὄρνιν καὶ αὐτὸς μελαβάλλεται, ὥσπερ ἐπὶ τῆς κορυφῆς λόφος ἀνίσταται, εἰς βραχὺ δὲ τὸ ῥάμφος, ἀντὶ μακροῦ ξίφους, στρογγύλεται· καλεῖται δ' ἔποψ· καὶ ἡ κεφαλὴ δὲ τοῦ ὄρνιθος ὡπλίσθαι δοκεῖ. Τοῦτο τὸ ἄλγος τὸν Πανδίονα, τοῦ ὤρους καὶ τὸν τοῦ μακροῦ χήρωσε εἰς ἔσχατον καιρὸν ἐπισῆναι, τοὺς τὰ Ταφίεια παρέπεμψεν εἴδωλα.

Τὰ δέ γε τῆς χώρας σκῆπτρα καὶ τὴν τῶν στρατευμάτων ἡγεμονίαν ὁ Ἐρεχθεὺς ἀναδέχεται, ἄδηλον πότερον δικαίῳ λόγῳ ἢ ἰσχυρῶς ὅπλοις κρείττων γενόμενος. Τέσσαρές γε μὴν οὗτος νεανίας καὶ τοσαύτας τοῦ θήλεος ἐγέννησε μέρους. Ἀμφοῖν δέ γε τοῖν μέροιν ἴσον ὑπῆρχε τὸ κάλλος· ἐξ ὧν μιᾷ, σοὶ, Πέρκες, συζύγῳ Αἰολίδης Κέφαλος εὐδαίμων ἐγένετο. Τὸν δέ γε Βορρᾶν Τηρεύς τε καὶ οἱ Θρᾷκες (1) ἐλύπουν κακοὶ φανέντες, καὶ ἐπὶ πλεῖστον ὁ θεὸς τῆς ἐρωμένης ἐστέρητο (2) Ὠρειθυίας. Ἱκετεύων τοίνυν δεήσεσι μᾶλλον ἢ δυνάμεσιν ἤθελε χρῆσθαι· ἐπεὶ δὲ ταῖς κολακείαις οὐδὲν ἐτελεῖτο, φυσικὸς τῇ ὀργῇ γενόμενος, ἥτις εἰωθυῖά τέ ἐστιν αὐτῷ καὶ σφόδρα τῷ ἀνέμῳ (3) ᾠκείωται, « Καὶ ἀξίως » εἶπε. « Τί γὰρ τἀμὰ καλέλιπον ὅπλα, ἀπολομίαν τε καὶ » ῥώμην, καὶ ὀργὴν, καὶ θυμοὺς ἀπειλοῦντας, δεήσεις » δ' ἐκίνησα ὧν ἀπάδουσά μοί ἐστιν ἡ χρῆσις; Ἐμοὶ » γὰρ στρόφυες τὸ σθένος ἐστὶν, ὥστε τὰς σκυθρωπὰς » ἀπελαύνειν νεφέλας, καὶ μαστίζειν τὴν θάλασσαν, » καὶ αὐτόπρεμνα δένδρα ἀναιρέπειν, χιόνας τε πυκ-

quam ad Eunap. pag. 592, in loco Theodori Iconiensis, proposui.

(1) B, οἰθράκες. A, οἴθρακες. Notanda permutatio literarum δ et θ.

(2) A, ἐστέρητο.

(3) Junxit interpres *domestica vento*, nec male.

» τειν, καὶ τὴν γῆν τύπτειν χαλάζῃ. Ὁ δ' αὐτὸς ἐγὼ,
» τοῦ οὐρανοῦ ἀναπεπταμένου τυχὼν (καὶ γὰρ οὗτός
» μοι πεδίον ἐστί), τοῖς ἀδελφοῖς ἀνέμοις τοσαύτῃ
» παλαίω βίᾳ, ὡς μέσον τὸν αἰθέρα ταῖς ἡμετέραις
» ἠχεῖν ἐπιδρομαῖς, καὶ πῦρ βαλλόμενον τῶν κοίλων
» νεφελῶν ἀποθρώσκειν. Ὁ δ' αὐτὸς ἐγὼ τὰς κατω-
» τάτας τῆς γῆς σήραγγας (1) ὑποδὺς, καὶ αὐστηρῶς
» τὰ ἐμαυτοῦ νῶτα τοῖς κατώρυξιν ὑπονόμοις ὑποθεὶς,
» τρόμῳ τάς τε ψυχὰς (2) καὶ πάντα τὸν κόσμον συγ-
» κλονῶ. Τούτοις τοῖς προτερήμασι ὤφειλον (3) ζητῆσαι
» τὸν θάλαμον, καὶ κηδεστής (4) μοι ὁ Ἐρεχθεὺς γε-
» νέσθαι ἐχρῆν, οὐχ ἱκετευθεὶς, ἀλλὰ βίᾳ ποιηθείς (5). »
Τοιαῦθ' ὁ Βορρᾶς, ἢ οὔκουν ὑποδεέστερα τούτων εἰπὼν,
τὰς πτέρυγας ἐξετίναξεν, ὧν τῇ ῥιπῇ πᾶσα ἡ γῆ
κατεπνεύσθη, καὶ τὸ τῆς θαλάττης ἔφριξε πλάτος·
καὶ, κεκονιμένην τὴν ἐσθῆτα διὰ τῶν ἀκρωρειῶν ἕλκων,
τὴν κόνιν συστρέφει· καὶ φόβῳ τρέμουσαν τὴν Ὠρεί-
θυιαν, ζόφῳ κεκαλυμμένος, ὁ ἐραστὴς ξανθαῖς ἐναγ-
καλίζεται πτέρυξιν. Ἱπταμένῳ δὲ τὸ πῦρ ῥιπιζόμενον
ῥωμαλεώτερον ἀνήφθη. Καὶ οὐ πρότερον τοῦ ἀέριου
δρόμου τὰς ἡνίας ἀνέκαμψεν, ἢ τοὺς τῶν Σιθόνων (6)
δήμους καὶ πόλεις ὁ ἅρπαξ κατέλαβεν. Ἐκεῖ δ' ἡ

(1) A, στήραγγας. B, σύραγγας. Cf. pag. 210.

(2) Ut apte reddatur latinum *manes*, scribere, hic saltem, debuit, τάς τε ἐν ἍΙδου ψυχάς: ne quis cogitet esse mortalium animas quæ sunt mortuorum.

(3) A, ὤφελον.

(4) Schol. in B, καὶ ὁ γαμβρὸς καὶ ὁ πενθερὸς λέγεται.

(5) A, sine βίᾳ. In B charta hic loci lacera est; sed non videtur τὸ βίᾳ potuisse cum τῷ ποιηθεὶς lacuna tantula capi. Ovidius, *ui faciendus*. Forte Planudes scripsit, πτοιηθείς.

(6) Ovidius, *Ciconum*. Interpres habuit suo in exemplo, *Sithonum*, idque est optimum: Notæ e Virgilio *Sithoniæ nives*.

Ἀκλαία καὶ σύνευνος τοῦ ψυχροῦ γέγονε τυφλοῦ, καὶ μήτηρ, διδύμους ἀπολεκοῦσα παῖδας· οἱ τἄλλα μὲν τῆς μητρὸς, πτέρυγας δὲ τοῦ πατρὸς ἔσχον. Πλὴν οὐχ ἅμα τοῖς σώμασι καὶ ταύτας μνημονεύουσι φύσας. Ἡνίκα γὰρ ὑπήνη (1) πυρράκιζουσα ἀπὴν ὑποβεβλημένη τῇ κόμῃ, ἄπτεροι ὅ τε παῖς Κάλαϊς καὶ ὁ Ζήτης (2) ἦσαν· αὐτίκα δ' ὁμοῦ τι (3) καὶ πτέρυγες ἤρξαντο τῷ τῶν ὀρνίθων ἔθει τὰς πτευρὰς ἐκπλέφας περιζωννύναι, καὶ αἱ γνάθοι ὁμοῦ ξανθοῦσθαι. Ἐπεὶ δ' ὑπεῖξεν ἡ παιδικὴ ἡλικία τῷ μείρακι, τὸ χρυσῷ μαλλῷ σελαγοῦν δέρας σὺν τοῖς Μινύαις (4) δι' ἀγνώστου θαλάσσης νηὶ πρωτίστῃ ἐζήτησαν.

(1) Codd. ἡ πήπη. Sic ad 575, B, δυσηχέσι, permutatis de more literis η et υ.

(2) Codd. ζῆπος.

(3) A, π. Sed tunc καὶ sequens abundat.

(4) Schol. in B, Ἀργοναύταις δηλονότι.

Deficit citius typis materia, utque expleatur charta, quæ pura omnino non est relinquenda, depromam e scriniis aliquid supplementi.

In codice Regio 1389, p. 363, 2, post Theophrasti Characteres hæ leguntur observationes, auctore nescio quo, quasque nullibi editas esse memini:

Ἀλλ' ἔστιν, ὦ Θεόφραστε, χαλεπὸν καθαρεῦσαι τῶν πονηρῶν ἑαυτὸν ἐν τῷ βίῳ καὶ τῆς ἐν πονηροῖς κακίας ὅλως ἀφεστηκότας. Εἰ μὴ γὰρ πάντα δοκοίη ὡς εἶναι κακὸς, πῶς χρὴ πλείστου τοῦ χρεὼ τῶν ἀρίστων ἐξέσεσθαι. Ἢ πόνον σοι πιθομένους ἡμᾶς καὶ πᾶς πάντων ὄψις φυλάττεσθαι δεῖ, ἢ, κοινωνοῦντας καὶ λόγων καὶ πράξεων, τὴν ἑκάστου γνώμην μιμεῖσθαι. Ἀλλ' οὕτω μὲν κακίας ἑσμὸς καὶ ἀρετῆς ἀλλοιώσεως ἔπλαι, ἐκείνως δὲ ἡ μισανθρωπία καὶ τὸ τοῦ Τίμωνος ἔγκλημα. Ταύτῃ τοι καὶ χαλεπὴν ἑλέσθαι τὸ κρεῖττον, καὶ δεινὸς ἑκάστῳ ὄλισθος.

Codex exhibet ἐφεστηκότας, et εἰ πόνον, quibus servatis lectorem impediri nolui.

Dobræus Cantabrigiensis, vir græce doctissimus, mecum olim benigne communicavit inscriptionem sequentem, quæ Megaræ in muro ecclesiæ τῆς Παναγίας conspicitur, fuitque ab Elisha Tuppero, juvene ornatissimo, descripta diligenter:

ΤΟΝ ΔΙΣ ΑΥΤΟΚΡΑΤΟΡΑ ΚΑΙΣΑΡΑ ΤΡΑΙΑΝΟΝ ΑΔΡΙΑΝΟΝ ΣΕΒΑΣΤΟΝ ΟΛΥΜΠΙΟΝ ΠΥΘΙΟΝ ΠΑΝΕΛΛΗΝΙΟΝ ΤΟΝ ΕΑΥΤΩΝ ΚΤΙΣΤΗΝ ΚΑΙ

ΝΟΜΟΘΕΤΗΝ ΚΑΙ ΤΡΟΦΕΑ ΑΔΡΙΑΝΙΔΑΙ ΥΠΟ ΤΗΝ ΕΠΙΜΕΛΕΙΑΝ ΙΟΥΛΙΟΥ ΚΑΝΔΙΤΟΥ ΤΟΥ ΚΡΑΤΙΣΤΟΥ ΑΝΘΥΠΑΤΟΥ ΣΤΡΑΤΗΓΟΥΝΤΟΣ ΑΙΣΧΡΩΝΟΣ ΤΟΥ ΔΑΜΟΚΡΑΤΟΥΣ.

Hujus inscriptionis lacera fragmenta exhibuit Muratorius pag. 263, 1. Pro Αἴσχρωνος forte scribendum Αἰσχίωνος, prout legitur hujus strategi nomen in alio Megarensi lapide, eadem clausulæ formula signato, apud Spon. Itin. t. II, pag. 402: forte etiam Αἰσχείωνος. Sed id est quam maxime notabile, quod Megarenses, ut Adriano gratificarentur, se Adrianidas vocari tunc voluerint.

En aliam, sed minoris eam momenti, quam eidem docto viro, ab eodem descriptam juvene, debeo. Visitur autem non procul Athenis, in via quæ Menidium ducit:

ΘΕΙΟΝ ΑΛΕΞΑΝΔΡΟΝ ΤΟΝ ΟΜΩΝΥΜΟΝ ΑΛΣΕΙ ΜΕΣΣΩΙ Ο ΓΝΩΡΙΜΟΣ Μ ΕΣΤΗΣΕ ΤΟΝ ΔΙΔΑΣΚΑΛΟΝ.

Vix monendus est lector græce eruditus heroico versui trimetrum esse subjectum. Ceterum, quum splendida et egregia volumina, quibus nuper Græciæ antiquitates illustravere Dodwellus, Walpolius, alii, nunc mihi non sint ad manus, nescio an forte jam illa monumenta occupaverint; sed solide novi lectorum plerisque inaudita adhuc esse et invisa.

ARGUMENTUM

LIBRI VII

EX CANTERI NOVIS LECTIONIBUS.

Jason, victis *Medeæ* auxilio tauris ignem vo[illegible]ibus, seminatis serpentis *dentibus*, e quibus *homines armati* prod[illegible]t, et dracone sopito, *vellus aureum* retulit. Medea, Jasonem in Græciam comitata, *Æsoni* medicamentorum ope juventutem reddidit, eamdemque *Peliæ* pollicita, præmisso *arietis* in *agnum* reformati specimine, dolo eum occidit. Inde per varia loca *multis* insignia *transformationibus* delata, post occisos liberos *Ægeo* nupsit sub adventum *Thesei*, quem pene veneno interfecisset. *Ægei* gaudia de filio recepto turbat *Minos*, bellum contra eum paraus, collectis undique copiis, etiam e Paro, ubi *Arne* in *monedulam* fuerat conversa, *Æacum*que in partes suas trahere cupiens. At ille ab Ægeo stetit, et ad eum *Myrmidones* suos, post gravem pestem e *formicis* ortos, auxilio misit, duce *Cephalo* Atheniensi, qui Phoco, Æaci filio, narrat quomodo, ab *Aurora* et raptus et *alia forma* indutus, *Procrin* uxorem in adulterium pellexerit, ab eaque ex fuga reversa *canem* et *jaculum* acceperit, quorum ille cum *vulpe* Thebana in *saxum* conversus sit, hoc autem a se imprudente missum uxorem interfecerit.

ὀβιδίου
μεταμορφώσεις.

βιβλίον ἕβδομον.

Ἦδη μὲν οὖν οἱ Μινύαι τῇ Παγασαίᾳ νηῒ τὴν θάλασσαν ἔσχιζον· ὁ δὲ Φινεὺς αὐτοῖς ὤφθη ὑπὸ διηνεκεῖ σκότῳ γῆρας ἐνδεὲς ἕλκων, οἱ δὲ γεννηθέντες ἐν τῇ Βοῤῥᾷ νεανίαι τὰς παρθενείους ὄρνεις (1) ἐκ τοῦ στόματος τοῦ δυστήνου γέροντος ἐφυγάδευσαν. Καὶ, πολλὰ δὴ παθόντες ὑπὸ τῷ περιφανεῖ Ἰάσονι, τέλος, τὰ τοῦ τεναγώδους (2) Φάσιδος κατέλαβον ῥεῖθρα. Προσελθόντων δὲ δὴ τῷ βασιλεῖ καὶ τὸ Φρίξειον δέρας αἰτούντων, καὶ χαλεπῆς ἀποφάσεως μεγάλων ἄθλων τοῖς Μινύαις δοθείσης, ἰσχυρὸν μεταξὺ πῦρ ἡ Αἰητιὰς (3) δέχεται, καὶ, ἐπὶ πλεῖστον τούτῳ παλαίσασα, ἐπεὶ (4) τῷ λόγῳ τῆς λύσσης ὑπερέχειν οὐχ οἵα τε (5) ἦν, « Τηνάλλως » εἶπεν, « ὦ Μήδεια, ἀπομάχῃ. Ἀγνοῶ γὰρ » τίς δῆτα θεὸς ἀνθίσταται· καὶ θαυμαστὸν δή τι » τοῦτό ἐστιν, ἢ ὅμοιόν τι τῷ ὄντι τούτῳ ὅπερ » ἐρᾷν (6) λέγεται. Καὶ γὰρ τί δήποτέ μοι αἱ τοῦ

(1) Schol. in B, ἤγουν τὰς Ἁρπυίας.

(2) B, τενάγους.

(3) Codices consentiunt in αἰτιᾶς.

(4) A, ἐπὶ, synchysi jam notata pag. 94, 170. Reperitur et in Isidori Pelus. IV, Ep. 205, pag. 535 B.

(5) B, οἷά τε, mendo quoque jam notato, nec semel. A, οἷά τις. Sic ad V. 77, A pro ητε exhibet ἥτις: quod jam observatum est pag. 78, 109.

(6) A, ὅπερ ἄν, deficientibus literis quæ fuerant iterandæ. De mendis id genus vide monita supra pag. 214. Parili vitio ad

» παίρεις ἐντολαὶ πάνυ τι δοκοῦσι σκληραί; καί εἰσι
» γὰρ πάνυ σκληραί. Τί πολὺ οὖν νῦν εἶδον ὡς μὴ ἀπό-
» λλῃμι δέδοικα; Τίς ἡ τοσήδε τῆς ἀγωνίας αἰτία;
» Ἀπόσεισαι τοῦ παρθενικοῦ σήθους τὴν συλληφθεῖσαν
» φλόγα, κακόδαιμον, εἰ δύνῃ (1)· κἂν ἠδυνήθην, ὑγιε-
» στέρα γ' ἂν ἦν (2). Ἀλλ' ἕλκει με ἄκουσαν νεωτέρα
» τις δύναμις, καὶ ἄλλο μὲν ὁ ἔρως, ἄλλο δ' ὁ νοῦς
» ὑποτίθεται. Ὁρῶ μὲν γὰρ τὰ χρειττονα καὶ ἐν
» ἐπαίνῳ ταῦτα ποιοῦμαι, ἕπομαι δὲ τοῖς χείροσι.
» Τοῦ χάριν, ὦ βασιλικὴ κόρη, ἐπὶ τῷ ξένῳ ἐκκαίῃ,
» καὶ θαλάμους ἀλλοδαπῆς χώρας ἀναπεμπάζεις;
» Καὶ γὰρ καὶ ἥδε σοι ἡ γῆ οὕπερ ἐρασθείης δοῦναι (3) σοι
» δύναται. Πότερον (4) δ' ἂν ζήσαι ἐκεῖνος ἢ ἀποθιάνῃ
» παρὰ τοῖς θεοῖς κεῖται· ζήσαι δ' ὅμως! ὑπὲρ τούτου
» γὰρ δεῖσθαι καὶ ἐκλὸς ἔρωτος ἐξεῖη. Τί γὰρ κακὸν
» Ἰάσων ἐτόλμησεν; Τίνος, ὅτι μὴ τοῦ ἀπηνεστάτου,
» ἢ τοῦ Ἰάσονος ἡλικία οὐχ ἁπλῆ, καὶ τὸ γένος
» δὴ καὶ ἡ ἀρετή; Τίνα δ' οὐκ ἂν (ἵνα δὴ καὶ τἄλλα
» ἀπείη) θέλξαι τῇ μορφῇ δύναιτο; τῷ ὄντι γὰρ
» τὴν ἐμὴν καρδίαν ἔθελξε. Καὶ, εἰ μή τινα βοήθειαν
» εἰσενέγκαιμι, τῷ τῶν ταύρων κλαφυσηθήσεται
» σιόμαλι, καὶ συνδραμεῖται τοῖς τοῦ ἰδίου λητου

268, B, πάχτη νυκλὸς pro πάχτην νυκλὸς.

(1) De hac forma vide not. pag. 51.

(2) Conferri meretur virgunculæ ante nuptias mulieris oratio apud Aristænetum I, 6: καίτοι πρὸς τοῦ ἔρωτος φλεγομένη δεινῶς, ἐσπούδαζε σωφρονεῖν, καθ' ὅσον ἠδυνάμην· σμικρὰ δὲ οἷα ἦν, καὶ δίχα μοι χίτωνι τὰ νοήματα.....

(3) A, δῦναι. B, ἀποβιῶναι.

(4) B, πρότερον. Dion Chrys. Or. LXI, extr. σὺ δὲ πότερον ἀκούειν θέλεις ἂν ὡς χίτωνι πάντα ἢ ὅπως καλῶς εἶχε γενέσθαι. Lege πρότερον, ut recte scriptum vidi in cod. Regio 2958, et poteris ex eodem θέλοις tibi quoque sumere.

» ἐχθεῖς, τοῖς ἐκ γῆς ἀνασχοῦσιν, ἢ τῷ ἀπλήσίῳ
» δράκοντι οἰκεῖα λεία δοθήσεται. Τοῦτο δ' ἔγωγε
» εἰ ἀνασχοίμην, τηνικαῦτα ἐμαυτὴν ἐκ τίγειδος
» γεγενῆσθαι, τηνικαῦτα καὶ σίδηρον καὶ σκοπέλους (1)
» ἐν τῇ ἐμαυτῆς φέρειν καρδίᾳ ὁμολογήσω. Ὅτου
» γὰρ χάειν μὴ βλέπω αὐτὸν ἀπολλύμενον, καὶ
» τοὺς ὀφθαλμοὺς ὁρῶσα μολύνω; Καθότι μὴ τοὺς
» ταύρους γε ἐπ' αὐτῷ καίαγηλεύω καὶ τοὺς θη-
» ειώδεις γίγαντας καὶ τὸν ἄγρυπνον δράκοντα; Ἀλλ'
» οἱ θεοὶ τὰ χρείττω βουλεύσαιντο! Καίτοι ταῦτα
» οὐ με ἐκέλευεν, ἀλλὰ ποιεῖν χρή. Ἆρα γὰρ σφδῶ
» τὴν τοῦ παιδὸς ἐγὼ βασιλείαν, καὶ τῇ ἐμῇ συμ-
» μαχίᾳ ἔπηλυς οὐκ οἶδ' ὅστις σωθήσεται, ἵνα δὴ,
» σῶς δ' ἐμοῦ, καὶ χωρὶς ἐμοῦ τὰ ἰσχία τοῖς πνεύ-
» μασι δοίη, καὶ ἄλλης ἀνὴρ γένοιτο, ἡ Μήδεια δ'
» ἐγὼ τῇ τιμωρίᾳ καίαλειφθείην; Εἰ τοῦτό γε
» ποιῆσαι δύναμαι, καὶ ἄλλην ἡμῶν σφελέσθαι, ἐρ-
» ρέτω ὡς ἀγνώμων. Ἀλλ' οὐχὶ τοῦτ' ἐν αὐτῷ σφέ-
» σωπον, οὐχ αὕτη εὐγένεια τῇ ψυχῇ σφόσεστιν, οὐδὲ
» τῇ μορφῇ χάεις, ὥστε με (2) δόλον φοβεῖσθαι καὶ

(1) Gierigius de hac hyperbola videndus. Addam Homerum, Il. Ω, 205, σιδήρειον νύ τοι ἦτορ: Æschinem Ctes. p. 216, ἀ πῶς ποθ', ὑμεῖς, ὦ σιδήρεοι, ἐκαρτερεῖτε ἀκροώμενοι; Ovidium M. XIV, 721, « age, *ferrea*, gaude. » Cf. Annotator p. 380, ad hæc Eunapii, ἀπαθῆ πρὸ καὶ σιδήρεον: Giacom. et Blomf. ad Æsch. Prom. 242=250; Burton. ad Septem-Thebanam 52; Burm. et Bosscham ad Jo. Secundi Eleg. II, 5, 27, ubi poeta nulli Recentiorum secundus: « En mihi jam silices, en cir- » cum pectora ferrum Nascitur. »

(2) A, ἀγνώμων ὥστε με, mediis omissis. Non hic fuit, ut toties supra, lacunæ causa τὸ ὁμοιοτέλευτον, sed casus nescio quis, quod et antiquariis accidebat sæpius, nec nobis rarius inter describendum. Exempla adponam lacunarum harum, sed et supplementa simul, ut lectori

» τῆς ἡμετέρας χάριτος λήθην. Ἀλλὰ καὶ δώσει
» πρότερον πίστιν, καὶ μάρτυρας ἐπὶ ταῖς συμβά-
» σεσι τοὺς θεοὺς εἶναι βιάσομαι. Τί δή ποτ' οὖν τὰ
» ἀσφαλῆ δέδοικας; Περίζωσαι δὴ σαυτὴν, καὶ πᾶσαν
» μέλλησιν ἄπωσαι. Σοὶ γὰρ ἑαυτὸν ἀεὶ δήποτε ὁ
» Ἰάσων ὀφειλέτην παρέξει. Ποίει (1) τοιγαροῦν ὅπως

critico, si possim, paululum gratificer. Dion Chrys. Orat. xx, pag. 490 : τὸ ἐπὶ πότῳ ξυνεῖναι, καὶ τὸ πίνοντα ἢ κυβεύοντα, ἢ ἄλλο τι τῶν βλαβερῶν καὶ ἀσυμφόρων πράττοντα διαλελεῖν, πανταχοῦ τοιαῦτά ἐστιν ἀδολεσχοῦντα καὶ ἀκοῦοντα λόγων οὐδὲν χρησίμων. Scribo, præeunte codice 2958 : ..... πράττοντα διαλελεῖν (πανταχοῦ τοιαῦτά ἐστι), καὶ τὸ συνδιαλείβειν ἀεὶ τῷ ἐντυχόντι ἀδολεσχοῦντα καὶ ἀκ... Idem Or. xxxiii, pag. 6 : οἵδε μὲν γὰρ ὥσπερ ἐπίκωμοί τινες καὶ μεθύοντες εἰς ἑορτήν τινα καὶ πανήγυριν ἀσώτων εἰσβεβληκέναι νομίζοντες. Repono ex eodem codice:.... ἐπίκωμοί τινες ἥκουσιν εἰς τὸν βίον αὐλούμενοι καὶ ᾀδόμενοι, καὶ μεθύοντες, εἰς ἑορτ.... Atque in transcursu sanabo poematium illud Vespæ, poetæ e *Minoribus*, imo e minimis, quo Cocus et Pistor, judice Vulcano, de artis quisque suæ præstantia disputant. Sic autem Pistor orare cœpit : « Numina per Cereris juro, » per Apollinis arcum, Moror » enim, fateor, et jam vix cre- » dere paratus De cujus mani- » bus semper fit panis. » — Nihil cum conjecturis et mutationibus proficiunt eruditi annotatores. Codex Salmasianus, in Regia Bibliotheca servatus, remedium mihi exhibuit quod lectori non invidebo : « *Miror* enim, » fateor, et jam vix credere *pos-* » *sum*, *Quod Cocus iste mihi* » *sit respondere* paratus, De cu- » jus » ..... In Coci oratione Pistoris confutantis argumenta, qui ista intelliget næ magnus erit Apollo : « Certe quem extol- » lit, quem laudat sæpius ille, » Quis me non laudet sternen- » tem pisce patellas? » Est lacuna sic implenda codicis ejusdem verbis hoc modo : « Certe quem » extollit, quem laudat sæpius, » ille, *Ille tuus panis sine no-* » *bis, crede, placere Solus non* » *poterit, nec sic sit melleus* » *ipse.* Quis me » ..... Forsan, *nec si sit.* Jam, si eo modo poematium recensebitur, poterit et intelligi et non displicere, lectorque verbis dicet Mulciberi : « Es, coce *suavisa*, dulcis, sed » tu quoque, Pistor » ; attamen verbis non editis istis, quibus fœdum insedit vitium, sed codicis : « Es, Coce, *suavis homo* ; » dulcis sed tu quoque, Pistor. »

(1) Ovid. « Te *face* solenni jun- » get sibi. » Putavit Plan. *face*

» ἑαυτῷ χαίροντί σε συνάψει. Καὶ ἀνὰ τὰς τῶν Πε-
» λασγῶν πόλεις φύλαξ τῇ τῶν μητέρων ὑμνηθήσῃ
» πληθύϊ (1). Τοιγαροῦν ἐγὼ τὴν ἀδελφήν τε καὶ τὸν
» ἀδελφὸν, καὶ τὸν πατέρα, καὶ τοὺς θεοὺς, καὶ τὴν
» ἐγγενῆ γῆν, ἀνέμοις ἐπιτραπέντα (2) καταλείψω.
» Νὴ Δία, χαλεπός μοι ὁ πατήρ· νὴ Δία, βάρβαρός
» μοι ἡ γῆ· ὁ δ' ἀδελφὸς βρέφος ἔτι, αἱ δ' εὐχαί
» μοι συμφωνοῦσι ταῖς τῆς ἀδελφῆς. Μέγιστος ἐν ἐμοὶ
» θεός ἐστι. Οὔκουν καταλείψω μεγάλα· μεγάλα
» δὲ λήψομαι, τήν τε τῆς σωθησομένης Ἀχαΐδος
» ἐπιγραφὴν, καὶ γνῶσιν κρείττονος τόπου, καὶ πόλεις
» ὧν κἀνταῦθα τὸ κλέος ἡβᾷ, καὶ ἔργα, καὶ τέχνας
» τόπων, καὶ ὃν (3) ἀντὶ πάντων ὧν σύμπας ὁ κόσμος

imperativum esse verbi *facere*. Scribe : *νενομισμένη σε δᾳδὶ ἑαυτῷ συνάψει*. A B, *συνάψη* : cf. not. seq.

(1) B, *πληθῦ*. A B, *ὑμνηθείσῃ*, synchysi jam notata vocalium *η* et *ει*. Sic pag. 219 m. B, *ἡγεῖται* : infra ad 263, B, *ζῆ* pro *ζεῖ* : ad 205, A, *ῥοδοβαφῆ* pro dativo *ῥοδοβαφεῖ* : ad 758, A B, *ἐκπλαγείσῃ* : ad 782, 786, B, *δείγματος* pro *δήγματος* : mendo jam notato pag. 143, et quod in Nigrino Luciani c. 38, et in ejusdem Musca c. 5, exhibet cod. Regius 3010. Ad 805, 813, A B, *εἰώθην*. Syntipas F. 46, in Matthæïana : *θανεῖν μᾶλλον αἱρετισάμενος, εἴπερ κακῶς ζῆν* : bene Corayana exhibet *ἤπερ*. Demosthenes in Timoth. t. IV, pag. 316, T. = pag. 1204, 4, R. *οὐχ ὅπως εὐορκήσῃ πρόνοιαν ποιήσεται* : me monente, in Planciana receptum est nunc, *εὐορκήσει*, quæ est melior cum *ὅπως* syntaxis, quam iotacismus male mutaverat. Dion Chrys. Or. XIII, p. 432 : *ὥσπερ νῦν ἄν τις αὐτοὺς μεταπείσει καὶ διδάξει* : quod est solœcum, et post *ἄν* reponendum *μεταπείσῃ* et *διδάξῃ* : sed, si scribas *εἰ*, loco *τοῦ ἄν*, e codice 2958, tum *διδάξει* et *μεταπείσει* servanda. Et in marmoribus hoc pronuntiationis vitium conspicitur. Fœdus inter Marmora Oxon. II, 88 : ΤΑΥΤΑ ΔΕ ΑΜΦΟΤΕΡΟΙΣ ΤΟΙΣ ΠΛΗΘΕΣΙΝ ΣΥΝΤΕΤΕΛΕΙΣΘΑΙ : ubi *συντετελῆσθαι* scribi oportuit.

(2) Ovidius, « ventis *ablata*. » Non vidit Planudes *ablata* ad Medeam pertinere, et neutrum plurale esse putavit. Repone ergo saltem *ἐπιτραπεῖσα*, et potius, *ἀπαχθεῖσα*.

(3) Codd. *ὧν*, ut p. 209 *τρίβωλοι* in B; ut infra *καπνῶν* in

» κέκτηται οὐκ ἂν ἀλλάξασθαι θελήσαιμι, Αἰσονίδην·
» ᾧ συζύγῳ εὐδαίμων τε καὶ τοῖς θεοῖς ῥηθήσομαι
» προσφιλὴς, καὶ τῇ κορυφῇ τῶν ἄστρων ἐφάψομαι (1).
» Τί δ'; ὅτι ἀγνοῶ τίνες ἐν μέσοις τοῖς κύμασι συ-
» νιέναι σκόπελοι λέγονται (2), καὶ ἡ ταῖς ναυσὶν ἀπη-
» χθημένη Χάρυβδις νῦν μὲν ἀναπίνειν τὸ ὕδωρ, νῦν δ'
» ἀναδιδόναι, καὶ ἡ ἅρπαξ Σκύλλα, ἡ τοῖς ἀγρίοις

AB ad *N*. 114 : ut ἠτωνηκὼς in B, ad 312 : ἐλεφαντοκόπῳ in AB, ad 422 : κρομύονα in B, ad 435 : ὀλέαρος, in AB, ad 469 : ἀσοπίδης in AB, ad 484 : προσῆκον in B, ad 563 : ἴλεος in A, ad 705 : ὑπόπτευσα in A, ad 841, ubi ὑποπτεύσασα pejus in B. Onosander c. 9, p. 42, eodem vitio laborat, ἐπειδὰν γὰρ μετὰ χρόνον ἀναγκάζονται : ubi, quum conjunctio hæc subjunctivum postulet, emendatius scribendum, αναγκάζωνται. Lucian. Dem. 59, κινδυνεύουσιν ἄχρηστοι εἶναι οἱ νόμοι, ἄν τε πονηροῖς, ἄν τε ἀγαθοῖς γράφονται : non aliter quem inspexi cod. Reg. 3010; sed, vel invitis codd., scrib. γράφωνται post ἂν in Luciano. Poeta in Dionis Epist. inter Platonicas prima : Οὐ χρυσὸς ἀγλαὸς σπανιώτατος ἐν θνατῶν δυσελπίστῳ βίῳ, οὐδ' ἀδάμας, οὐδ' ἀργύρου κλίναι, πρὸς ἄνθρωπον δοκιμαζόμεν' ἀστράπτει πρὸς ὄψις : Ficinus vertit..... « quæ » *apud homines* habentur in pre- » tio »..... Voluit ergo ω inducere in loco τοῦ ο, et legere ἀνθρώπων. Sed puto πρὸς ἄνθρωπον servandum. Hæc præpositio sæpius comparationi inservit, et sensus est, *ad hominem comparata*. Quæ præcedunt hanc sententiam omnino requirere videntur. Atque ω pro ο nocet Scholiastæ Aristidis quem Bæhrius vir eruditiss. in Dissert. de Apolline Patricio adposuit p. 20 : πῦρ δὲ ἦν ἄσβεστον καὶ ἀδιαλείπτως καιόμενον ἐν Ἀθήναις ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς καθ' ἱστορίαν τοιαύτην· γνόντες Ἀθηναῖοι τὸν Ἥφαιστον ἐρασθέντα τῆς Ἀθηνᾶς καὶ μὴ τυχόντα, εἶτα διὰ τοῦτο μετ' ὀργῆς ἔχοντα πρὸς τὴν πόλιν, ἄσβεστον ὑφῆπτον τὸ πῦρ, τρόπον τινὰ νέμοντες αὐτὸ μετασχεῖν τῆς θεοῦ καὶ ταύτῃ γε ἐξιλεούμενοι αὐτόν. Conjicit vir doct. νομίζοντες αὐτὸ μετ. Minori molimine et vere puto hæc emendatum iri, legendo νέμοντες αὐτῷ, *illi*, Vulcano nempe, *tribuentes* atque dantes id quod cupierat gaudium, virginis amatæ consortium, itaque hujus sibi favorem conciliantes.

(1) De hac hyperbola addesis Gierigianæ notæ interpretes ad Aristæn. I, II, pag. 397 meæ edit.

(2) De rupibus istis, quibus Symplegadibus nomen erat, Ovidius iterum M. XV, 335.

» περιεστοιχισμένη κυσὶ, τῷ Σικελικῷ πελάγει κα-
» θυλακτεῖν. Νὴ Δία, κατέχουσα τὸν ἐρώμενον, καὶ
» τῷ κόλπῳ τοῦ Ἰάσονος προσισχημένη, διὰ μακρᾶς
» θαλάσσης ἀχθήσομαι· οὐδὲν, ἐκείνου περιδεδραγ-
» μένη, φοβήσομαι· εἰ δέ τι καὶ δείσω, δείσω περὶ
» μόνῳ τῷ συζύγῳ. Ἀλλά γε μὴ (1) τοῦτο, Μήδεια,
» συζυγίαν οἴου, καὶ εὐπρόσωπον ὄνομα τίθει τῷ σαυ-
» τῆς πταίσματι. Ναὶ μὴν ὅρα καὶ πόσην (2) μέτει
» τὴν ἀνοσιουργίαν, καὶ ἡνίκα ἂν ἐξῇ, φεῦγε τὴν ἁμαρ-
» τίαν. » Εἶπε, καὶ ἐναντίον τῶν αὐτῆς ὀφθαλμῶν
Οἶκτός τε καὶ Αἰδὼς (3) ἔστησαν· καὶ ὁ Ἔρως ἡττηθεὶς
ἤδη νῶτα ἐδίδου.

Ἦει δ' ἐπὶ τοὺς παλαιοὺς τῆς Περσηΐδος Ἑκά-
της βωμοὺς, οὓς κατάσκιον νέμος καὶ συνηρεφὲς
ἔσκεπε λόχμη. Καὶ δὴ αὕτη μὲν ἔῤῥωτο, τὸ δ' ἐξ
ἔρωτος πῦρ ἐλαθὲν ἀπεχώρησεν· αὖθις δὲ τὸν Αἰσονί-
δην ἰδούσης ἥ τε φλὸξ σβεσθεῖσα ἀνέλαμψε, καὶ

(1) Novus error, sed levior, interpretis. Ovidius : « Conju- » giumne vocas » ? Putavit *ne* esse conjunctionem vetantem, quod particula est interrogationis.

(2) B, πόσιν, et supra, πόσην. Eadem permutatione infra ad 298, B, ἱκέτης pro ἱκέτις : ad 312, A, ἠτονικώς : ad 357 B, πιτάνιν : ad 438, A B, κιφισίας : ad 465, A, σιθονὴς, B, σιθοινὴς : ad 509, A B, κτίσις, ubi tamen melius κτῆσις est in B, inter lineas scriptum : ad 699, A, ἡμῖν pro ἥμην. Supra pag. 189, 1, pro μίτρᾳ, A exhibuit μήτρᾳ. Fiat obiter medicina non periculosa Theophylacto Simoc. Q. Phys. pag. 9 : ὁπότε παῖς μὲν ἦν τὴν ἡλικίαν, ἀγροικότερον δὲ τὸν νοῦν, ἡνίκα τὰ κυνηγέτου μοι ἐφαίνετο περισπουδαστα, ὅτε αὐλῶνας καὶ γηλόφους ἐθαύμαζον, καὶ τοὺς ὀρῶν μοι τὰ ὑψιλόκομα ἦν ἐναυλίσματα : corrige e cod. Regio 993, ὑψηλόκομα, et ἀγροικότερος, et τῶν ορῶν. Eadem opera Eumathius sanetur, qui non ipse scripsit II, p. 57, εὐμενής σοι τὰ εἰς πεῖραν ἥκοιτο, sed ἵκοιτο, quod inveni in cod. 2897.

(3) Adde, καὶ Ἀρετὴ, ut vertatur latinum *rectum*; et pro Οἶκτός, velim Εὐσέβειά, quod latino

αἱ παρειαὶ ἐφοινίχθησαν, καὶ σύμπαν ἀνήφθη τὸ πρόσωπον. Ὡς δὲ σπινθὴρ εἴωθεν ἀνέμοις τροφὴν λαμβάνειν καὶ αὐξάνειν, ὃς βραχὺς ὢν, ὑπὸ σιτπτείας συνειληθεὶς κρύπτεται, καὶ πρὸς τἀρχαῖον κινούμενος σθένος ἀνίσταται· οὕτως ἤδη ὁ ἔρως, πρωϊνθεὶς, ὃν ἀρρώστειν ἂν ἤδη φήθης, ὡς εἶδε τὸν νεανίαν, τῷ κάλλει τούτου παρόντος ἀνήφθη. Καὶ, καίά γε τὸ συμβαίνειν εἰωθὸς, περικαλέστερος ἑαυτοῦ, τῆς ἡμέρας ἐκείνης, ὁ τοῦ Αἴσονος γέγονε παῖς. Ἔσχες ἂν τῇ ἐρώσῃ συγγνώμην. Ἡ δ' ἀτενὲς εἰς αὐτὸν ὁρᾷ, κἀπὶ τῷ προσώπῳ, ὡς ἂν ἀρτι πρώτως ὀφθέντι, πεπηγότας ἔχει τοὺς ὀφθαλμούς, οὐδὲ θνητοῦ τινὸς ὄψιν ἡ φρενοβλαβὴς βλέπειν δοκεῖ, οὐδ' ἐκκλίνει γε ἀπ' ἐκείνου. Ἐπεὶ δὲ καὶ λαλεῖν ὁ ξένος ἤρξατο καὶ δεξιᾶς ἥψατο, καὶ ἁρπαγὴν ὑφειμένῃ τῇ φωνῇ ἤτησε, καί οἱ τὴν εὐνὴν ἀντὶ τούτων ὑπέσχετο, ἐκείνη, δάκρυα προχέουσα, εἶπεν· « Ὁρῶ δὴ νῦν τί ποτ' » ἂν δράσαιμι· οὐδ' ἀγνοιά με τοῦ ἀληθοῦς, ἀλλ' » ἔρως ἂν ἀπατήσειε. Σώθητι τοῖς ἐμοῖς δώροις, καὶ, » σωθεὶς, τὰ ἐπηγγελμένα ἀπόδος. » Ὁ δὲ, καίά τε τῶν ἱερῶν τῆς τελμόρφου θεᾶς, καὶ ὅσιις ποτ' ἂν θεὸς ἐν ἐκείνῃ τῇ λόχμῃ παρείη, τόν τε πάντ' ἐφορῶντα παλέρα τοῦ μέλλοντος πενθερῶν, καὶ τὴν ἑαυτοῦ τύχην, καὶ τοὺς τοσούτους κινδύνους, ὄμνυσι, καὶ, πιστευθεὶς, τὰς πεφαρμακευμένας αὐτίκα βοτάνας ἐδέξατο, τήν τε τούτων χρῆσιν ἐξέμαθε· καὶ χαίρων ἐπὶ τῆς καταγωγῆς ἀνεχώρησεν.

Ἡ μὲν ἠὼς δὴ μετὰ τοῦτο (1) τοὺς λαμπροὺς

nomini *pietas* respondet melius. *stera*. Planudes legebat, puto, *postea*; prave.

(1) B, καὶά τ. Ovidius, *postera*; prave.

ἀστέρας ἀπήλασεν· οἱ δὲ δῆμοι συνίασιν ἐπὶ τὴν ἱερὰν τοῦ Ἄρεος ἄρουραν, καθίζουσί τε ἐπὶ τῶν θάκων. Ὁ δὲ βασιλεὺς αὐτὸς περιπόρφυρος ἐν μέσῳ καθῆστο τῷ συνεδρίῳ, καὶ ἐλέφαντος σκήπτρῳ ἐπίσημος. Ἰδοὺ δὲ καὶ οἱ χαλκόποδες βόες ἥφαιστον ἐξ ἀδαμαντίνων (1) φυσῶσι μυκτήρων, πιμπρῶντες τοῖς ἄσθμασιν ὧν ἂν ἅψαιντο βοτανῶν. Ὡς δ' εἴωθε πλήρης ἠχεῖν κάμινος, ἢ ὡς ὅτε ἐκ καμίνου τιτάνου λίθοι διαλυθέντες πῦρ ὑφαρπάζουσιν ὕδατι ῥαντισθέντες ὑγρῷ· οὕτω καὶ τὰ βοῶν στέρνα τὰς ἐγκεκλεισμένας ἑλίσσοντα φλόγας καὶ οἱ φάρυγγες ἠχοῦσι καιόμενοι. Ὅμως δ' ὁ τοῦ Αἴσονος παῖς ἐναντίον εἶσιν ἐκείνοις· οἱ δ' ἀμείλικτοι βόες ἐρχομένῳ κατὰ πρόσωπον τὴν φοβερὰν ἔτρεψαν ὄψιν καὶ τὰ πεπηγότα σιδήρῳ κέρα, καὶ τὸ κεκονιμένον δάπεδον διχηλοῦντι ἔτυπτον ποδὶ, καὶ μυκηθμῶν καπνὸν ἀνιέντων τὸν χῶρον ἐπλήρωσαν. Οἱ δὲ Μινύαι τῷ ἐξαπιναίῳ ἔφριξαν φόβῳ· ὁ δ' οὔτε τοῦ τῶν ταύρων ἄσθματος ᾔσθετο (τοσοῦτον ἰσχύει τὰ φάρμακα), καὶ τὸ ἀπῃωρημένον τοῦ λαιμοῦ δέρμα τῇ δεξιᾷ καταψᾷ, καὶ, ὑποθεὶς τῷ ζυγῷ, τὸ βαρύσταθμον ἄχθος ἕλκειν βιάζεται, καὶ τὸ ἄηθες πεδίον (2) δια-

(1) Vide notam pag. 163, cui nunc addatur Hemsterhusii annotatio ad Hesiodi E. 146, quam doctæ debemus Gaisfordii diligentiæ.

(2) B, παιδίον. Permutatio non rara: cf. not. ad Marini Proclum pag. 69. Mendum peperit constans illa τῶν αι et ε permutatio. Infra ad 226, codd. περισκοπεῖται, quod nolui servare: ad 300, A, θυγατέραις: ad 478, AB, γηραλαίῳ: ad 771, B λέλαπα, A λέλωπα: ad 803, A, φλόγαις. In Pseudo-Aristotele Præf. de Nat. Animal. p. 322, in Yriartæ Catal. editum legitur ὑφαίνας: ubi alia erit corrigendi ratio, nempe ὑφάνας, quæ prava est scriptura pro ὑφάνας.

σχίζει δὴ τῷ σιδήρῳ. Ἐκπλήττονται τοίνυν οἱ Κόλχοι· οἱ δὲ Μινύαι ταῖς κραυγαῖς τοῦτον θαῤῥύνουσι, καὶ εὐψυχίαν προστιθέασιν. Ὁ δὲ εὐθὺς ἐκ τοῦ χαλκοῦ κράνους τοὺς δρακοντείους ὀδόντας λαμβάνει, καὶ οἱ σπαρέντες ὀδόντες νέα σώματα γίνονται (1). Ὡς δ' ὄψιν ἀνθρώπου ἐπὶ τῆς μητρικῆς νηδύος τὸ βρέφος δέχεται (2), κἀκεῖ δὴ τῷ τῶν μηνῶν ἀριθμῷ διαπλάττεται, καὶ ἥκιστα πρὸς τὸν κοινὸν ἔξεισιν ἀέρα ὅτι μὴ ὡραῖον· οὕτως, ἐπείπερ ἐν τοῖς ἔγκασι τῆς γῆς ἐγκυμονούσης ἡ τοῦ ἀνθρώπου μορφὴ ἀπείργαστο, ἐν τῷ γονίμῳ ἀνέσχεν ἀγρῷ, καὶ, ὃ μᾶλλόν ἐστι θαυμαστὸν, συναναδοθέντα τὰ ὅπλα ἀράσσει. Τούτους δ' ἰδόντες οἱ Πελασγοὶ ἐν παρασκευαῖς ὄντας (3) ὀξείας αἰχμῆς δόρατα ἐπὶ τὴν κεφαλὴν στρέφειν τοῦ Αἰμονίου νεανίου, ἀφῆκαν τῷ δέει καὶ τὴν ὄψιν καὶ τὴν ψυχήν (4)· ἀλλὰ καὶ αὐτὴ

(1) Omisit Planudes, vel librarii omiserunt hæc Ovidiana: « et aratos spargit in agros. Semina mollit humus, valido præ» tincta veneno, Et crescunt. » Vertere possis: — λαμβάνει, καὶ εἰς ἀρωθέντας ἀγροὺς σπείρει. Τὰ σπέρματα δὲ ἡ γῆ δυνατῷ βραχεῖσα φαρμάκῳ μαλακίζει, καὶ οἱ σπαρ.

(2) Addidi δέχεται quod deerat.

(3) Accedit lectioni Heinsianæ, *paratos*, auctoritas codicis quo Planudes utebatur.

(4) Addatur hoc exemplum plurimis iis quæ protuli ad IV, 175, ubi pag. 146, col. I extr., pro *Adonide* scribat lector, rogo, *Philemone*. Atque, quando quidem hunc tropum denuo tangendi adest opportunitas, lectorem tironem monebo posse quandoque verba sic translata non displicere, imo placere, et nescio quid curiosæ felicitatis præ se ferre. Quem adduxi e Boilavio versus facile, puto, multis se probaverit, et omnibus procul dubio Fontainii iste in Sutore: « dans sa cave il *enserre L'ar*» *gent* et sa *joie* à-la-fois. » Lebrunius initio Virgilianæ narrationis de Orpheo: « Déjà loin » de Tempé, délicieux rivage, » Pleurant ses doux essaims que » la Parque ravage, Aristée *éga*» *rait* ses *pas* et ses *douleurs* »: quæ extrema Harpius reprehendit, quasi λυρικώτερα, iniquior fere semper poetæ hujus egregii censor. Equidem primi ver-

δῆτ' ἔδεισεν, ἡ καταστήσασα τοῦτον ἐπ' ἀσφαλείας, καὶ, ζητούμενον ἑωρακυῖα τὸν νεανίαν ἕνα τόσων ἀπ' ἐχθρῶν, ὠχρίασε, καὶ ψυχρὰ καὶ ἄναιμος ἐξαπίνης δὴ συνεκάθισεν· ὡς ἂν δὲ ἥκιστα βραχύ τι ἰσχύσαιεν αἱ παρ' αὐτῆς δοθεῖσαι βοτάναι, ἐπῳδὴν συναντιλαμβανομένην ἐπᾴδει, καὶ τὰς μυστικὰς προκαλεῖται δὴ τέχνας. Ὁ δὲ χερμάδα (1) βαρεῖαν ἐν μέσοις τοῖς ἐχθροῖς ἀποῤῥίψας, ἐπ' ἐκείνους τὴν μάχην ἀπωσάμενος ταύτην ἑαυτοῦ τρέπει. Διαφθείρονται δὲ (2) ταῖς ἀμοιβαίαις πληγαῖς οἱ γηγενεῖς

sus posterius hemistichium duntaxat mutatum velim, quippe quod nihil ad rem faciat, et tantum sequenti verbo *ravage* consonet.

(1) A B, χερμάδια. Mox A, ἑαυτῷ.

(2) A, δή: et sic B, ad 223; atque ad 345, A male δὲ ubi δὴ bene in B; ad 312, A B δὴ, quod in δὲ reformare non dubitavi. Hanc permutationem jam nonnunquam notavi. Vide Peerlkamp. ad Xenoph. Ephes. p. 177, optime δὲ in auctore suo revocantem. In Luciani Epistolis Sat. 19, pro ἐπεὶ δὲ reperi in cod. Reg. 2600, ἐπεὶ δὴ, male; quum δὲ sit oppositum primis capitis verbis, ἐγεγράφειν μέν. In ejusdem Lapithis c. 43, pro ὁ δὴ Ζηνόθεμις, codex 1041 habet ὁ δὲ Ζ. quod equidem malim, quum illud δὲ sit more vulgari et proprio post eam, quæ ibi interfertur, parenthesim positum. In Chionis verbis Epist. 15, Κλέαρχος δὴ ὠμὸς ὤν, cod. Mazarineus A 87 præfert δὲ, electione fere ancipiti; rursus apud eumdem Ep. 16, ubi editum fuit, ἐκ τούτου δὲ τοῦ ὀνείρου εὔελπίς εἰμι, est δὴ in codice, nec hic facili delectu: equidem utrobique δὲ prætulerim. Reiskius in Dionis Chrys. Venatore p. 217, recte pro δὲ proposuisse δὴ videtur. Syntipas Fabula 6, τοὺς κύνας αὐτῷ ἐπαφίησι, φθεγξάμενος δὲ πρὸς αὐτόν: Matthæïus δὲ molestum esse ait; et vir doctiss., hanc fabulam repetens in Syntagmate Fabull. Æsopiarum, δὲ prorsus sustulit: scribendum est φθεγξ. δή. Idem Fab. 8: αὐτίκα τοῦ ζῆν ἀπερρήγνυτο· ὅτε δὲ πρὸς τελευταίαν ἐγγίσασα ἀναπνοὴν ἔλεγεν: Matthæïus proponit ὅτε καί: melius Corayus scripsit ὅτε δή. Formula est in narrationibus frequens ὅτε δὴ, quam illustrare memini ad Phil. pag. 340. Planudes noster, in Comparatione inedita Veris et Hiemis p. 283, cod. Reg. 3010: τοῦ ἡλίου..... ἀπὸ πρώτης αὐτίκα τοῦ αἰγόκερω μοίρας ἐφ' ἡμᾶς ἐλαύνοντος, ὅτε δὲ

ἀδελφοὶ, καὶ ἐμφυλίῳ (1) πολέμῳ πίπλουσι. Σκιρτῶσι δ' οἱ Ἀχαιοὶ καὶ τοῦ νικηλοῦ περιέχονται, καὶ περιπλοκαῖς ἀκορέστοις τούτῳ προσίσχονται. Καὶ σὺ δὲ τὸν νικηλὴν ἠθέλησας ἂν περιλαβεῖν, ὦ βάρβαρε· αἰδὼς δέ σοι τῷ ἔργῳ ἀντέστη, καὶ περιέλαβες ἄν, ἀλλά σε ἡ τῆς φήμης ἐπισφὴ ὡς μὴ τοῦτο ποιήσῃς ἐμποδὼν ἔστη· ὃ δ' ὅμως ἔξεστι, σιγώσῃ σοργῇ χαίρεις, καὶ χάριτας οἶσθα ταῖς ἐπῳδαῖς καὶ τοῖς ἐπιστάταις τούτων θεοῖς.

Ὑπόλοιπόν γε μήν ἐστι τοῖς φαρμάκοις κοιμίσαι (2) τὸν ἀγρυπνον δράκοντα, ὃς, λόφῳ τε καὶ τεισὶ γλώσσαις ἐπίσημος ὤν, καὶ καμπύλοις ὀδοῦσι φεικτὸς, φύλαξ τοῦ χρυσοῦ δένδρου (3) ὑπῆρχε. Τοῦτον δὲ σὺν ἐπῳδῇ (4) ἐκ τοῦ Ληθαίου χυλοῦ ῥάνασα, ῥήμαλά τινα τεὶς εἶπεν ὕπνον ἡδὺν ἐμποιοῦντα, ἃ καὶ θάλασσαν κυκωμένην καὶ σπέρχοντας πολαμοὺς ἴσησιν. Ὕπνου δὲ τοῖς τοῦτον ἀγνοοῦσιν ὀφθαλμοῖς ἐπελθόντος (5), ὁ Αἰσόνειος ἥρως τόν τε χρυσὸν λαμβάνει, καὶ, τῷ λαφύρῳ μεγαλαυχούμενος, τὴν τῆς λείας αἰτίαν μεθ' ἑαυτοῦ λάφυρον ἐπαγόμενος ἔτε-

καὶ ἀρχὴν ὁ ἐνιαυτὸς δέχεται : malim, ὅπερ δή.

(1) B, ἐμφιλίου. Quam sæpe syllabæ φιλ et φυλ varientur ostendunt notæ ad Nicet. p. 25, 436. In Luciani Phal. II, c. 9, pro φιλοκερτῆν cod. Regius 3010 exhibet φυλλοκερτῆν, recte, modo alterum λ detrahas.

(2) B, κοιμῆσαι. A, e correctione, κοιμίσαι. Infra ad 213, B ἐκοιμήσατο. Nonnihil potest esse dubitationis. Vide supra pag. 12, collato Blomf. ad Callim. H. in Jovem, 47.

(3) Invenit in suo codice, *arboris aureæ*, quod, etsi audacius scriptum, poetam non dedecet. Lectio *arietis aurei* ex uno cod. recepta fere glossa est.

(4) Habuit *carmine*, non *gramine*. A, non ἐκ. B, τοῦ ἐκ τοῦ. In B schol. ἐκ τοῦ θείου τῆς λήθης κάμαλος δηλονότι.

(5) Planudes legisse videtur *ubi venit*.

ϱν, σὺν νίκῃ ϖϱὸς τοὺς Κεκϱοπίους πύργους (1) ἅμα τῇ γυναικὶ ἀφικνεῖται.

Αἱ Αἰμονίαι τοίνυν μητέρες καὶ οἱ πολυετεῖς πατέρες δῶϱα ὑπὲϱ τῶν υἱῶν ὧν ἀπέλαβον ἀναφέϱουσι, καὶ θυμιαμάτων ϖλῆθος ἐπὶ πυϱὸς θυμιῶσι, καὶ ἱεϱεῖα χϱυσὸν τοῖς κέϱασι πεϱικείμενα τὰς εὐχὰς τούτων ϖληϱοῖ· ἀλλ' ἄπεστιν ὁ Αἴσων ἐκείνων εὐθυμουμένων, ἐγγυτέϱω τε ἤδη γεγονὼς τοῦ θανάτου, καὶ τοῖς ϖϱεσβυτικοῖς ἀπειϱηκὼς ἔτεσι. Τηνικαῦτα δὴ οὕτως ὁ Αἰσονίδης ἔφη· « Ὦ γύναι, ἦ τὴν ἐμαυτοῦ σωτη» ϱίαν ὁμολογῶ ἐπιγέγϱαφθαι, καίτοι τὰ πάντα » μοι ἐχαϱίσω, καὶ ϖᾶσαν ὑπεϱπέπαικε πίστιν τὸ » τῶν σῶν χαϱισμάτων ἄθϱισμα, ὅμως, εἰ καὶ τοῦτὶ » δύναται (τί δ' οὐκ ἂν αἱ ἐπῳδαὶ δύναιντο ;) » ἄφελε τῶν ἐμῶν ἐτῶν, καὶ ἀφελοῦσα ϖϱόσθες τοῖς » τοῦ παϱός (2). » Οὐκ ἐκϱάτησε ϖϱὸς ταῦτα τῶν

(1) Malam habuit lectionem. Et Regius e Nostro hic notavit Κεκϱοπίους πύργους. Reponendum Ἰωλκιακοὺς, ad editionis normam.

(2) Sententia affectus plena, quæ multis auctoribus placuit. Pulcre Martialis 1, 37 : « Diceret » infernas et qui prior isset ad » umbras : Vive tuo, frater, » tempore, vive meo. » Statius S. v, 1, 176, in tenerrimis Priscillæ morientis ad Abascantium verbis : « Pars animæ » victura meæ, cui linquere pos» sem, O utinam! quos dura mihi » rapit Atropos annos ! » Loca similia peti possunt e Mureti VV. LL. IX, 1. Nec nostri scriptores sunt muti. Russavius ille lyricus in oda egregia Parcas allocutus : « Ne délibérez plus ; tran» chez mes destinées, Et renouez » leur fil à celui des années Que » vous lui destinez. » Parnyus : « Ajoutez à ses jours Les jours » heureux que m'ôta l'infidèle. » Ferocior erat Iphis Ovidianus M. XIV, 731 ; excusandus tamen, quippe qui non poetice, ut Parnyus, moriebatur, sed vero fauces inserebat laqueo : « O superi... » longo facite ut memoremur » in ævo, Et, quæ demsistis vitæ, » date tempora famæ. » Eamdem antithesim variavit Michaldus, poeta elegantissimus, in Vere VI : « Aimez ; vivez heureux, et que » le sort prospère, De vos plus

» ὠχειῶσιν· ὠχειᾷ δὲ καὶ ἡ Ἠὼς τοῖς ἡμεῖέρσις φαρ-
» μάκοις· ὑμεῖς μοι τὰς τῶν ταύρων φλόγας ἠμ-
» βλύναιε, καὶ τῷ καμπύλῳ ἀρότρῳ τοὺς ἀπαθεῖς
» ἄχθους αὐχένας ἐπιέσαιε· ὑμεῖς τοῖς δρακοντογενέσι
» δεινὸν πόλεμον κατ' ἀλλήλων δεδώκαιε, καὶ τὸν
» φοινικοῦν φύλακα ὕπνῳ ἐκοιμίσαιε, καὶ τὸ χρύ-
» σειον δέρας, τοῦ φύλακος ἀπαληθέντος, εἰς τὰς
» τῶν γεμικῶν πόλεις ἐπέμψαιε. Νῦν δέ μοι χρεία
» φαρμάκων, δι' ὧν τὸ γῆρας ἀνακαινισθὲν εἰς τὸ
» πρότερον ἄνθος ἐπανελεύσεται, καὶ ἀνορθώσει τὸν
» ἤδη κλίνατα χρόνον· καὶ δώσειε· οὐδὲ γὰρ μάτην οἱ
» ἀσιέρες νῦν ἔλαμψαν, οὐδὲ μάτην τὸ τῷ τροχήλῳ
» τῶν πηνῶν δρακόντων ἑλκόμενον πάρεσιν ἅρμα. »

Καὶ ταρῆν δὲ ἅρμα καθείμενον ἐκ τοῦ αἰθέρος· οὗπερ εὐθὺς ἐπέβη καὶ τοὺς τῶν δρακόντων αὐχένας καιέψα, καὶ, χερσὶ διασείσασα τὰς κούφας ἡνίας, εἰς ὕψος τε ἀναρπάζεται, καὶ ὑποκείμενα τὰ τῶν Θετταλῶν Τέμπη ἄνωθεν βλέπει, κἀκεῖ δὲ, ἐπ' ἐκείνου λέγω τοῦ Θέμαλος, ἵσῆσι (1)· καὶ ἂς Ὄσσα φέρει βολάνας καὶ ἂς τὸ ὑψηλὸν Πήλιον, Ὄθρυς (2) τε καὶ Πίνδος, καὶ ὁ τοῦ Πίνδου μείζων Ὄλυμπος, περισκοπεῖ τε καὶ τῶν εὐδοκουμένων αὐτῇ ἂς μὲν αὐταῖς ῥίζαις ἀνέσπα, ἂς δὲ χαλκοῦ δρεπάνου καμπῇ θερίζει. Πολλαὶ (3) δ' αὐτῇ κἀν ταῖς ὄχθαις τοῦ Ἀπι-

(1) Ovidius: « Œtæis regioni-» bus adplicat angues. » Noster habuit lectionem codicis Medicei, *Cretis i. e. terræ illius*, et hoc glossema vertit. Jam supra p. 29, recentius vocabulum θέμα pro *regione* usurpavit. Ante vel post ἵσῆσι deesse puto πους δράκοντας.

(2) B, ὄρθρυς. A, ὄρθυς. Parili mendo ὄρθρος et ὀρθός permutantur in Aristæneto pag. 288 meæ. Mox τῶν abest a B.

(3) B, πολλά. Naugerius inve-

δανοῦ ἤρεσαν, πολλαὶ δ' ἐν ταῖς τοῦ Ἀφεισοῦ. Οὐδὲ
σύ γε μὴν ἀσυντελής, Ἐνιπεῦ, ἦσθα. Ναὶ μὴν καὶ Πη-
νειὸς, ναὶ μὴν καὶ αἱ Σπερχειίδες θεοχοαί τι συνή-
νεγκαν, καὶ οἱ φλέων ἔχοντες τῆς Βοίβης αἰγιαλοί.
Ἐδρέψαλο δὲ καὶ τῆς Εὐβοϊκῆς Ἀνθηδόνος ζωηφόρον
τινὰ πόαν, οὔπω δημοσιευθεῖσαν τῷ σώματι τοῦ
Γλαυκοῦ μεταβληθέντι. Ἐννάτη μὲν οὖν ἡμέρα, καὶ
νὺξ ἐννάτη τῷ τε ἅρματι καὶ τοῖς θλεθρίοις τῶν δρα-
κόντων περιϊοῦσαν τοὺς ἀγρονὺς ἅπαντας εἶδε ταύτην·
ἐπανελθούσης δὲ, καίτοι οὐδένος, ὅτι μὴ τῆς ἐκεῖθεν
ὀσμῆς, μελέσχον, οἱ δράκοντες τὸ δέρμα τοῦ πα-
λαιοῦ ἀπεξύσαντο γήρως (1).

Ἐλθοῦσά γε μὴν θεὸ τῶν σταθμῶν καὶ τοῦ πυ-
λῶνος καλήχθη, καὶ μόνῳ τῷ οὐρανῷ σκέπτει, καὶ
φεύγει πᾶσαν ἀνδρὸς ὁμιλίαν, καὶ δίτλους βωμοὺς
ἐκ βώλων ἀνέσιησεν, ἐν μὲν τῇ δεξιᾷ, τῆς Ἑκάτης,
ἐν δὲ τῇ λαιᾷ, τῆς Νεότηλος. Ἐπεὶ δὲ τούτους πε-
ρισιερεῶνι (2) καὶ δένδροις ἀγείοις περιεξώσατο, οὐ πόρρω
τούτων ἐν δυσὶ βόθρις τὸν χοῦν ἐκφορήσασα, ἱερο-
ποιεῖται, καὶ μάχαιραν ἐν λαιμῷ μέλανος ἱερείου ἐνίη-
σι, καὶ τοὺς ὀρωρυγμένους βοθύνους περιῤῥαίνει τῷ
αἵματι. Τότε δὴ τῇ μὲν ἐπιχεῖ τεῦχος ὑγροῦ μέ-
λιτος, τῇ δ' ἑτέρᾳ τεῦχος ὑγροῦ (3) γάλακτος· οἷς

nerat πολλαὶ in suo libro. Verba πολλαὶ — ἦρ. adduxit ad hunc Ovidii locum. Mox exhibui Ἀφεισοῦ, codicum lectionem.

(1) Hoc portentum non potuit concoquere bonus librarius, et, ad marg. codicis B, exclamat: ὦ τοῦ θαύματος! οἷον τὸ ψεῦδος!

(2) Ovidius, *verbenis*. In A lacuna est; in B hic loci charta mutila est, sed puto et fuisse lacunosum. Interpres ignoravit quid esset verbena, et quo nomine græco vocaretur. Addidi quod deerat.

(3) Habuit igitur suo in libro, *liquidi*, non *tepidi*. Placet repetitio; valde est Ovidiana.

ἅμα καὶ ῥήματά τινα ἐξέχεε, καὶ τοὺς ὑποχθονίους θεοὺς ἐμειλίξατο· καὶ τοῦ τῶν ψυχῶν ἡγεμόνος σὺν τῇ ἁρπαγείσῃ συζύγῳ δεῖται, μὴ σπεῦσαι τὴν γεραιὰν ψυχὴν συλῆσαι τοῦ σώματος. Τούτους δὲ δὴ δεήσεσί τε καὶ μαχρῷ ἐξιλασαμένη ψιθυρισμῷ, τὸ ἀπειρηκὸς σῶμα τοῦ Αἴσονος τοῖς βωμοῖς προσαχθῆναι κελεύει, καὶ τοῦτο, ἐπωδῇ πρὸς βαθὺν ἐκλυθὲν ὕπνον καὶ ἀψύχῳ ἐοικὸς, ἐπὶ τῆς ἐπεστρωμένης πόας ἐξέτεινε, κἀκεῖθεν δὲ πόρρω τὸν Αἰσονίδην, πόρρω τοὺς ὑπηρέτας ἰέναι κελεύει, καὶ ὑποτίθεται ὀφθαλμοὺς τοὺς ἀμυήτους μεθασθῆσαι τῶν ἀπορρήτων. Οἱ δὲ, κελευσθὲν αὐτοῖς, διασκίδνανται. Ἡ Μήδεια δὲ, λελυμένη τὰς κόμας βάκχης δίκην, τοὺς καιομένους βωμοὺς περίεισι, καὶ πολυμίτους λαμπάδας ἐν τῷ μέλανι τοῦ αἵματος βόθρῳ βάπτει, καὶ βαφείσας ἐν τοῖς δυσὶν ἀνάπτει βωμοῖς, καὶ τρὶς μὲν φλογὶ τὸν γεραιὸν, τρὶς δὲ ὕδατι, τρὶς δὲ θείῳ ἀπύρῳ (1) περίεισι (2). Μετὰ δὲ τοῦτο τὸ δραστήριον φάρμακον ἐν χαλκείῳ βληθὲν ζεῖ καὶ ἀναχαλάζει, καὶ ἀφρῷ ἐξωδηκότι λευκοχίνεται. Ἔχει δὲ δὴ ῥίζας τῶν Αἰμονίων Τεμπῶν τμηθείσας καὶ σπέρματα καὶ ἄνθη καὶ χυλοὺς δριμεῖς (3) ἕψει· προσλίθησι δὴ καὶ λίθους

(1) Codd. ἀπίρῳ. Et sic peccatum est in Nonni cap. 51. Jam habuimus θεῖον ἄπυρον pag. 113, ad Ν. 374; pag. 205, ad Ξ. 405; et habebimus ad XIV, 791. Vide Bernard. ad Nonn. t. I, pag. 34.

(2) Pro περίεισι, hic maluissem reperire καθαίρει. Et statim pro μετὰ τοῦτο scribere debuisset interpres μεταξύ.

(3) A, δρυμεῖς: ut A B, κερκίσνος pro Κερκύονος, ad 439. Permutationes notissimæ literarum ι et υ, υ et η, plane firmabunt restitutionem vocis ἰλὺν pro ὕλην quam in Horapolline, Hierogl. 49, propono: μιγνύει τῷ ὕδατι τὴν ὕλην, ediderunt; manus recentior, ad marginem codicis Reg. 2832, ἰλὺν, quod et ratio-

ἐν ἐσχατιαῖς τῆς Ἀνατολῆς ζητηθέντας· προστίθησι καὶ ψάμμον, ἣν ἡ τοῦ ὠκεανοῦ θάλαττα πλημμυροῦσα δὴ κλύζει, καὶ πάχνην νυκτὸς ὑπὸ τὴν σελήνην συναμηθεῖσαν, καὶ στριγὸς αἰσχρᾶς αὐταῖς σαρξὶ πτέρυγας, καὶ ἔγκατα λύκου ἀμφιβόλου, εἰωθότος εἰς ἄνδρα τὴν θήρειον ὄψιν μεταμείβειν· οὐδὲ φολιδωτὰ (1) μέλη Κιννυφίου λεπτοῦ χελύδρου ἐκείνων ἀπῆν, οὐδ' ἐπὶ μακρὸν ζώσης ἧπαρ ἐλάφου· οἷς πᾶσι προστίθησι κεφαλὴν κορώνης αἰῶνας ἐννέα διαρκούσης. Τούτοις δὴ καὶ μυρίοις ἄλλοις ἀνωνύμοις εἴδεσιν ἡ βάρβαρος τῷ θνητῷ Αἴσονι πάντων ὑπερκείμενον (2) δῶρον κατασκευάσασα, ξηρῷ κλάδῳ πάλαι ποτὲ θαλλούσης ἐλαίας πάντα συνεκύκησε, καὶ τὰ ἄνω τοῖς κάτω ἀνέλιξεν. Ἰδοὺ δὲ καὶ τὸ παλαιὸν στύπος ἐν τῷ ζέοντι χαλκείῳ στρεφόμενον πρῶτα μὲν χλωρὸν γίνεται, καὶ μετ' ὀλίγον φύλλα περιβάλλεται, καὶ ἐξαίφνης πεπείροις ἐλάαις βρίθεται. Ἔνθα δὲ δή ποτε τὸ πῦρ ἀφρὸν τοῦ κοίλου χαλκείου ἐξέβρασε, καὶ σταγόνες ἐπὶ τὴν γῆν πεπτώκασι ζέουσαι, ἥ τε γῆ ἀναθάλλει, καὶ ἄνθη καὶ χλόη ἀνίσχει· ἅπερ αὐτίκα τε εἶδεν ἡ Μήδεια, καὶ λεπτῷ ξίφει τὴν σφαγὴν τοῦ γέροντος ἤνοιξε, καὶ τὸ παλαιὸν αἷμα ἐκβλύσαι μείνασα, τοῦ κατασκευασθέντος χυλοῦ τοῦτον ἀναπληροῖ· οὗπερ ἐπειδή γε ὁ Αἴσων ἐνεφορήθη τε καὶ ἠρδεύθη, ἢ τῷ στόματι τοῦτον ἢ τῇ πληγῇ δεξάμενος, ἥ τε κόμη καὶ ὑπήνη, τὸ πολιὸν ἀποθέμε-

nes criticæ et res ipsa æque commendant.

(1) A B, φωλιδωτά. Pag. 177, A, φολιδοτῷ. Mox B, κιννουφίου.

(2) Latina *propositum munus* græce sonant, τὸ διανοηθὲν δῶρον. *Mortali* vertit ut potuit. Exspectandi meliores codices.

φύλακας, ὃν ἐπῳδαὶ καὶ μάγου γλώσσης δύναμις ἔδωκαν. Αἱ δὲ θυγατέρες κελευσθεῖσαι σὺν τῇ Κολχίδι τὸν οἰκεῖον οἶκον εἰσίασι, καὶ περιστοιχίζουσι τὴν εὐνήν. Ἡ δὲ (1) « Τί ποτε νῦν νυστάζετε » εἶπε, « νωθρόταται; Πήξατε δὴ τὸ ξίφος, καὶ τὸ παλαιὸν » ἐξαντλήσατε αἷμα, ὡς αἵματος νεωτερικοῦ κενωθείσας ἐμπλήσω τὰς φλέβας. Ἐν γὰρ ταῖς ὑμετέραις » χερσὶν ἥ τε τοῦ πατρὸς ἡλικία καὶ ζωὴ κεῖται. Εἴ » τις οὖν ὑμῖν οἶκτος, εἰ μὴ ματαίαις ἐλπίσι σαλεύεσθε, συμμαχίαν ὀρέξατε τῷ πατρὶ, καὶ ξίφει » τὸ γῆρας ἐξώσατε, καὶ τὸ διεφθορὸς αἷμα τῷ σιδήρῳ ἐκκρούσασθε. » Ταύταις ταῖς παραινέσεσιν, ἥτις ποτὲ μᾶλλον συμπαθὴς γέγονε, πρώτη ἀσυμπαθὴς ἦν, καὶ, ὡς ἂν μὴ ἀνόσιος ᾖ (2), τὸ ἀνόσιον δρᾷ. Οὐκ ἔστι γε μὴν ἥτις τὴν παρ' ἑαυτῆς πληγὴν ὁρᾷν ἔφερεν, ἀλλὰ τοὺς ὀφθαλμοὺς ἀποστρέφουσι, καὶ ταῖς ἀπηνέσι δεξιαῖς τυφλὰ διδόασι τραύματα. Ὁ δ' αἰφνιδίῳ περιῤῥεόμενος αἵματι, ὅμως αἴρει τὰ μέλη, καὶ ἡμισπάρακτος τῆς κλίνης ἀναστῆναι πειρᾶται· καὶ μέσος ἐν τοσούτοις δὴ τοῖς ξίφεσιν, ὠχριάσας ἐκτείνει χεῖρας, καὶ « Τί ποτε δρᾶτε, ὦ » θυγατέρες; » εἶπε. « Τίς ὑμᾶς κατὰ τῆς πατρῴας » τύχης ἐξώπλισε. » Ταῖς δὲ καὶ ψυχαὶ καὶ χεῖρες (3) κατέπεσον· ἐκείνῳ δὲ πλείω μέλλοντι λέξειν ἔτι ἡ Κολχὶς αὐτοῖς ῥήμασιν ἀφείλετο δὴ τὸν φάρυγγα, καὶ διεσπαραγμένον εἰς τὸ ζέον καθῆκεν ὕδωρ· ὥστ', εἰ μὴ πτερωτοῖς δράκουσι πρὸς τὸν ἀέρα ἀνέφυγεν, οὐκ ἂν τὴν δίκην ἀπέδρασε.

(1) A, ὁ δέ: modo, κελευθεῖσαι. Infra ad v. 350, B, δράκεσι.

(2) Codd. ἦν, et infra ὁ μέσος.

(3) Vide notam pag. 145.

Φεύγει δ' εἰς ὕψος ὑπέρ τε τὸ συνηρεφὲς Πήλιον καὶ τὴν Φιλύρειον ἑστιὰν, καὶ ὑπὲρ τὸν Ὄθρυν, καὶ τοὺς ἐγνωσμένους τόπους τῷ πάθει τοῦ παλαιοῦ Κεράμβου. Οὗτος γὰρ, τῇ τῶν Νυμφῶν συνάρσει πτεροῖς πρὸς ἀέρα κουφισθεὶς, ἡνίκα βαρέως ἡ γῆ τῷ περιχυθέντι κατεκλύζετο ὕδατι, τοὺς Δευκαλιωνείους ὑετοὺς ἀκλύστως ἐξέφυγε. Τήν τε Αἰολίαν Πιτάνην ἀφῆκεν ἐπὶ τῆς λαιᾶς, καὶ τὸ γεγονὸς λίθοις (1) μακρὸν τοῦ δράκοντος μόρφωμα, τό τε Ἰδαῖον νέμος, ἔνθα ποτὲ ὁ Διόνυσος τὸ τοῦ υἱοῦ κλέμμα τὸν μόσχον ἔκρυψεν ὑπὸ πεπλασμένῃ (2) μορφῇ ἐλάφου, ἔνθα ὁ τοῦ Κορύβδου (3) πατὴρ βραχείᾳ ψάμμῳ τετύμβευται, τούς τε ἀγροὺς οὓς ἡ Μαίρα νέᾳ ὑλακῇ μορμολύττεται, καὶ τὴν Εὐρυπύλου πόλιν ᾗπερ αἱ Κῷαι μητέρες κέρατα ἔφυσαν, ἡνίκα τὸ τάγμα τοῦ Ἡρακλέος ἀνεχώρει, τήν τε Φοιβείαν Ῥόδον, καὶ τοὺς Ἰηλισίους Τελχῖνας, ὧν τοὺς ὀφθαλμοὺς αὐτῇ τῇ ὄψει πάντα μεταμείβοντας (4) ὁ Ζεὺς ὑπερστυγήσας (5), τοῖς τἀδελφοῦ ἐκάλυψεν ὕδασι. Παρῆλθε καὶ τὰ τῆς ἀρχαίας Κῶ Καρχήϊα (6) τείχη, ὅθιπερ Ἀλκιδάμας ὁ πατὴρ θαυμάσειν ἔμελλεν ἐκ τοῦ τῆς θυγατρὸς σώματος πραεῖαν περιστερὰν οἵαν τ' οὖσαν γεννηθῆναι. Ἐντεῦθεν τὸ τῆς Ὑρίας (7) κλίτος ὁρᾷ

(1) A, λίθροις. B, λίθρον. Modo addidi καί.

(2) Codd. ὑποπεπλ. Divisim scripsi.

(3) B, κορύβου, cum δ τῷ β superimposito. Ovid. *Corythi*.

(4) *Vitiantes*, Ovidius inquit; quod potius verterim διαφθείροντας: sed Noster habuit suo in codice, quod et in aliis fuit repertum, *mutantes*. De hac per oculos fascinatione seu βασκανίᾳ cf. notata ad Aristænet. p. 244.

(5) B, δ' ὑπερστυγήσας.

(6) Bis peccat. Reponendum Κέω Καρθήϊα.

(7) Codd. ὑβίας. At infra melior est lectio.

καὶ τὰ Κύκνεια Τέμπη, ἅπερ αὐτοσχέδιος ᾄκησε κύκνος. Καὶ γὰρ ὁ Φύλλιος ἐκεῖ, ἐρωμένου κελεύσει παιδὸς, καὶ πέλεινὰ καὶ δεινὸν λέοντα δαμασθέντα παρέδωκε, καὶ ταῦρον, νικῆσαι κελευσθεὶς, ἐνίκησεν. Ἔσθ' ὅτε δὲ, τοῖς παιδικοῖς (1) ὀργιζόμενος, ἀπηναίνετο δῶρα μεγάλα ταῦρον αἰτοῦντι παρέχειν· ὁ δ', ἀναξιοπαθήσας, « Ἐπιθυμήσεις » εἶπε « δοῦναι » καὶ ἀφ' ὑψηλοῦ καθεπήδησε σκοπέλου. Καὶ πάντες μὲν ᾠοντο πεπλωκέναι· ὁ δὲ, κύκνος γενόμενος, λευκοῖς πτερυγίοις ἐν ἀέρι μετέωρος φαίνεται. Ἡ δὲ μήτηρ Ὑγεία, μὴ μαθοῦσα τοῦτον σωθέντα, κλαίουσα εἰς ὕδωρ ἐτάκη, καὶ λίμνην ἐκ τοῦ ὀνόματος αὐτῆς ἀπεργάσατο. Τούτοις παρέκειται Πλευρὼν, οὗπερ τεθμερεῖς πτέρυξιν ἡ Ὀφιὰς Ἰάμβη (2) τὰς τῶν παίδων πληγὰς ἐξέφυγεν. Ἐντεῦθεν τὰ τῆς Καλαυρείας Λητωΐδος ἀθρεῖ πεδία, ἅπερ σύνοιδε τῷ ἐν αὐτοῖς βασιλεῖ αὐτῇ συζύγῳ μεταβληθέντι εἰς ὄρνιν. Ἐν μέντοι τοῖς δεξιοῖς ἐστὶν ἡ Κυλλήνη, ἵναπερ ὁ Μενέφρων ἔμελλε τῇ τεκούσῃ συνευνασθήσεσθαι δίχην ἀγελαίων θηρῶν. Ὄρος πόρρωθεν καὶ τὸν Κηφισὸν, τοῦ ἐγχώρου θρηνοῦντα τὴν τύχην εἰς φώκην διῳδηκυῖαν τῷ Ἀπόλλωνι μεταμορφωθέντος, τήν τε Εὐμήλου οἰκίαν πενθοῦντος εἰς ἄερα τὴν θυγατέρα. Καὶ, τέλος, ταῖς δρακοντείαις πτέρυξι τῆς Πειρηνίδος Ἐφύρας ἥλατο. Ἐνταῦθα, ὡς ὁ τῶν πρεσβυτέρων λόγος αἱρεῖ, μετέστησαν τὰ τῶν ἀνθρώπων σώματα τοῖς ὁμ-

(1) Codd. παιδίοις. Puto non male emendavisse. Quid sint τὰ παιδικὰ docet nota ad Philostrati Heroica pag. 410.

(2) Sic codd. Planudem hic reprehendit Regius quod Ἰάμβην dixerit quæ Κόμβη dicenda fuit. Infra codd. κυφισόν.

βρ'οις μύκησιν ἀνεδόθη. Ἀλλ' ἐπεὶ (1) τοῖς Κολχικοῖς φαρμάκοις ἡ νέα νύμφη ἐμπέπρησται, καὶ κακῶς εἶδε (2) τὸν τοῦ βασιλέως οἶκον καιόμενον, καὶ τῷ λύθρῳ τῶν τέκνων ἑκατέρου τὸ ἀσυμπαθὲς ξίφος περιερράνθη, καὶ ἡ μήτηρ ἑαυτῇ κακῶς ἤμυνε, καὶ τὰ τοῦ Ἰάσονος διέφυγεν ὅπλα, ἐντεῦθεν (3) τοῖς Τιτανιακοῖς μετεωρισθεῖσα δράκουσιν, εἰς τὴν τῆς Παλλάδος ἀκρόπολιν εἴσεισιν· ἥ σε, δικαιότατε Φινεῦ, καὶ σὲ, Περίφα γέρον, ἱπταμένους (4) κατὰ ταυτὸν ἐθεάσατο, καὶ τὴν τοῦ Πολυπήμονος δητα θυγατριδην καινὰ περικειμένην πτερά. Ἐδέξατο δὴ ταύτην Αἰγεὺς, ἑνὶ τούτῳ κατηγορητέος· καὶ οὐδ' ἅλις εἶχεν αὐτῷ τῆς ξεναγίας, ἀλλὰ καὶ θαλάμου πίστιν αὐτῇ συνάπτει. Ἤδη δὲ καὶ ὁ Θησεὺς παρῆν, γόνος ἀγνοούμενος τῷ πατρὶ, ὃς τῇ οἰκείᾳ ἀρετῇ τὸν διθάλασσον ἐξημέρωσεν ἰσθμόν. Ἡ Μήδεια δὲ, πρὸς ὄλεθρον τοῦδε, κίρνησιν ὃ πρὶν, μεθ' ἑαυτῆς, ἐκ τῶν Σκυθικῶν ὁρίων ἀκόνιτον ἤνεγκεν, ὅπερ ἐκ τῶν ὀδόντων τοῦ ἐχι-

(1) B, ἐπὶ, permutatione jam notata pag. 265. Et alias voces iotacismus vitiavit. Sic ad 352, A B, φιλύριον, pro quo scripsi φιλύρειον, penultima producta; sic ad 356, A B, δευκαλιωνίους: ad 365, B, φοιβίαν: ad 430, A B, ἐρεχθίδαις: ad 195, A B, ὄρνις: cf. pag. 199.

(2) Codd. οἶδε: cf. not. ad Nicetam Eugen. pag. 304, de synchysi horum temporum. In Luciani Epist. Sat. 37, οἶδεν ἐκεῖνος: ibi cod. Reg. 2600, εἶδε non bene. Sed est et aliud notandum. Pro *mare* Planudes legit *male*, et absurdam Ovidianæ quæ recta est sententiam substituit. Reponendum: καὶ τὸν τοῦ βασ. οἶκον καιόμ. ἀμφοτέρα εἶδε θάλασσα. Jam permutationem literarum *l* et *r* notavimus.

(3) Editi hic plene distinguunt.

(4) B, ἱπταμένη, corruptione syllabarum finalium non rara: sic ad 113, B, διχηλοῦντες: ad 186, B, κοιμιζομένη: ad 482, A, συμμάχησιν: ad 610, B, καιοντι: ad 669, B, συνέλεγεν: ad 752, A B, ὁμοφρόνους: ad 789, A, ἀναλαβεῖν: ad 804, B, βαλόντα. Cf. pp. 196, 215, 237.

δναίου κυνὸς μνημονεύουσι φύναι. Ἔστι γάρ τι σκοτεινὸν ζοφώδους χάσματος σπήλαιον (1), ἐν ᾧ κατάντης τίς ἐστιν ὁδὸς, δι' ἧς ὁ Τιρύνθιός ποτε ἀνθιστάμενον, καὶ πρός τε τὴν ἡμέραν καὶ τὰς λαμπρὰς ἀκτῖνας βλοσυρῶς λοξοῦντα τοὺς ὀφθαλμοὺς, ἁλύσεσιν ἐξ ἀδάμαντος πλακείσαις τὸν Κέρβερον ἐξανήγαγεν· ὃς, λυσσώδει θυμῷ διερεθιζόμενος, ὁμοῦ τε ταῖς τριπλαῖς ὑλακαῖς τὸν ἀέρα πεπλήρωκε, καὶ τοὺς χλοάζοντας ἀγροὺς ἀφρῷ διέῤῥανε λευκῷ, ὃν ηὐξῆσθαι νομίζουσι, καὶ, τροφῇ καὶ ἀρδείᾳ χρησάμενον τῇ τῆς εὐφόρου τε καὶ γονίμου γῆς, δύναμιν εἰληφέναι τοῦ βλάπτειν· ὅπερ, παρ' ὅσον ἐπὶ σκληρᾶς φύεται θαλερὸν πέτρας, ἀκόνιτον ὠνόμασαν οἱ ἀγρόται. Τοῦτο, τῇ τῆς γυναικὸς πονηρίᾳ τε καὶ δεινότητι, αὐτὸς ὁ πατὴρ Αἰγεὺς, οἷάπερ ἐχθρῷ, προὔπιε τῷ υἱῷ. Ὁ δὲ Θησεὺς, ἀγνοίᾳ, τὴν προτεινομένην ἔλαβε κύλικα. Τότε τοίνυν ὁ πατὴρ, ἐν τῷ ἐλεφαντοκώπῳ ξίφει τὰ τοῦ ἰδίου γένους ἀναγνοὺς σύμβολα, τὸν δόλον τοῦ στόματος τοῦ παιδὸς ἀπεῤῥάπισεν. Ἡ δ' ἐκφεύγει τὸν θάνατον, ἐπῳδῇ νεφέλην περὶ αὑτὴν κινήσασα. Ὁ δὲ πατὴρ, εἰ καὶ τὰ μάλιστα χαίρει σωθέντι (2) τῷ υἱῷ, ἐμβεβρόντητο δ' ὅμως, ἅτε δὴ κεκινδυνευμένον μικρᾷ τινὶ διαστολῇ μεγάλην ἀνοσιουργίαν τολμῆσαι· καὶ δὴ πῦρ ἐν τοῖς βωμοῖς τρέφει, καὶ δώρων ἐμπίπλησι τοὺς θεούς· καὶ πελέκεις τύπτουσι κροτάφους ταύρων ταινίαις συνδεδεμένων. Οὐδὲ μία τοῖς Ἐρεχθείδαις ἡμέρα τῆς ἡμέρας ἐκείνης

(1) A, χάσματος πήλαιον: quo de mendorum genere cf. p. 265.

(2) Codd. σωθέντα. Sæpe terminationes ι et α confundi ostendit nota ad Nicet. Eugen. pp. 175, 388.

τερπνοτέρας λέγεται ἀναπεπταμένας, ἄγουσί τε συμποσία οἱ τῆς πόλεως προύχοντες καὶ τὸ τοῦ δήμου κοινόν· ναὶ μὴν καὶ ᾠδὰς, νοῦν τοῦ οἴνου ἐμποιοῦντος, προσάδουσι· « Σὲ, μέγιστε Θησεῦ, ὁ Μαραθὼν
435 » θαυμάζει, τῷ τοῦ Κρητὸς αἵματι ταύρου· καὶ τὸ » τὸν κολωνὸν ἀρρῆν ἀσφαλῶς τὴν ἑαυτοῦ Κεφισσῶνα, » σὸν καὶ δῶρον καὶ ἔργον ἐστί. Διὰ σοῦ δ' ἡ Ἐπι- » δαυρία γῆ τὸν κορυνήτην Ἡφαίστου παῖδα πεπλω- » κότα τεθέαται, καὶ ἡ Κηφισιὰς χώρα τὸν ἀπηνῆ » Πρηκρούστην. Εἶδε καὶ τὸν Κερκύονος θάνατον ἡ
440 » Δημήτριος Ἐλευσίς. Πέπλωκε κἀκεῖνος (1) κακῶς » τῇ ἰδίᾳ ῥώμῃ χρησάμενος, ὃς οἷός τ' ἦν δένδρα » κάμπτειν, καὶ ἀφ' ὕψους εἰς γῆν ἧγε τὰς πίτυς, » τὰς εἰς τὸ πεδίον τὰ τῶν ἀνθρώπων μέλη δια- » σπειρούσας. Ἀκίνδυνος δ' ὁδὸς ἀπ' Ἀλκαθόης εἰς » τὰς Λελεγείας (2) πόλεις, τοῦ Σκείρωνος ἐκποδὼν (3) » γεγενότος, ἠνέωκται· καὶ τοῖς τοῦ νησιοῦ δια-
445 » σπαρεῖσιν ὀστέοις, καὶ γῇ καὶ θάλασσα τούτοις » ἀνάπαυλαν πᾶσαν ἀναίνεται, ἅπερ ἐπὶ πλεῖστον » ἀγόμενα καὶ φερόμενα εἰς σκοπέλους ἡ τοῦ χρόνου » ἀρχαιότης ἀπολιθωθῆναί φησι· καὶ τοῖς σκοπέλοις » προσίσχειν τὸ τοῦ Σκείρωνος ὄνομα. Εἰ τῶν σῶν » κατορθωμάτων καὶ τῶν ἐτῶν μνησθῆναι ἐθελήσαι- » μεν, αἱ ἀσιτίαι τῶν ἐτῶν ὑπερέχουσιν (4). Ὑπὲρ
450 » σοῦ, ἀνδρικώτατε, κοινῇ τὰς εὐχὰς ἀναφέρομεν, καὶ » ἐν σοὶ σπῶμεν τοῦ Διονύσου. » Ταύτῃ τῇ εὐνοίᾳ

(1) Non habuit suo in libro nomen ἐκείνου. Supple e latinis, κἀκεῖνος Σίνις. A, mox sine ὅς.

(2) Codd. λεγείας. B modo, ἀλλαθόης. Plan. legit *ab Alcathoe*.

(3) Codd. ἐκποδός. B, e corr. ἐκποδών. Plan. legebat *sparsis*.

(4) Planudes legebat *premunt*: *prement* aut *premant* aliorum æque rectum fuerit.

τοῦ δήμου καὶ ταῖς τῶν εὐφημούντων εὐχαῖς συμφωνεῖ καὶ ἡ χώρα πᾶσα, καὶ τόπος οὐδείς ἐστιν ἐν ἐκείνῳ τῷ τόπῳ (1) στυγνάζων.

Ἀλλὰ γὰρ ὄντως οὐκ ἔστιν ἥτις τῶν ἡδονῶν ἐστὶ καθαρὰ, ἀλλά τι καὶ δύσθυμον τοῖς τερπνοῖς συνεισέρχεται (2). Καὶ γὰρ Αἰγεὺς μὲν, τὸν υἱὸν ἀπολαβὼν, ἀσφαλῆ τὴν εὐφροσύνην ἀνέλαβεν· ὁ δὲ Μίνως πόλεμον εὐτρέπιζει, ὃς, εἰ καὶ τὰ μάλιστα καὶ ἐγγείῳ στρατιᾷ καὶ τῷ ναυτικῷ δυνατὸς ἦν, τῷ πατρικῷ δ' ὅμως θυμῷ ἀκμαιότατος ἦν, καὶ τὸν (3) τοῦ Ἀνδρόγεω θάνατον δικαίοις μέτεισιν ὅπλοις. Πρό γε μὴν τοῦ πολέμου, συμμαχίδας δυνάμεις ἀθροίζει, ὅποι τέ οἱ ἀνέωγεν εἴσοδος, πτηνῷ στόλῳ διὰ τοῦ πελάγους ἀλᾶται. Ἐντεῦθεν τὴν Ἀνάφην ἑαυτῷ καὶ τὴν Ἀστυπαλαίαν πολέμῳ συνάπτει (4). Ἐντεῦθεν τὴν χθαμαλὴν Μύκονον, καὶ τὴν λευκόγεων χώραν τοῦ Τμώλου (5), καὶ τὴν πολυανθῆ Τύρον, καὶ Κύπρον, καὶ τὴν ὁμαλὴν Σέριφον, καὶ τὴν μαρμαρόεσσαν Πάρον, καὶ ἣν ἡ δεινὴ Σιθονὶς προὔδωκεν Ἄρνιν (6), χρυσὸν λαβοῦσα ὃν ἡ φιλάργυρος ᾔτησε, καὶ εἰς ὄρνιν

(1) Malum quæsivit acumen in repetitione. Velim ἐν ἐκείνῃ τῇ πόλει, ad latinorum ductum.

(2) Multa ad illustrationem sententiæ congessit Rittersh. ad Ligur. c. 5, et in Indice sub *Voluptas*. Quum Manasses in Mythistoriæ Fragm. III, 64, dixisset, Ἀλλ' ἄκρατον εὐτύχημα τίς γηγενῶν εὑρήσει; Ἡ τύχη γὰρ, ὡς ἔοικεν, ἐν τούτοις δυσμεναίνει, Καὶ τοῖς τερπνοῖς παρακιρνᾷ καί τι τῶν πικραζόντων: ibi nonnulla similia adposui. Planudes noster hic erravit. Debuisset saltem scribere οὐκ ἀσφαλῆ.

(3) B, δυνατὸς ἦν, καὶ τὸν, mediis omissis.

(4) Omissus est Ovidii versus, « Promissis Anaphen, regna Astypaleïa bello » : repone, καὶ τὴν Ἀστ., ὑποσχέσεσιν Ἀνάφην, Ἀστυπαλαίαν πολέμῳ, συνάπτει. Et hic τὸ ὁμοιοτέλευτον lacunæ causa fuit.

(5) Habuit malam lectionem, *Tmoli*. Corrigas, Κιμώλου.

(6) Non mutavi codicum ἄρνιν. In hoc loco Noster suum librum secutus est, qui ut et ceteri fuit

μεταμορφώθη· καὶ νῦν εἰσέτι φιλεῖ τὸν χρυσὸν, μέλας μὲν τοὺς πόδας, μέλασι δὲ πτερυγίς ὁ κολοιὸς (1) καλυπτόμενος. Ἀλλ' οὐχὶ καὶ Ὠλένεως, καὶ Διδύμη, καὶ Τῆνος, καὶ Ἄνδρος, καὶ Γύαρος, καὶ ἡ καθαρὸν ἐλαίαν φέρουσα Πεπάρηθος, ταῖς Κνωσιακαῖς ναυσὶ συνεμάχησαν. Ἐντεῦθεν τῷ λαιῷ μέρει τὴν Οἰνοπίαν ὁ Μίνως ζητεῖ τὴν Αἰακίδειον βασιλείαν, ἣν Οἰνοπίαν μὲν οἱ παλαιοὶ προσωνόμασαν, ἀλλ' αὐτὸς Αἰακὸς Αἴγιναν τῷ τῆς μητρὸς προσεῖπεν ὀνόματι. Συῤῥεῖ τοίνυν τὸ πλῆθος (οὐ γὰρ ὀλίγοι ἦν) ἄνδρα γνῶναι τοσαύτης φήμης. Πρασίαι δ' ἐκείνῳ Τελαμών τε καὶ ὁ ἐλάττων ἢ Τελαμὼν Πηλεύς, καὶ τὸ τρίτον τέκνον ὁ Φῶκος· καὶ αὐτὸς δ' ὁ Αἰακὸς ἕξεισι, βραδὺς τῷ γηραλέῳ βάρει· καὶ τίς ποτ' ἂν ἡ τῆς ἀφίξεως αἰτία εἴη ζητεῖ. Ἀναμνησθεὶς δὲ τοῦ παλαιοῦ πένθους, στενάζει, κἀκείνῳ τοιαῦτα δὴ ἀναγγέλλει ὁ τῶν ἑκατὸν πόλεων βασιλεύς· « Τοῖς ὑπὲρ τέκνου ληφθεῖσιν » ὅπλοις συμμάχησον, ἱκετεύω, καὶ τῇ δικαίᾳ στρα- » τιᾷ προσόμοιος ἴσθι (2). Παραμυθίαν γὰρ ἐπὶ τά- » φῳ αἰτῶ. » Τῷ δ' ὁ Ἀσωπίδης « Ἀνυπόστατ' αἰ- » τεῖς » εἶπε, « καὶ οὐδὲ πολ' ἂν τῇ ἐμῇ ποιητέα

depravatus. Vide interpretis ad textum notas.

(1) Inserui ὁ κολοιός, quod respondeat latino *monedula*. Planudes, qui nesciebat quæ esset hæc avis, lacunam pro voce reliquit. Jam non semel hanc interpretis modestiam observavimus. Videtur *monedula* esse illam cornici similem avem, quam gallice vocamus *chouëas*. Lexica vulgaria monedulæ synonymum exhibent *la chouette*, errore non minimo. Planudes latina qui sequebatur scripsit μέλαινα et καλυπτομένη; sed, nunc ob nomen κολοιός, μέλας fuit scribendum et καλυπτόμενος.

(2) Planudes, pro *pars sis*, habuit, vel habere se putabat, *par sis*. Repone, καὶ τῆς δικαίας μέρος στρατιᾶς γενοῦ. *Par* et *pars* in latinis codicibus confusa estendi ad Nicet. pag. 139.

» πόλει. Οὐδὲ γὰρ ἄλλη τις γῆ τῆσδε τῆς χώρας » μᾶλλον τοῖς Κεκροπίδαις συνῆπται. Εἰσὶ γὰρ ἡμῖν » πρὸς ἀλλήλους ὁμολογίαι.» Ὁ μὲν εἶπεν· ὁ δ' ἄπεισι σκυθρωπάζων, καὶ «Μεγάλου σοι τιμήματος» εἶπεν « ὁμολογίαι στήσονται αὗται.» Καὶ δὴ συμφορώτερον (1) οἴεται τὸν πόλεμον ἀπειλεῖν, ἢ μεταχειρίζεσθαι κἀν τούτῳ τὰς ἑαυτοῦ προαναλίσκειν (2) δυνάμεις.

Ὁ μὲν οὖν Λύκτιος (3) στόλος ἀπὸ τῶν Οἰνοπίων τειχῶν ἔτι καθορᾶσθαι δυνατὸς ἦν, Ἀττικὴ δὲ ναῦς πλησίστιος φερομένη παρῆν, καὶ πρὸς τὸν φίλον εἴσεισι λιμένα, ἢ τόν τε Κέφαλον ὁμοῦ καὶ τὰς τῆς πατρίδος ἐντολὰς ἔφερεν. Οἱ δ' Αἰακίδαι νεανίαι καὶ μετὰ μακρὸν χρόνον ὀφθέντα ἔγνωσαν ὅμως τὸν Κέφαλον, καὶ δεξιὰς ἔδωκαν, καὶ πρὸς τὸν τοῦ πατρὸς οἶκον ἡγήσαντο (4). Εἴσεισι δ' ὁ ἥρως ἀξιοθέατος, καὶ τῆς τε παλαιᾶς μορφῆς ἔτι παρακατέχων ἐχέγγυα, καὶ κλάδον ἔχων ἐλαίας αὐτόχθονος, κἀν τῇ δεξιᾷ καὶ λαιᾷ δύο τὴν ἡλικίαν ἥττους μείζων αὐτὸς φέρων, Κλύτον καὶ Βούψην (5), τοὺς Πάλλαντος παῖδας. Ἐπεὶ δ' εἰς ταυτὸν ἐλθόντες πρῶτοι τοὺς ἑαυτῶν λόγους οἱ Κεκροπίδαι προήνεγκαν, ὁ Κέφαλος τὰς ἐντολὰς ἀπαγγέλλει, καὶ συμμαχίαν αἰτεῖ, καὶ τὰς σπονδὰς ἀναμιμνήσκει, καὶ τοὺς ὅρκους δὴ τῶν προγόνων, καὶ προστίθησι τὴν τῆς Ἑλλάδος πάσης κινδυνεύειν ἀρχήν. Καὶ δὴ τῆς εὐγλωττίας αὐτοῦ ταῖς ἐπὶ τοῖς ἐντεταλ-

(1) Legitur in codd. συμφερώτ.

(2) Codd. προσαν. Sed procul dubio quod do dedit Planudes. Ovidius, *præconsumere*. Πρὸ et πρὸς ubique a librariis confunduntur. Supra ad v. 459, B exhibet πρὸς male, ubi A recte fert πρό. Cf. supra pag. 174.

(3) Glossa in B: Λύκτος, πόλις Κρήτης.

(4) B ad marg. εἰσήγαγον.

(5) Hæc est codicum scriptura.

μένοις αἰτίαις συναιρεθμένης, ὁ Αἰακὸς, ἐπὶ τῷ ἄκρῳ τοῦ σκήπτρου τῆς εὐωνύμου χειρὸς λαμπούσης (1), « Μὴ αἰτεῖτε συμμαχίαν, Ἀθηναῖοι, ἀλλὰ λάβετε » εἶπε, « μηδ' ἀμφιβόλως τὰς τῆσδε τῆς νήσου (2) δυ- » νάμεις ὑμετέρας λέγετε. Καὶ πᾶσα τῶν ἐμοὶ θερ- » σόντων ἡ κῆπσις ἥδε σὺν ὑμῖν ἔτω. Τοῖς θεοῖς χά- » ρις· χαιρὸς εὐδαίμων καὶ ἀπαραίτητος. Δυνάμεων » οὐκ ἔστιν ἡμῖν ἔνδεια· εὐθηνεῖ γάρ μοι στρατὸς καὶ » θεὸς τοὺς ἐχθρούς. » — « Ἀλλ' οὕτω γ' εἴη » ! ὁ Κέφαλος εἶπε « καὶ ἐπιδίδοιεν οἱ πολῖται τῆς ὑμε- » τέρας πόλεως εὔχομαι. Καὶ γὰρ θερσιὼν ἥδο- » νὴν ἐδεξάμην, τοσαύτης νεότητος εὐειδοῦς, καὶ τὴν » ἡλικίαν ἴσης, εἰς συνάντησίν μοι θερχωρησάσης. » Πολλούς γε μὴν ἐντεῦθεν ἀναζητῶ, οὓς εἶδόν πολε, » ἡνίκα με θρώτως ἡ ὑμετέρα πόλις ἐδέξατο. » Πρὸς ταῦτα στενάξας, ὁ Αἰακὸς οὕτως ὀδυνωμένῃ φωνῇ εἶπεν· « Ἀνιαρῷ θεροιμίῳ χρεῖττον ἐπηκολούθησε » τύχη. Εἴθε δυνηθείην ταύτης ἐν ὑμῖν μνημονεῦσαι! » Δίκα δέ τινος θεροιμίου ταύτην νῦν ἀναλήψομαι, » τοῦ μὴ πειστοῖς ὑμᾶς λόγοις ἐπέχειν. Ὀστᾶ κεῖν- » ται καὶ κόνις οὓς καλὰ νοῦν μνημονεύων ἀναζητεῖς. » Καὶ ὅσον μέρος τηνικαῦτα τῶν ἡμετέρων ἀπώλετο! » Λοιμὸς γὰρ χαλεπὸς τῷ δήμῳ κατ' ὀργὴν (3) τῆς » ἀπηνοῦς Ἥρας ἐνέσκηψεν, ἀπηχθημένης τῇ γῇ » τῇδε, τῇ παρὰ τὴν ἀστίβητον ἐκείνης ὀνομασθείσῃ. » Μέχρι μὲν οὖν ἀνθρώπινον τὸ κακὸν ἐδόκει, καὶ

(1) Latinum *nitente* putavit esse Planudes idem hic ac *nitida*. Repone, ἐρειδομένης.

(2) A, τόσου. Statim Planudes versuum 510, 511, ordinem intervertit. Infra B, εὐθυνεῖ.

(3) Legisse videtur Planudes, « Dira lues populis ira Junonis. »

» τοῦ τηλικοῦδε ὀλέθρου ἡ βλάπτουσα αἰτία ἐκρύ-
» πτετο, ἰατρῶν ἐμαχόμεθα πρὸς αὐτὸ τέχναις. Ἀλλ'
» ἡ φθορὰ τῆς ἐπικουρίας περιεγένετο, καὶ ὅ, τι
» ποτὲ πρὸς βοήθειαν ἦν ἡττώμενον ἔκειτο. Πρῶτα
» μὲν οὖν οὐρανὸς πεπυκνωμένῳ ζόφῳ τὴν γῆν ἐπε-
» βάρυνε, καὶ νωθρὸν καύσωνα ταῖς νεφέλαις ἐνέ-
» κλεισεν· ἐπεὶ δὲ τετράκις ἡ σελήνη πλήρεσι (1)
» κεραίαις τὸν οἰκεῖον περιελήλυθε κύκλον, καὶ τε-
» τράκις λεπτυνθεῖσα τὸν πρὶν ἀνεκτήσατο κύκλον,
» τοῖς θανατηφόροις καύμασι θερμοὶ νότοι ἐπέ-
» πνευσαν. Περιΐσταται γοῦν ὡς καὶ πρὸς πηγὰς καὶ
» λίμνας τὸ πάθος ἐλθεῖν, καὶ πολλὰ πλήθη τῶν
» ὀφεων ἐπὶ τῶν ἀνεξεργάστων ἀγρῶν ἀλᾶσθαι, ὡς
» τῷ ἑαυτῶν ἰῷ καὶ τοὺς ποταμοὺς διαφθεῖραι. Καὶ
» πρῶτα δὴ τῇ τῶν κυνῶν πτώσει, καὶ πετεινῶν καὶ
» ὀρνίθων (2), καὶ βοῶν καὶ θηρῶν, ἡ τοῦ αἰφνιδίου
» ὀλέθρου κατελαμβάνετο δύναμις. Καὶ θαυμάζει
» τοὺς οἰκείους ταύρους ὁ ταλαίπωρος γεωργὸς,
» καὶ ταῦτ' ἰσχυροὺς ὄντας, μεταξὺ τῆς ἐργασίας
» καταβαλλομένους, καὶ ἐν μέσῃ τῇ αὔλακι πίπτον-
» τας· τοῖς τε πρόβασι, βληχηθμὸν ἀναδιδοῦσιν (3)
» ἠῤῥωστηκότα, αὐτόματόν τε πίπτει τὸ ἔριον καὶ
» τὰ σώματα τήκεται. Ὁ δὲ πρὶν ὀξὺς ἵππος, καὶ
» μεγάλης ἐν τοῖς ἀγῶσι τυγχάνων φήμης, ἀφαιρεῖ-

(1) Planudis codex ferebat, quæ et in Regiis libris inventa fuit, lectionem, « *plenis* (non » *junctis*) implevit cornibus or- » bem. » Sed, etsi placere viro doctiss. videatur, vix potuit *plenis implevit* Ovidius scribere. Et Planudem ipsum vitium hoc dissimulare voluisse intelligis.

(2) Ovidius : « volucrumque *ovium*que. » Legit absurde Planudes *avium*, quod jam, adductis ejus verbis, Accursius notavit. Repone, *ὀΐων*.

(3) A, *ἀναδιδοῦσα*. In B hic charta est mutila.

» ται τὴν τῆς γνώμης εὐγένειαν, καὶ τῶν παλαιῶν ἐπι-
» λελησμένος τιμῶν (1), παρὰ τῇ φάτνῃ στένει, μα-
» κρᾷ θανούμενος ἀργίᾳ (2). Ἀλλ' οὐδὲ κάπρος τῆς ὀρ-
» γῆς μέμνηται, οὐδ' ἔλαφος τοῦ καταπεποιθέναι (3) τῷ
» δρόμῳ, οὐδ' ἐπιέναι ταῖς ἀγέλαις οἱ ἄρκτοι. Πάντα
» δ' ἡ νόσος ἔχει. Κἀν τοῖς δρυμοῖς καὶ τοῖς ἀγροῖς
» ὀδωδότα σώματα κεῖται, καὶ ὁ ἀὴρ τῇ ἐκεῖθεν
» ὀδμῇ μολύνεται. Θαυμαστὰ λέξω· οὔκουν ἐκείνων
» κύνες, οὐδ' ὄρνιθες λίχνοι, οὐδὲ λύκοι πολιοὶ, ἥψαν-
» το· διεῤῥυηκότα δὲ τήκεται, καὶ λυμαίνεται ταῖς
» ἀναπνοαῖς, καὶ διαδίδωσιν εἰς πλάτος τὸν μο-
» λυσμόν. Ἦλθε μὲν οὖν βαρυτέρῳ κινδύνῳ πρὸς
» τοὺς ταλαιπώρους ἀγρότας ὁ λοιμός· ἀλλὰ κἀν
» τοῖς τείχεσι τῆς μεγάλης πόλεως βασιλεύει. Καὶ
» πρῶτα δὴ τὰ σπλάγχνα τῶν ἀνθρώπων συστρέ-
» φεται, καὶ τοῖσι καύμασιν ἐκλύεται (4). Τούτου δὴ
» σύμβολον ἐρυθρότης καὶ ἀναπνοὴ πυρὶ προιεμένη·
» τραχυνομένη δ' ἡ γλῶσσα ἐξοιδαίνει, καὶ τὸ στό-
» μα, τῶν φλεβῶν ξηραινομένων, ἠνέῳγε, καὶ βαρὺς
» ἀὴρ κεχηνόσιν αὐτοῖς συλλαμβάνεται. Οὔτ' οὖν
» κλίνης, οὔτε τινὸς ἐνδύματος ἀνέχεσθαι δύνανται·
» σκληρὰ μὲν ἀλλ' ἐπὶ γῆς τιθέασι τὰ περικάρδια·
» ἀλλ' ἥκιστα τὸ σῶμα τῇ γῇ ψυχρότερον γίνεται·
» ἡ δὲ γῆ θερμαίνεται μᾶλλον τῷ σώματι. Οὐ δ' ὁ
» θεραπεύων πάρεστι· καὶ εἰς αὐτοὺς γὰρ δῆτα
» τοὺς ἰατροὺς τὸ πάθος ἐνέσκηψε, καὶ τοῖς τεχνί-

(1) Planudes lectionem *palmæ* vel *palmas* vertere noluisse videtur.

(2) Habuit malam interpres noster lectionem, *longo inerti.*

(3) A, τοῦ πεποιθέναι.

(4) Habuit notam et aliunde lectionem, *flammisque fatiscunt.*

» ταις αἱ τέχναι ἀνθίστανται. Ὅσον δέ τις μᾶλλον
» προσήκων ἐστί τινι καὶ πιστότερον τῷ νοσοῦντι
» ὑπηρετεῖται, τοσοῦτον διὰ ταχέων εἰς μέρος εἶσι
» καὶ αὐτὸς τοῦ ὀλέθρου. Καὶ σωτηρίας ἐλπὶς ἀπώ-
» λετο, καὶ τὸ τέλος τῆς νόσου ἐν τῷ θανάτῳ
» προβλέπουσι· διὰ δὴ (1) ταῦτα χαρίζονται ταῖς
» ἐπιθυμίαις, καὶ φροντὶς οὐδὲ μία τοῦ τί ποτ' ἂν
» ὠφελοῦν εἴη· ὠφέλιμον γάρ ἐστιν οὐδὲ ἕν. Διεσκε-
» δασμένοι δὲ, καὶ τὴν αἰδῶ ἀποτεθειμένοι, πηγαῖς,
» καὶ ποταμοῖς, καὶ φρέασι πολυχωρήτοις προσίσχον-
» ται· καὶ οὐ πρότερον ἡ δίψα πινόντων ἔσβεσται
» πρὶν ἡ ζωή· ὅθεν πολλοὶ βαρυνόμενοι ἥκιστα τοῦ
» ἀναστῆναι δυνάμεως ἔχουσι, αὐτοῖς δὲ τοῖς ὕδασιν
» ἐναποβιοῦσιν· ὅμως δέ τις θνήσκων ὕδατος ἤντλει.
» Τοσοῦτον δὲ τοῖς ἀθλίοις μῖσος τῆς νεμεσητῆς στρω-
» μνῆς γέγονεν, ὥστ' ἐκπηδῶσιν ἐκ ταύτης, ἢ, εἴπερ
» τὸ μὴ δύνασθαι κωλύει τοῦ ἀναστῆναι, κατὰ γῆς
» κυλίουσι τὰ σώματα, καὶ φεύγουσι τοὺς ἰδίους θα-
» λάμους ἕκαστος, καὶ ἑκάστῳ ὁ ἴδιος οἶκος ὀλέθριος
» εἶναι δοκεῖ· κρυπτομένης γὰρ τῆς αἰτίας, ὁ τόπος
» δέχεται τὴν κατηγορίαν. Ἡμιθνῆτας ἂν εἶδες ἐν ταῖς
» ὁδοῖς ἀλωμένους, μέχρις ἵστασθαι εἶχον, θρηνοῦν-
» τας ἑτέρους, κατὰ γῆς τε κειμένους, καὶ κεκμη-
» κότας τοὺς ὀφθαλμοὺς τὴν τελευταίαν στρέφοντας
» κίνησιν. Καὶ δὴ τὰς χεῖρας πρὸς τοὺς ἀστέρας τοῦ
» ἐπικειμένου τείνουσιν οὐρανοῦ, ἔνθαπερ ὁ θάνατος
» ἐκπνέοντας τούτους κατέλαβε (2). Τί μοι τηνικαῦτα
» τῆς ψυχῆς ἦν; ἢ τί μοι προσεῖναι ἔδει, ὅτι μὴ

(1) A, δέ: confer not. p. 275.
(2) B, κατελάμβανε: quæ temporum permutatio jam notata fuit supra pp. 104, 105, 213.

» τὴν ζωὴν μισῆσαι, καὶ μέρος τι τῶν ἐμῶν γενέ-
» σθαι ἐπιθυμεῖν; Ἡνίκα γὰρ ἂν καὶ οἷπερ ἂν ἑαυτὴν
585 » ἡ τῶν ὀφθαλμῶν ὄψις ἔστρεφεν, ἐκεῖ καὶ δῆμος
» κατέστρωτο, ὥς ποτε σεσημμένα (1) μῆλα, δονουμέ-
» νων τῶν κλάδων, πίπτει, καὶ βάλανοι, πρίνου κινη-
» θέντος.

» Ὁρᾷς τὸν κατ' ἀντικρὺ νεὼν, τὸν τοῖς μακροῖς
» ἀναβαθμοῖς ὑψηλόν· Ζεὺς ἐκεῖνον κατέχει. Τίς δ'
» οὖν ἐκείνοις τοῖς βωμοῖς οὐ μάταια θύματα δέ-
590 » δωκεν; Ὁσάκις ὑπὲρ συνεύνου σύνευνος, ὑπὲρ παι-
» δὸς πατὴρ, μεταξὺ τὰ τῆς ἱκετείας ῥήματα λέγων,
» ἐν τοῖς ἀδυσωπήτοις βωμοῖς τὴν ψυχὴν ἐξέπνευ-
» σε; κἂν τῇ τούτου χειρὶ μέρος τι τοῦ θυμιάμα-
» τος οὔπω δαπανηθὲν (2) εὕρηται. Ὁσάκις ἐν τοῖς τῶν
» ναῶν ἀδύτοις τὰς εὐχὰς τοῦ ἱερέως ἀνάγοντος, καὶ
595 » οἶνον ἄκρατον μεταξὺ τῶν κεράτων χέοντος, ἀπρο-
» σδοκήτῳ οἱ ταῦροι πληγῇ ἔπεσον; Αὐτοῦ ἐμοῦ ἱερὰ
» τῷ Διὶ ὑπὲρ ἐμαυτοῦ καὶ τῆς πατρίδος καὶ τῶν τριῶν
» παίδων τελοῦντος, δεινοὺς μυκηθμοὺς ἀνεδίδου τὸ
» θῦμα, καὶ ἐξαπιναίως δίχα πληγῆς ἡστινοσοῦν κα-
» ταπεσὸν, βραχυτάτῳ αἵματι τὸ ὑποκείμενον ἔβα-
600 » ψε ξίφος· καὶ λοβὸς ἀσθενήσας ἥπατος τὴν τἀλη-
» θοῦς γνῶσιν καὶ τὰς τῶν θεῶν ὑποθήκας ἀπώλεσε·
» τὸ γὰρ δεινὸν πάθος καὶ μέχρι τῶν ἐγκάτων διῆλ-
» θεν. Εἶδον (3) πρὸ τῶν ἱερῶν σταθμῶν ἐῤῥιμμένα τὰ
» πτώματα· πρὸ τῶν βωμῶν αὐτῶν, ὡς ἂν ἐπι-
» φθονώτερος ὁ θάνατος εἴη, καί τινες τούτων ἀγχόνῃ

(1) B, σεσημειωμένα : atque ad marg. ἢ σεσημασμένα.

(2) B, δαπανησθὲν : cf. p. 31, not. 1; et p. 39, ad v. 701, B exhibuit δαπανησθείσης.

(3) A exhibet εἶδος.

» συγκλείουσι τὴν ζωὴν, καὶ τὸν τοῦ θανάτου φόβον
» θανάτῳ φυγαδεύουσι, καὶ ἐκόντες κωλοῦσι τὴν
» ἐπιοῦσαν μοῖραν. Καὶ δὴ τὰ σώματα πίπτοντα τῷ
» θανάτῳ οὐκέτι πρὸς ἥντινα δὴ ταφὴν κατ' ἔθος
» ἐκφέρεται· οὐδὲ γὰρ αἱ πύλαι τῆς πόλεως ἐχώρουν
» τοὺς θνήσκοντας· ἀλλ' ἢ ἄταφα κεῖτο τὴν γῆν,
» ἢ δίχα τινὸς ὁσίας ἐδίδοτο τῷ πυρί. Ἤδη γοῦν
» αἰδὼς ἦν οὐδὲ μία, ἀλλ' ὑπὲρ πυρᾶς μάχονται,
» καὶ ἀλλοτρίῳ πυρὶ καίονται. Ναὶ μὴν καὶ δάκρυον
» ἄπεστι, καὶ ἄκλαυτοι (1) περιφοιτῶσιν αἱ τῶν τέ-
» κνων τε καὶ ἀνδρῶν καὶ νέων καὶ γερόντων ψυχαί,
» καὶ οὔτε τόπος πρὸς τύμβους ἀποχρῶν, οὔτε
» ξύλα πρὸς πυρὰν ἦν.

» Ἀτὰρ ἐγὼ τῇ τοσῇδε ταραχῇ τῶν δεινῶν ἐμ-
» βροντηθείς, Ζεῦ, εἶπον, εἰ μή σε μάτην λέγουσι
» πρὸς τὰς τῆς Ἀσωπίδος Αἰγίνης περιπλοκὰς ἐλη-
» λυθέναι ποτὲ, οὐδ' ἐπαισχύνῃ, μέγιστε πάτερ, ἡμέ-
» τερος εἶναι παλὴρ, ἢ μοι τοὺς ἐμοὺς ἀπόδος, ἢ
» κἀμὲ ῥίψον τάφῳ. Ὁ δὲ σύνθημα τῇ ἀστραπῇ
» δέδωκε, καὶ, βροντῆς ἑπομένης (2), Τοῦτο συμβάλ-
» λω, καὶ εἶεν αἴσια ταῦτα σύμβολα, δέομαι, τῆς
» σῆς γνώμης, εἶπον, ἄ μοι καὶ ὡς ἀγαθῆς ὀμφῆς
» ἐνέχυρα δοίης.

» Ἦν δ' ἑστία, τυχὸν οὕτω, κλάδοις ἀρχαιοῖς
» ἀναπεπταμένη ἱερὰ τῷ Διὶ δρυὸς τοῦ Δωδωναίου
» σπέρμαλος. Ἐκεῖσε τοίνυν ἡμεῖς ὁρῶμεν σπερμολό-

(1) B, ἄκλαυστοι, et supra, ἄκλαυτοι. Mox A, ξύλω.

(2) Miram versionem latinorum, *tonitruque secundo*, quod putavit esse pro *secundo post primum*, quum sit pro *fausto*. Repone, καὶ βροντῇ αἰσίᾳ, vel aliud quid in hunc sensum.

» γῆυς μύρμηκας μακρῷ τάγμαλι μέγα φορλίον μι-
» κρῷ σλόμαλι φέροντας, καὶ τὴν τείβον ἑαυλῖ̃ν ἐπὶ
» τοῦ ἐρρυλιδωμένου (1) τοῦ δένδρου τηρῶντας φλοιοῦ.
» Θαυμάζων δὴ τὸν ἀριθμὸν τούτων, Τοσούτους, ὦ
» πάτερ ἄρισλε, ἔφην, σύ μοι πολίτας δὸς, καὶ τὰ
» κενωθέντα τείχη μοι ἀναπλήρου. Ἐτρόμαξε γῆν,
» καὶ τοῖς κλάδοις ἐκ τοῦ πνεύμαλος κινηθεῖσιν ἦχον
» ἡ ὑλώδης δρῦς ἔδωκεν· ἐμοὶ δὲ δείσαντι τὰ μέλη
» τῷ φόβῳ ἔφριξε, καὶ αἱ τρίχες ὀρθαὶ ἔστησαν. Ὅμως
» γε μὴν φιλήμαλα τῇ τε γῇ ἔδωκα καὶ τῷ δένδρῳ·
» καὶ οὐκ ἂν νῦν φαίην (2) ὡς τότ' ἤλπιζον· ἤλπιζον
» δ' ὅμως, καὶ τῇ ψυχῇ τὰς εὐχὰς ἐμαυλοῦ περιέ-
» θαλπον. Νὺξ (3) τοιγαροῦν ἐπέστη, καὶ τὸ τέλαλαι-
» πωρικὸς σῶμα ταῖς φρουτίσιν ὕπνος κατέχει· καὶ
» μοι περὶ ὀφθαλμῶν ἡ αὐτὴ δρῦς παρεῖναι, καὶ
» τοσοίδε κλάδοι, καὶ τοσάδε ζῷα τοῖς ἑαυτῆς κλά-
» δοις φέρειν ἐδόκει, καὶ ἐπίσης τρέμουσα κινηθῆναι,
» καὶ τὸ πυρφόρον (4) σύσλημα τοῖς ὑποκειμένοις
» πεδίοις σκεδαννύναι· κἀντεῦθεν ἐξαίφνης αὐξάνειν
» τοῦτο δοκεῖ καὶ μεῖζον ἑαυτοῦ γίνεσθαι, καὶ τῆς γῆς
» ἐξαίρεσθαι, καὶ ὀρθίῳ σώμαλι ἵσλασθαι, καὶ τήν τε
» ἰσχνότηλα καὶ τὸν τῶν ποδῶν ἀριθμὸν καὶ τὴν μέ-
» λαιναν χροιὰν ἀπολίθεσθαι, καὶ μορφὴν ἐνδύεσθαι
» ἀνθρωπείαν τοῖς μέλεσιν. Ἀπέπλη τοίνυν ὁ ὕπνος·

(1) Ἐρρωλιδωμένου legitur in A.

(2) Legit *fatebor*, pro *fatebar*. Repone, καὶ οὐκ ἔφην ὡς ἤλπιζον, ad edita verba.

(3) Codd. νῦν. In Coluthi Raptu *v.* 309, νῦν pro νὺξ e codice feliciter restitutum iri disco a viro juvene nostræ artis studiosissimo, cui editionem poematioli hujus, mox Tryphiodori, mox majoris poetæ, feliciter et ex sententia procedere vehementer cupio.

(4) Sch. ad marg. in B, πυρφόρον, δηλονότι. Metuebat ne cum πυρφόρον confunderetur.

» ἐγὼ δ' ἐγρηγορὼς (1) τὴν ὄψιν ἐμαυτοῦ μέμφομαι,
» καὶ ἀσχάλλω, ὡς μηδεμιᾶς βοηθείας οὔσης ἐν τοῖς
» θεοῖς. Καὶ δὴ πολὺς θρῆνος ἦν περὶ τὴν οἰκίαν, καὶ
» φωνὰς ἀνθρώπων ἀκούειν ἐδόκουν ἀήθεις. Ὑποπλεύ-
» οντι δή μοι καὶ ταύτας ἐνύπνιον εἶναι ἔρχεται συν-
» τείνων ὁ Τελαμών, καὶ, τὰς θύρας ἀναπετάσας,
» Ἐλπίδος μείζω καὶ πίστεως, εἶπεν, ὦ πάτερ, ὄψει·
» ἀλλ' ἔξελθε (2). Ἔξειμι γοῦν, καὶ οἵους καλὰ τὴν ἐν
» ὕπνοις ὄψιν ἑωρακέναι τοὺς ἄνδρας ἐδόκουν, τοιού-
» τους ἐφεξῆς πάντας βλέπω, γνωρίζω τε τούτους.
» Οἱ δὲ πρεσβεῖσι, καὶ ὡς ἑαυτῶν με βασιλέα ἀσπά-
» ζονται. Ἐγὼ δὲ τὰς εὐχὰς ἀποδίδωμι τῷ Διΐ,
» καὶ τῷ πρεσφάτῳ δήμῳ τὴν πόλιν διακληρῶ καὶ
» τοὺς ἐρημωθέντας τῶν παλαιῶν οἰκητόρων ἀγροὺς,
» Μυρμιδόνας τε ὀνομάζω, καὶ τοὔνομα τῆς αὐτῶν
» γενέσεως οὐδαμῶς ἀφαιροῦμαι. Εἶδες τὰ σώματα
» καὶ αὐτός. Οὓς δὲ πρὶν ἔφερον τρόπους καὶ νῦν
» ἔχουσι· φειδωλότερον γένος εἰσὶ καὶ φερέπονον, τοῦ
» πρεσθέντος μηδ' ὁτιοῦν πρεσιέμενον, ἄρισον δ'
» ὥστε τὰ κληθέντα φυλάσσειν. Οὗτοί σοι πρὸς τὸν
» πόλεμον, ἴσοι καὶ τὸν χρόνον καὶ ταῖς ψυχαῖς,
» ἕψονται, ἐπειδὰν πρῶτον ὁ δεῦρό (3) σε παρεπέμ-
» ψας εὐτυχῶς εὖρος » (καὶ γὰρ εὖρος παρέπεμψεν)
« εἰς νότον μελαπέση. »

Τοιούτοις καὶ ἑτέροις λόγοις τὴν μακρὰν ἡμέραν ἐκεῖνοι διήγαγον. Τό γε μὴν πλεῖστον (4) τῆς ἡμέρας τραπέζαις ἐδόθη, ἡ νὺξ δὲ τοῖς ὕπνοις. Καὶ φῶς ὁ χρυ-

(1) In codice B, δὲ γρηγορώς. omittit statim verba καὶ γὰρ εὖρος.
(2) B, ἔβηλξεν. (4) Repone ἔσχατον. Habuit
(3) Codex A, ὁδὶ δεῦρο : et Planudes *pars optima.*

σοῦς ἥλιος ἤνεγκεν· ἔπνει δ' εὖρος ἔτι, καὶ τὴν τῆς νεὼς
ἐπεῖχεν ἐπάνοδον. Οἱ δὲ τοῦ Πάλλαντος παῖδες πρὸς
τὸν Κέφαλον ᾧ (1) μείζων ὁ χρόνος ἦν, καὶ Κέφαλος
ἅμα τοῖς Πάλλαντος παισὶ πρὸς τὸν βασιλέα συνία-
σιν· ἀλλ' ἔτι τὸν βασιλέα βαθὺς ὕπνος κατεῖχεν.
Ὑποδέχεται δὲ τούτους ὁ Αἰακίδης τοὔνομα Φῶκος. Ὁ
γάρ οἱ Τελαμὼν καὶ ὁ λοιπὸς ἀδελφὸς τοὺς ἄνδρας
πρὸς τὴν συμμαχίαν συνέλεγον. Ὁ τοίνυν Φῶκος πρὸς
τὰ τῶν οἴκων ἐνδότερα καὶ τὰς τῶν ἀναχωρήσεων πε-
ικαλλεστέρας ἄγει τοὺς Κεκροπίδας· οἷς δὴ συγκα-
θίσας, ὁρᾷ τὸν Αἰολίδην ἀγνώστου δένδρου πεποιημένον
δόρυ τῇ χειρὶ φέροντα, χρυσοῦν τὴν αἰχμήν. Μικρὰ δὲ
πρόσθεν λόγοις τισὶ μέσοις ὁμιλήσας αὐτοῖς, «Ἐπλόη-
» μαι περὶ τὰς λόχμας» εἶπε «καὶ τοὺς τῶν θηρῶν
» φόνους. Τίνος δ' ὅμως ἐκ λόχμης τμηθὲν τοῦτὶ τὸ
» δοράτιον ἔχεις, ἤδη πάλαι ἀμφιγνοῶ. Οἶδα γὰρ ὡς εἰ
» μὲν φράξινος (2) ἦν, ξανθῆς ἂν ἦν τῆς χροιᾶς· εἰ δὲ κε-
» ράτινος (3), ὀζος ἂν τούτῳ πρόσην. Ἀγνοῶ μὲν πόθεν
» ἂν εἴη· οὐκ εἶδον δ' ἐμοὶ (4) οἱ ὀφθαλμοὶ τοῦδε δια-
» πρεπέστερον ἀκοντιστήριον ὅπλον. » Ὑπολαβὼν δ'
εἷς τῶν Ἀχαιῶν ἀδελφῶν εἶπε· « Καὶ χρῆσιν (5) μείζω

(1) B, ὧν: cf. pp. 91, 252, 286.

(2) B ad marg. πτελέινος, δηλονότι. Sed *fraxinus*, quam vocat mire φράξινον, non est πτελέα, non est *ulmus*. Pariter jam erravit : cf. p. 183. Fraxinus græce μελία dicitur.

(3) Ovidius, *si cornus*. Putavit forte Noster esse e *cornu* factum! Reponendum, puto, κράνειος. Attamen, quum Recentiores cornum arborem vocent ξυλοκερασίαν et cornum fructum κράνον, non est interpres acerbius reprehendendus. Cf. ad VIII, 408, 665.

(4) A, δέμαι : B, δίμοι.

(5) Ovid. « Et, usum, dixit. » Copula jungenda verbo *dixit*. Male Planudes, καὶ χρῆσιν. Sed leve est peccatum. De hac divisione nonnulla sunt animadversa ad Nicetam Eugen. p. 85. Lucianus Demon. 25, εἶτ' ἔφη,

» τοῦ κάλλους θαυμάσεις ἐν τούτῳ· ἐπιτυγχάνει
» γὰρ ταυτὸς ἐφ' ὅπερ ἂν ἀφεθῇ (1), καὶ τύχη τουτο
» πεμφθὲν οὐ διϊθύνει, ἀλλὰ, μηδενὸς διεξάγοντος,
» λελυθρωμένον διίπταται.» Τότε τοίνυν ὁ Νήρειος (2)
νεανίας πάντα ζητεῖ, πῶς τ' ἂν εἴη, καί τις δέδωκε,
καὶ τίς ὁ τῆς τοσαύτης δωρεᾶς αἴτιος. Ὁ δὲ Κέφα-
λος, ἅπερ ἐκεῖνος ἀπαιτεῖ, ἀπαλγύνει· τὰ λοιπὰ δ',
αἰσχυνόμενος, τίσιν (3) ἆθλοις τοῦτ' ἔλαβε, σιωπᾷ,
καί, ἐληχθεὶς τῇ ὀδύνῃ τῆς ἀπολωλυίας γυναικὸς, οὕτω,
δακρύων ἀναδοθέντων, διεξῄει· «Τοῦτό με τὸ ὅπλον,
» ὦ θεᾶς παῖ, (τίς ἂν ἔχοι πιστεύειν;) κλαίειν ποιεῖ,
» καὶ ποιήσει ἐπὶ μαχρὸν, εἰ ζῆν ἡμῖν αἱ Μοῖραι δοῖεν
» ἐπὶ μαχρόν. Τοῦτό με σὺν τῇ φίλῃ συζύγῳ διέ-
» φθειρεν. Ὤφελον ἐς ἀεὶ τοῦδε τοῦ κλήματος ἀμοι-
» ρεῖν. Πέφευγεις ἦν (εἴ που μάλιστα πρὸς τὰς σὰς
» ἀκοὰς ἦλθεν Ὠρείθυια) ἀδελφὴ τῆς ἁρπαγείσης Ὠρει-
» θυίας. Εἰ δὲ τὸ κάλλος ἀμφοῖν ἐθέλοις καὶ τὰ ἤθη

Ὦ γελοῖε.....Distinguendum: εἶτ', ἔφη, ὦ γελοῖε. Nota vis adverbii εἶτα in interrogationibus.

(1) A, ἁπλῇ. Mox scr. πάλιν διίπταται.

(2) B, πήλειος, permutatis λ et ρ.

(3) B, τίνων. Idem mox, ἐξήει, et infra ad 703, ὠσαμένη, præpositione omissa. Menda id genus et alibi tetigi. Luciano sic edito Epist. Sat. 38, ἐπιδὰν πλείω τοῦ ἱκανοῦ πίωσιν, codex Reg. 2600 præpositionem reddit, exhibens ἐκπίωσιν. Dion Chrys. Or. LXIV, pag. 329, de Fortuna, manu gubernaculum tenente, διὸπ τὸν βίον ἡμῖν ὥς πνα μεγάλην ναῦν κυβερνᾷ καὶ πάντας σώζει τοὺς πλέοντας: et præpositionem lucretur e codice Reg. 2958, ubi ἐμπλέοντας. Theophylactus Simoc. Q. Phys. p. 13, τοὺς ἡμιλέκτους πλεσιουργῖτέ μοι λόγους, ἄνδρες διδάσκαλοι, παρ' οἷς ἐσθὶν ἐντέλεια: codex Reg. 993, plenius, παρ' οἷς ἔνεσθιν ἡ ἐντέλεια, nescio an omnino melius. Eumathius VIII, de Hysm. p. 282, ἰσάῳ λευκῷ τὴν τελήρη καλλιόσμησι: codex Reg. 2897, καπιπιόσμησι, quod stylum Eumathianum plane redolet. Fischerus ad Palæph. p. 14, de hac præpositionum omissione consuli etiam poterit.

» παρελιθέναι, αὖτη μᾶλλον ἁρπαγῆναι ἀξιωτέρα (1).
» Ταύτην μοι συνῆψεν ὁ παλὴρ Ἐρεχθεύς· ταύτην
» μοι συνῆψεν ὁ Ἔρως, εὐδαίμων τε ἐλεγόμην καὶ
» ἦν (ἀλλ' οὐχ οὕτω τοῖς θεοῖς ἔδοξε), καὶ νῦν ἴσως
» ἂν ἦμην. Δευτέρας μετὰ τοὺς ἱερεῖς ὑμεναίους ἤγετο
» μὴν, καί με τοῖς κερασφόροις ἐλάφοις δίκλυα τει-
» νοντα, ἀπὸ τῆς ἄκρας κορυφῆς τοῦ πᾶσαν ὄρεγν
» ἀνθοῦντος Ὑμηττοῦ, τὸ σκότος διωσαμένη, πρωΐας
» εἶδεν ἡ Ἠὼς, καὶ ἥρπασεν ἄκοντα. Ἐξέστω μοι
» τἀληθῆ λέγειν· ἵλεως δὲ ἡ θεὸς εἴη! Εἰ καὶ τὰ
» μάλιστα ῥοδοδαφεῖ προσώπῳ ἐστὶ περίβλεπτος,
» εἰ τοὺς τοῦ φωτὸς (2) καὶ νυκτὸς ὅρους καλέχει, εἰ
» καὶ νεκταρείοις ὕδασι τρέφεται, ἀλλ' ἐγὼ Πρόκελδος
» ἤρων, κἀν τῇ ψυχῇ Πρόκελς ἦν, καὶ Πρόκελς ἀεί
» μοι ἐν στόματι· τά τε τῶν ὑμεναίων ἱερὰ καὶ τὴν
» νέαν συζυγίαν, καὶ τοὺς προσφάτους θαλάμους,
» καὶ τὰς πρώτας σπονδὰς τὰς καταλελειμμένας διέ-
» ξειμι κοίτης. Τούτοις ἡ θεὰ κεκίνηται, καὶ, Σίγησον
» τὰς σὰς καταμέμψεις, εἶπεν, ἀχάριστε· ἔχε τὴν
» Πρόκελν, ἣν, εἴπερ οὐμὸς λογισμὸς προβλέπει,
» οὐκουν ἐσχηκέναι θελήσεις. Καί με ταύτῃ ὀργισθεῖσα
» ἀφῆκεν. Ἐπανιόντι μοι τοίνυν, καὶ καθ' ἑμαυτὸν
» τοὺς τῆς θεοῦ λόγους ἀναπολοῦντι, δέος ἤρξατο
» παρεῖναι, μήποτε τὰ τῆς συζυγίας δίκαια οὐκ ἀσφα-
» λῶς ἐφύλαξέ μοι ἡ σύζυγος. Τό τε γὰρ κάλλος,
» καὶ ἡ ἡλικία μοιχείαν αὐτῆς πιστεύειν ἀνέπειθεν·
» ἀλλ' οἱ τρόποι πάλιν πιστεύειν ἐκώλυον. Ἀλλ' ὅμως
» ἐγώ τε καὶ ἀπὼν ἐτύγχανον καὶ τῆς ἁμαρτίας ἥδε
» ἦν ὑπόδειγμα ταύτῃ, ὅθεν αὐτὸς ἐπανήειν· ἀλλὰ

(1) Conf. notam ad XIV, 679. (2) B, φωτός. Velim εἰ καὶ τούς.

» γὰρ πάντα δεδοίκαμεν οἱ ἐρῶντες. Ἴσθι μοι καὶ νοῦν
» τὸ λυποῦν ἰχνεῦσαι, καὶ δώσεις τὴν τῆς γυναικὸς πίστιν
» μέλεθεῖν. Συναινεῖ τῷ δέει τούτῳ καὶ ἡ Ἠώς, καὶ
» τὴν ἐμὴν μορφὴν (δοκῶ γὰρ αἰσθέσθαι (1) τοῦτο)
» μέλαμείβει. Εἴσειμι τοίνυν εἰς τὰς τῆς Παλλάδος
» Ἀθήνας ἀγνώς (2). Καὶ δὴ πρὸς τὸν οἶκον εἰσέρχο-
» μαι· καὶ ὁ οἶκος πολαίσμαλος ἄμοιρος ἦν, καὶ σώ-
» φρονα σύμβολα παρεῖχεν· ὑπὲρ γὰρ τοῦ δεσπότου
» ἁρπαγέντος ἠνιῶτο. Μόλις δέ μοι μυρίοις δόλοις
» πρὸς τὴν Ἐρεχθίδα γέγονεν εἴσοδος. Ὡς δ' εἶδον,
» ἐξεπλάγην, καὶ μικροῦ τὴν προμεληθεῖσαν τῆς
» πίστεως πεῖραν καὶ ἔλιπον· κακῶς δ' ἐμαυτὸν (τί
» γὰρ ἂν τἀληθῆ μὴ ὁμολογήσην;) ἐπέσχον· κακῶς·
» τί γὰρ μὴ, ὡς ὤφελον, πρόσῃην φιλήματα (3); Ἡ
» δ' ἤλγει· ἀλλὰ καὶ ὡς οὐκ ἔστιν ἥτις ἐκείνης καλ-
» λίων ἐδύνατο εἶναι· τῇ τε γὰρ λύπῃ καὶ τῇ τοῦ
» ἁρπαγέντος ἀνδρὸς ἐπιθυμίᾳ ἐξεκαίετο. Σὺ δὲ σύ-
» ναγε ποῖον δήποτε κάλλος ἐκείνῃ, Φῶκε, πρόσῃν,
» ὅπερ οὕτω κἂν τῇ λύπῃ διέπρεπε. Τί δ' ἂν λέ-
» γοιμι, ποσάκις τὰς ἡμελέρας πείρας οἱ σεμνοὶ τρό-
» ποι (4) ἀπώσαντο; ποσάκις εἶπεν, Ἐνὶ ἔγωγε συν-
» τηρῶμαι ὅπου ποτ' ἐστίν· ἑνὶ τὰς ἐμαυτῆς ἡδονὰς
» συντηρῶ. Τίνι τῶν σωφρονούντων ἥδε ἡ πεῖρα οὐχ
» ἅλις τε πίστεως ἔχουσα καὶ μεγάλη ἂν ἐγερθείη;
» Οὐκ ἠρκέσθην δ' ἐγὼ τούτοις, ἀλλ' ἐπὶ πλη-

(1) Legitur in B, δοκῶ ψεύσθαι.

(2) A, ἀγνάς. Ovidius, *non cognoscendus.*

(3) B, ὡς μὴ ὄφελε. A, ὡς μὴ ὄφελε, et ὄφελον. Mutavi ita ut sensus fiat inde non incommodus. Sed latina propius et fidius verterentur, hoc nempe modo: μόλις δ' ἐμαυτὸν μὴ οὐ τὸ πρᾶγμα ἀληθῆς ὁμολογεῖν ἐπίσχον· μόλις, μὴ οὐχ ἃ ἔδει πρᾶξαι φιλήματα.

(4) B, τόποι: mox, εἶπας.

» γαῖς ἐμαυτοῦ ἀπομάχομαι, τότε δὴ (1) δῶρα δώσειν
» ὑπισχνοῦμαι. Λόγοις τοίνυν θέλγων, καὶ τοῖς δώ-
» ροις προσεπιτιθεὶς, τελευτῶν, διστάζειν ταύτην
» ἠνάγκασα. Ἀνακράζω τοίνυν· καὶ τὴν πονηρὰν
» ἀνακαλύπτω διάνοιαν, καὶ ὁ συγκεκαλυμμένος
» μοιχὸς (2) ὁ ἀληθὴς ἔγωγ' ἦν σύζυγος· Ἐμοὶ μάρ-
» τυρι, ἄπιστε, ἥλως. Ἡ δ' οὐδέν· αἰσχύνης δὲ
» μόνον ἡττηθεῖσα σιωπηλῆς, τὴν ἐπίβουλον (3) οἰκίαν
» ὁμοῦ καὶ τὸν κακὸν ἔφυγεν ἄνδρα. Τῇ δ' ἐμῇ κα-
» κίᾳ πᾶν τὸ τῶν ἀνδρῶν ὑπερστυγήσασα γένος, ἐν
» ὄρεσι περιεφοίτα, τοὺς τῆς Ἀρτέμιδος ἀγῶνας σπου-
» δὴν ἔχουσα. Τότε δή μοι ἐγκαταλελειμμένῳ (4)
» κραταιότερον τὸ πῦρ μέχρι τῶν ὀστῶν ἔφθασεν·
» ἐδεόμην τε συγγνώμης, καὶ ὡμολόγουν ἡμαρτηκέναι,
» καὶ πεφυκέναι κἀμὲ, δώρων προτεινομένων μοι, τῷ
» ὁμοίῳ ὑποπεσεῖν πταίσματι, εἴ μοι δῶρα τοσαῦτα
» δοθείη. Ταῦτά μοι ὁμολογήσαντι, ἀμύνασα τῇ
» πρόσθεν παρατραπείσῃ (5) σεμνότητι, ἐπανήκει, καὶ
» ἡδεῖς ὁμοφρόνως ἐνιαυτοὺς διηγάγομεν. Δίδωσί τε
» μοι μετὰ τοῦτο, ὥσπερ ἂν εἰ δῶρα μικρὰ ἐδεδώ-
» κει (6), κύνα πρὸς χάριν, ὃν ἡ Κυνθία ταύτῃ πα-
» ραδιδοῦσα, Τρέχων οὗτος, εἶπε, πάντας ὑπερβα-

(1) Codd. ἐπεὶ πλ. ἐμαυτόν. Ita mutavi ut sententia posset stare. Pro *dum* legit *tum*.

(2) Legebat Planudes: «mala » pectora detego, tectus adulter.»

(3) B, ἐπιβουλήν: hic sine sensu.

(4) B, δύομοι ἐγκαταλελειμμένους.

(5) Malim ὑβρισθείσῃ. Ovidius, *læsum pudorem*. Quo se fuerit ulta modo narrat Hyginus, cujus verba tibi quæresis in Gierigii nota. Scriptor italus, unde Fontainius suam de canicula nummos spargente Narrationem sumsit, Ovidium et Hyginum legerat, in suumque usum converterat.

(6) Scribe ad melioris in latinis lectionis ductum, nempe *tanquam se* pro *tanquam si*: ὥσπερ ἂν εἰ δῶρον ἑαυτὴν μικρὸν ἐδεδώκει.

» λεῖται. Δίδωσιν ὁμοῦ καὶ ἀκόντιον ὃ βλέπεις ἐν
» χερσὶν ἔχειν.
» Θαλέρου μέντοι δώρου τίς ποτέ ἐστιν ἡ τύχη
» ζηλεῖς; Δέξαι· θαυμαστὸν δή τι, καὶ τὴν τοῦ πέργ-
» μαλος ἐκπλαγῆσαι καινότητα. Αἱ Νηίδες τὰ τῶν
» παλαιῶν ἔπη, δυσσύμβλητα ὄντα, ταῖς ἰδίαις
760 » ἔλυον (1) περινοίαις, καὶ καταπίπλουσα ἡ περφῆ-
» τις ἔκειτο ἀμαθὴς καὶ τῶν οἰκείων αἰνιγμάτων
» ἀμνήμων. Ἡ δ' ἱερὰ Θέμις οὐκ ἀτιμώρητα εἴασε
» ταῦτα· αὐτίκα δὲ ταῖς Ἀονίαις Θήβαις θηρίον
» ἐπεπέμφθη, καὶ πολλοῖς εἰς ὄλεθρον πρόβατων καὶ
765 » χοίρων (2) γέγονεν· ἔδεισαν δὲ καὶ οἱ ἰθαγενεῖς τὸ
» θηρίον. Ἡ γειλονοῦσα τοίνυν σύνιμεν νεολαία, καὶ
» τὸ τῶν ἀγρῶν πλάτος κύκλῳ περιελάβομεν· Τὸ
» δ' ὡς πλησὸν κούφῳ ποδήματι τὰ δίκτυα ὑπερέ-
» πταλο, καὶ τὰ τῶν σταλίκων ἄκρα λῖνα διῆει. Ἡ
» δ' ἡμῶν συμμορία κακίζει (3) τοὺς κύνας, οὓς ἐκεῖνο
770 » διώκοντας ἀποφεύγει, καὶ τὴν ἐκείνων ἀγέλην οὐκουν
» βραδίον πλησοῦ διαπαίζει. Αἰτοῦσι δὲ κἀμὲ δεήσει
» μεγάλη τὸν ἐμὸν Λαίλαπα. Εἰς γέρας ἦν αὐτῷ
» τοῦτο τοὔνομα (4). Ὁ δὲ πάλαι ἤδη μάχεται τὰ

(1) Repone ad meliorem in latinis lectionem : ὁ Λαϊάδης περὶ τῶν παλ. — ἔλυσι περινοίαις. Agitur enim de Laii filio Œdipo.

(2) Hunc Nostri locum excitavit Naugerius. Malam habuit lectionem Planudes, quam tamen Naugerius fere malit. Sed non facile credam immundissimi animalis meminisse Ovidium, idque, non coactum. Repone, καὶ σφίσιν. Sed et alia esse mutanda contextus poetæ docet.

(3) Ovidius : « Copula detra» hitur canibus. » Nihil hic omnino vidit Planudes, homo non oculatissimus. Canes vincti ducuntur; copula detrahitur, quum in feram mittuntur. Verte : ὁ δεσμὸς ἐκ τῶν περιχήλων ἀπολύεται τῶν κυνῶν.

(4) Ovidius, « *munoris* hoc » nomen » : nempe, *canis mihi dati* hoc erat nomen. Rescribe :

» κλοιὰ ἐξ ἑαυτοῦ ἀπορρίψαι, καὶ τῷ τραχήλῳ
» χρονίζοντα ταῦτα τείνει. Οὔπω καλῶς λέλυτο,
» καὶ, ὅπου ποτ' ἂν εἴη, γινώσκειν οὐκ εἴχομεν. Ἴχνη
» μὲν γὰρ τῶν ποδῶν εἶχεν ἡ κόνις ἔτι θερμὴ, αὐτὸς
» δ' ἐκ τῶν ὀφθαλμῶν ἀνήρπαστο. Οὔκουν ἐκείνου
» θᾶττον ἀκόντιον· οὐδὲ θᾶττον βάλανος δρυὸς ἐκ-
» πεπήδηκε ξύλῳ παιόμενος (1), ἢ ἐκ Γορτυνιακοῦ
» τόξου κοῦφος ἔξεισι κάλαμος. Γηλόφου δὲ κορυφή
» τις ἐν μέσοις τοῖς ὑποπεπτωκόσιν ἀνέχει πεδίοις,
» εἰς ἣν ἐμαυτὸν ἐπαίρω, καὶ καινοῦ δρόμου δέχομαι
» ὄψιν, ἐφ' ᾧ μὲν ἁλίσκεσθαι, νῦν δ' ὑπεξαιρεῖν ἑαυτὸ
» τὸ θηρίον ἐξ αὐτοῦ τοῦ δήγματος ἐφαίνετο. Καὶ
» δὴ πανουργὸν ὂν οὐκ εὐθὺν δρόμον, οὐδὲ δολιχὸν
» φεύγει, ἀλλὰ τό τε στόμα ἀπατᾷ τοῦ διώκοντος
» καὶ κύκλῳ περίεισιν, ὡς μὴ τῷ ἐχθρῷ τὴν οἰκείαν
» ὁρμὴν εἶναι· ἐπίκειται δ' οὗτος, καὶ τὸν δρόμον ἴσον
» διώκει, καὶ, κατέχοντι ἐοικὼς, οὐ κατέχει, καὶ κενὰ
» πρὸς τὸν ἀέρα διαπονεῖται δήγματα. Ἐμαυτὸν τοί-
» νυν πρὸς τὴν ἐκ τοῦ ἀκοντίου στρέφω ἐπικουρίαν. Καὶ
» δὴ τοῦτο τῇ δεξιᾷ κραδαίνων, ἐν ὅσῳ τὸν δάκτυλον
» τῇ ἀγκύλῃ ἐπειρώμην ἐνθεῖναι καὶ τοὺς ὀφθαλμοὺς
» ἔκλινα, καὶ, αὖθις ἀναλαβὼν, ἤγαγον ἐπ' ἐκεῖνα,
» (θαῦμα!) κατὰ μεσὸν τὸ πεδίον δύο θεωρῶ λί-
» θους, ὧν τὸν μὲν φεύγειν, τὸν δ' ὑλακτεῖν ἂν ᾠήθης·
» ἀηττήτους δηλονότι καὶ ἄμφω τὸν ἀγῶνα τοῦ δρό-
» μου θεὸς εἶναι τεθέληκεν, εἴ τίς ποτε θεὸς ἐκείνοις

τῷ δώρῳ τοῦτο τοὔνομα, vel simplicius, τῷ δοθέντι γὰρ κυνὶ τοῦτο τοὔνομα.

(1) Ovidius : « nec excussæ » contorto verbere glandes. » Putavit Noster esse quercus glandes, quæ sunt plumbeæ funda contorta missæ. Repone, οὐδὲ θᾶττον συστρεφθέντα ἐκπεπήδηκε σφαιρία, vel aliud simile aliquid.

» παρῆν. » Μέχει τούτων εἰπὼν, ἐπιθ' ἡσύχασεν· ὁ
δὲ Φᾶκος « Τῷ δ' ἀκοντίῳ » φησὶ « τῷδε (1) τίς ποθ' ἡ
» ἁμαρτία; » Κἀκεῖνος οὕτωσί πως ἀπεδίδου καὶ ταύτην.
« Εὐφροσύνη τῆς ἡμελέσας (2) ἐστὶν ὀδύνης ἀρχὴ,
» Φᾶκε. Ταύτην τοίνυν ἀπαγγελῶ· τέρπει γάρ, ὦ
» Ζεῦ (3), ἀναμιμνήσκεσθαι τὸν εὐδαίμονα χρόνον, ᾧ
» βεβαίως τοὺς πρώτους ἐνιαυτοὺς ἐγώ τε τῇ γυ-
» ναικὶ εὐδαίμων ἐτύγχανον, εὐδαίμων δ' ἦν κἀκείνη
» τἀνδρί. Ἀμοιβαία δὲ φερντὶς ἄμφω καὶ ὁμόψυχον
» εἶχε φίλτρον, καὶ οὔτ' ἂν ἐκείνη τὸν τοῦ Διὸς θά-

(1) Cod. Regius ab Editore nostro viro doctiss. conlatus habet *in ipso est*, pro vulgata *in ipso*; quam equidem lectionem non spreverim. Verbulum istud *est* in fine nonnullorum versuum restituere e codd. memini ad Nicet. pag. 177. Versus postremus Epigr. II, II, Martialis « de Selio » (Cod. Thuaneus, inter Regios 8071. « de Sillo, cenipe» na. » : lege, « de Sillo, cœni» peta ») sic editus fertur, « Mœ» roris igitur causa quæ? domi » cœnat » : in codice clausula, « domi cœna est », non est deterior. — In Ovidii loco, Regius alter codex pro *ipso* præfert *illo*, quæ varietas et alibi reperitur. In Juvenale VII, 135, pro vulgata « Et tamen est *illis* hoc utile », cod. Thuaneus, inter Regios 8071, mihi obtulit *ipsis*, electione ambigua. Ast hoc frivolum; cujus observationis levitatem redimam notata in eadem Satira varietate majoris alia pretii. Sic editus legitur poeta *N.* 98 : « Ve» ster porro labor fecundior, hi» storiarum Scriptores ; *petit* hic » plus temporis atque olei plus. » Nihil desideres, adeo sunt omnia facilia et liquida : sed quis non prætulerit Thuanei libri scripturam? « *perit hic* plus tempo» ris atque olei plus. »

(2) B, ὑμετ. qua de horum pronominum et congenerum synchysi cf. pag. 234. In Luciano de Cycn. 1., pro edito nunc, ἠλέκλεου πέρι καὶ ἡμᾶς δηλαδὴ ὁ μῦθος πέπεικεν, malim omnino, directa ad auditores oratione, ὑμᾶς scribere e cod. Reg. 3010. Ibid. 2, παρ' ἡμῖν mutandum videtur in παρ' ὑμῖν (Padi enim incolas alloquitur), adstipulantibus codd. Reg. 3010 et 2600. Atque cap. 4, pro ἡμῖν scripserim ὑμῖν ex iisdem libris ; nam nautas interrogat.

(3) Ad verba ὦ Ζεῦ adscriptum est in codice B, schol. ad marg. θαυμαστικόν.

» λαμον τοὐμοῦ προὔθηκεν ἔρωτος, οὔτ' αὖθις ἦν τις
» ἥτις ἂν εἷλεν ἐμὲ, οὐδ' εἴπερ αὐτὴ προσῆλθεν
» Ἀφροδίτη· ἴσαι δὲ φλόγες τὰ ἡμῶν ἀνέφλεγον
» στέρνα. Σχεδὸν δὲ τοῦ ἡλίου ταῖς πρώταις ἀκτῖσι
» τὰς ἀκρωρείας βάλλοντος, νεανικώτερον εἰώθειν ἐπὶ
» κυνηγεσίᾳ πρὸς τὰς λόχμας ἰέναι. Οὔτ' οὖν οἰκέται
» σὺν ἐμοὶ, οὔθ' ἵπποι, οὔτ' ὀξεῖς τὴν ὄσφρησιν κύ-
» νες εἰώθεισαν ἐξιέναι, οὔτε πολυωπὰ λῖνα συνέ-
» πεσθαι· τῷ δ' ἀκοντίῳ θαῤῥῶν ἦν. Ἀλλ' ἡνίκα
» τῆς θηροφονίας ἡ δεξιὰ χεὶρ κεκόρεστο, ψύχος καὶ
» σκιὰν ἐπεζήτουν, καὶ τὴν ἐκ ψυχρῶν κοιλάδων ἐξι-
» πταμένην (1) αὔραν· αὔρα μοι πραεῖα ἐζητεῖτο
» τῷ καύσωνι· αὔραν ἐξεδεχόμην, ἀνάπαυσίς τε ἦν
» ἐκείνη τῷ πόνῳ. Αὔρα (μέμνημαι γάρ) ἐλθέ, εἰώ-
» θειν ᾄδειν, καί με τέρψον, καὶ τὸν ἐμὸν εἴσιθι κόλπον,
» χαριεστάτη, καὶ, οἷάπερ ἑκάστοτε ποιεῖς, ἀνακού-
» φισον τὸ καῦμα, θέλησον (2), ᾧ φλεγόμεθα. Τάχα
» δ' ἂν καὶ προσέθηκα (καὶ γὰρ οὕτω με εἷλον αἱ
» ἐμαὶ μοῖραι) καὶ πλείους κολακείας· καὶ, Σύ μοι
» μεγάλη ἡδονὴ, λέγειν εἰωθὼς ἦν, σύ τέ με ἀνα-
» κτῶ (3) καὶ ἀναψύχεις, σύ με ποιεῖς λόχμης ἐρᾷν
» καὶ τῆς ἐρημίας, καὶ τὸ σὸν ἀεὶ τοῦτο πνεῦμα

(1) Videtur legisse *exhalat*, quod merito editori nostro doctiss. placuit. Codd. αὖραν, αὖρα, et sic deinceps: cf. pag. 241.

(2) B, θέλη γάρ: voluitne? θέλε γάρ. Velim ἀνακουφίσαι τὸ κ. θέλησον. Syntipas Fab. 43, νῦν λοιπὸν ὀρχήσασθαι θέλησον: ubi, quum codex unus habeat νηνὺ, bene vidit Matthæius esse pro νυνὶ, confusis elementis; quam lectionem cur non recepit novissimus et doctissimus editor?

(3) B, ἀνακτᾶς. Hunc codicem antiquarius qui descripsit jam supra p. 37, activam verbi μυκᾶσθαι formam barbare conjiciebat; hic audacior factus textum barbarismo ipsum adulteravit. Vide ibi notata.

» τοὐμὸν δέχοιτο (1) στόμα. Τοῖς ἀμφιβόλοις οὖν τουτοισὶ ῥήμασιν ἠπατημένην ἀγνοῶ τις ὑπέσχεν ἀκοὴν, καὶ τοὔνομα τῆς αὔρας οὕτω συχνά μοι καλούμενον ὄνομα Νύμφης ἐνόμισεν εἶναι, καί με Νύμφης ἐρᾷν ἀνεπείσθη. Αὐτίκα δὲ τοῦ πεπλασμένου πάθους προπετέστερος μηνυτὴς εἶσι πρὸς τὴν Πρόκριν, καὶ γλώττῃ ψιθύρῳ τὰ ἠκουσμένα ἀναφέρει. Ὡς ἑτοιμόπιστόν ἐστιν ὁ ἔρως, ἀθρόον ἐκλυθεῖσα τῇ ἀθυμίᾳ, ὥς μοι διηγήσαντο, καταπίπτει· χρόνῳ δὲ μόλις αὑτὴν ἀναζωπυρήσασα, Οἴμοι! τάλαινα τῆς ἀδίκου μοίρας! ἀνέκραγε, καὶ τῆς ἀπιστίας ἕνεκεν ἠγανάκτει, καὶ, τῇ μάτην κατηγορίᾳ παροξυνθεῖσα, τὸ μηδὲν ὂν πεφόβηται σώματος ἔρημον ὄνομα, ὑποκνίζεταί τε καὶ ἀλγεῖ ἡ ταλαίπωρος, ὡς ὑπ' ἀληθινῆς ἀντιζήλου. Πλὴν ταλαντεύεται τὴν γνώμην πολλάκις, καὶ ἐλπίζει ἀπατᾶσθαι, τῇ τε μηνύσει οὐ πάνυ τι νέμει πίστιν· ἀλλ', εἰ μὴ θεάσοιτο καὶ αὐτὴ, οὐκ ἂν ἔσοιτο τῆς τἀνδρὸς ἀδικίας κατεψηφισμένη.

» Ἀπήλασε δὴ τὴν νύκτα τὸ φῶς τῆς ἐπιούσης ἡμέρας· ἐγὼ δ' ἐξεγείρομαι, καὶ τὰς λόχμας ζητῶ, καὶ, ἀριστήσας (2) ἀνὰ τὴν χλόην, Αὔρα, ἐλθὲ, ἔφην, καὶ τὸν ἐμὸν θεράπευσον κάματον. Αὐτίκα δὲ μάλα στεναγμοὺς μεταξὺ τῶν ἐμῶν ῥημάτων ἐδόκουν ἀγνοῶ τίνας ἀκηκοέναι· ἀλλὰ καὶ ὥς, Ἐλθὲ, εἶπον, καλλίστη. Αὖθις δὲ θάμνου τινὸς μετακινηθέντος καὶ λεπτὸν ποιήσαντος θόρυβον, θηρίον ὑπώ-

(1) Legit *captetur*, non *captatur*.

(2) Putavitne latinum *victor* synonymum esse τῷ *prandeo?* error fuerit lepidus satis. Mendo, quidquid id est, mederi poteris, si ἀριστεύσας velis rescribere.

» πτευσα τοῦτ' εἶναι, καὶ τὸ κοῦφον ἔπεμψα βέλος.
» Ἦν δ' ἡ Πρόκρις, κἀν μέσῳ τῷ στέρνῳ τὸ τραῦμα
» κατέχουσα, Οἴμοι! ἀνωλόλυξεν. Ἐγὼ δὲ, τῆς πι-
» στοτάτης συζύγου τὴν φωνὴν ἀναγνοὺς, πρὸς τὴν
» φωνὴν ἔδραμον κατηπειγμένος καὶ ἔκφρων (1). Ἡμι-
» θνῆτα δὲ ταύτην, καὶ διαβρόχους τὰς ἐσθῆτας μο-
» λύνουσαν αἵματι, καὶ τὸ δῶρον ἑαυτῆς, ὢ (2) τάλας
» ἐγώ! τοῦ τραύματος εὑρίσκω ἐκσπῶσαν, καὶ τὸ
» σῶμα, τὸ καὶ τοῦ ἡμετέρου μοι ποθεινότερον, ἡσύ-
» χοις ἀγκάλαις αἴρω, καὶ, διαῤῥήξας ἐκ τοῦ στέρνου
» τὴν ἐσθῆτα, τὴν ἀπηνῆ πληγὴν καταδῶ, καὶ τὸν λύ-
» θρον ἐπισχεῖν δὴ πειρῶμαι, ἱκετεύω τε μή με λιπεῖν
» ἀνόσιον τῷ ταύτης (3) γεγονότα θανάτῳ. Ἡ δ'
» ἰσχύος ἐνδεῶς ἔχουσα, καὶ ὅσον οὐκ ἤδη θανουμένη,
» ὅμως ἑαυτὴν ἐβιάσατο τὰ βραχέα δὴ ταῦτα φᾶναι·
» Πρὸς τῆς κοινωνίας τῆς ἡμετέρας εὐνῆς, πρὸς τῶν
» θεῶν ἱκετεύω τῶν οὐρανίων καὶ τῆς ἐμῆς ψυχῆς,
» πρὸς τίνος ἀγαθοῦ με παρὰ σοῦ τυχεῖν ἀξιοῖς (4),
» πρὸς τοῦ μένοντος ἔτι καὶ νῦν, οἰχομένης μου, τοῦ
» καὶ θανεῖν αἰτιόυ μοι, ἔρωτος, μή ποθ' ὑπομένῃς
» εἰς τοὺς ἡμετέρους τὴν Αὔραν ἀγαγέσθαι θαλά-
» μους. Εἶπεν· ἐγὼ δὲ πλάνην τοῦτο τελευτῶν τοῦ
» ὀνόματος εἶναι καὶ ᾐσθόμην δὴ καὶ ἐδίδαξα· ἀλλὰ τί
» τὸ διδάξαι ὠφελεῖ; Ἡ δὲ παρεῖται, καὶ ἡ βραχεῖα
» ἰσχὺς σὺν τῷ αἵματι φεύγει· κἀπειδὰν ὁποσονοῦν

(1) B, ἔμφρων. Permutationem præpositionum ἐν et ἐκ jam vidimus pp. 131, 177.

(2) Codd. ὦ : cf. infra p. 320.

(3) Saltem αὐτῆς, vel ἑαυτῆς. Sed sic sæpe peccat : cf. p. 155.

(4) Non intellexit latina, « per » si quid merui de te bene. » Repone : πρὸς τῆς εὐδαιμονίας, εἴ τινος ἐξ ἐμοῦ γε ἔτυχες. Hoc modo, si non elegantiam poetæ, saltem fuisset sensum assecutus.

» τι ὀφῶν δύνηται (1), εἰς ἐμὲ βλέπει, καὶ ἐν ἐμοὶ καὶ τῷ
» ἐμῷ σίομαί τι τὴν ἀθλίαν ἐκπνεῖ ψυχήν. Βελλίονι
» δ' ὅμως προσώπῳ ἐνήσχειν ἐδόκει, ἀποθεμένη τὴν
» μέριμναν. »

Κλαιόντων τῶν ἀκουόντων, σὺν δάκρυσι τούτων

(1) « *Dumque aliquid spectare* » *potest* » : Planudes legebat, *Cumque*. Repone : *καὶ μέχρις ἂν ὀπῶσ.*

Ut nimii, quo septimus liber ab octavo separatur, spatii maximam saltem partem impleam, proferam e codice Regio 1630, p. 217, 2, fragmentum gnomicum nescio cujus hominis qui in mulieres acrius invehitur, Euripideo more, non stylo ; quo si uteretur, facilius sibi posset veniam impetrare. Codex autem ille 1630 olim fuit Antonii Eparchi, de cujus rebus quum nuper inquireret vir quidam geometriæ et astronomiæ quam historiæ literariæ peritior, toto erravit cœlo, ut in Notitiis MSS. t. XI, part. II, p. 266, fusius fuit declaratum. Sed jam ad *μισογύνην* monachum accedamus.

Τί ἐστι γυνή; Ἀπόκρισις. Ἄκουσον τοῦ σοφοῦ Σολομῶντος (a)· « Μὴ πρόσεχε φαύλῃ γυναικί· μέλι
» γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναι-
» κὸς πόρνης, ἣ πρὸς καιρὸν λι-
» παίνει σὸν φάρυγα, ὕστερον δὲ
» πικρότερον χολῆς εὑρήσεις καὶ ἠκο-
» νημένον μᾶλλον μαχαίρας δισ τό-
» μου. » Καὶ πάλιν· Τί ἐστι γυνή; Ἄκουσον τῆς Σοφίας λεγούσης (b)· « Πολλοὺς τρώσασα γυνὴ καθεβά-
» βληκε, καὶ ἀναρίθμητοί εἰσιν οὓς
» πεφόνευκε. » Διὸ λέγει (c)· « Ἐν κάλ-
» λει γυναικὸς ἀρχὴ ἁμαρτίας καὶ δι' » αὐτῆς πάντες ἀποθνήσκομεν. » Εἰ δὲ φιλόνεικος εἶ (d), μάθε παρ' ἐμοῦ τί ἐστι γυνή· Γυνή ἐστιν ἐπὶ γῆς ναυ-άγιον, πηγὴ ἡδονῶν, θησαυρὸς ὑπα-ειάς, τρέσις ἀσωλίας, ἄγκιστρον ἡ-δονῶν, θανατηφόρος συντυχία, μανίας ἀπόλαυσις, ἄγγελος φθορᾶς, ἰοβόλον ξίφος. Τί ἐστι γυνή; Σωφρονούν-των ἐπήρεια, ἁγίων διαβολή, σκη-πτρον ᾅδου, ὁδὸς ἀπωλείας, ὀλι-σθηρὸς δρόμος, ἀνάπαυσις Ὀφεως, Διαβόλου παρηγορία, ἀπαρηγόρητος ὀδύνη. Τί ἐστι γυνή; Νέων καλα-στροφή, εὐάλωτον κλῆμα, εὐσεβῶν διαφθορά, ὀφθαλμῶν πλάνη, σωμά-των σκώληξ, ἁγίων σκάνδαλον, βορ-βορώδης λάκκος, ὑποκαιομένη κάμι-νος, σωζομένων ἀπώλεια, ἀθεράπευ-τος κακία, καθημερινὴ λέσχη. Τί ἐστι γυνή; Ἀσεβέστατος μανία, ξε-

(a) Proverb. c. 5, *v.* 2, sqq.
(b) Prov. c. 7, *v.* 26. Codex, *ἀναρίθμητοι.*
(c) Sap. Sirach. c. 25, *v.* 24.
(d) Leg. *ἐσπ*, ut paulo inferius.

τῶν ῥημάτων καὶ ὁ ἥρως ἐμέμνητο. Ἰδοὺ καὶ ὁ Αἰα-
865 κὸς εἴσεισιν ἅμα τοῖν δυοῖν τέκνοιν καὶ τῇ νέᾳ στρα-
τιᾷ, ἣν ὁ Κέφαλος ὀχυρῶς ὡπλισμένην ἐδέξατο.

νοδοχεῖον ἄσωτον (e), μάθησις ἀνοίας, ἀκρασίας τρίβος, ψυχῆς θάνατος, ὄλεθρος ἐπιθυμητὸς, ὁπλοθήκη Διαβόλου, εὔμορφος ᾅδης, κεκαλλωπισμένος θάνατος, ζῶον πονηρόν. Τί ἐστι γυνή; Κάμινος ἄνθρακος, λίμνη αἱμάτων, πόλις ἄστατος, ᾅδης σωμάτων, φίλτρον πονηρὸν, ἀναιδὲς θηρίον, ἀκράτητος ὁρμὴ, πόμα οἴστρου, ἀχαλίνωτος μανία. Τί ἐστι γυνή; εἰ δὲ φαύλη καὶ φιλόνεικός ἐστιν, ἄκουσον παρ' ἐμοῦ. Γυνή ἐστι παραπτωμάτων διδασκαλία, ἀντίδοτος θανασίμη, σκανδαλισμὸς ἀφρόνων, φυτὸν ὕλης, κῆπος (f) τραυμάτων, αἰτία σκολιὰ, ῥυπαρίας πρόξενος, πίθος ἅλμης, ῥύαξ ἀπωλείας, ᾅδης ταρτάρου. Τί ἐστι γυνή; Νέων βόθρος, ὄμβρος ἀκρασίας, σκοτίας ὁδηγὸς, σωφροσύνης ἀλλωτρίωσις, κτῆμα ὀδύνης, ἐπιθυμητὴ λύσσα, φιλαμαρτήμων οἶκος, ἀσελγείας ὁδηγὸς, ἀκόρεστος ἐπιθυμία. Τί ἐστι γυνή; Γήϊνον φρόνημα, συνειδήσεως σπῖλος, ὕβρεως χορηγὸς, βάραθρον ἀνθρώπου, ἁγιωσύνης ἀφανισμὸς, ἐγκρατευομένων θάνατος, βραβεῖον ἀσωτίας, ἀπόλαυσις πονηρὰ, γλυκὺς ὄλεθρος, ἡδυτάτη μάστιξ, κεκαλλωπισμένη καὶ εὐπρεπὴς ἀῤῥωστία. Τί ἐστι γυνή; Ἐγγιζόντων μολυσμὸς, βλάβη θεοσεβείας, παῤῥησιαζομένων σπῖλος, φαρέτρα φροντίδων, λαγνείας ἐπικαρπία, ἀκάθαρτος φιλία, φιληδόνων τέρψις, μαινονομένων σπουδή. Τί ἐστι γυνή; ἀνδρὸς ἐπιθυμία (g), συνεστιώμενον θηρίον, συνεγειρομένη μέριμνα, συντηρουμένη δράκαινα, ἱματισμένη ἔχιδνα, καθημερινὴ ζημία, αὐθαίρετος μάχη, πολυτελὴς πόλεμος, πολυπόνηρον ζῶον, ἀναγκαῖον κακὸν παρὰ πάντα τὰ κακά.

(e) Legendum videtur ἀσώτων.

(f) De translatione vocis κῆπος cf. notam ad Nicet. Eugen. pag. 203.

(g) In hoc extremo capitulo descripsit monachus Secundi Sententias, cujus cf. edit. Galeana pp. 636, 640. Ex eodem Regio libro pag. 190, 2, Secundum augebo, data commodum occasione: Σεκοῦνδος ἐρωτηθεὶς τί ἐστι γυνὴ, ἔφη· Ἀνδρὸς κίνδυνος, οἰκίας ζάλη καὶ μεθημερινὴ ζημία, νικῶσα καὶ αὐτὴν τὴν ἀμαιμακέτην Χίμαιραν.—Glossa ibidem est ad ἀμαιμ., ἀκαταπόνητον.



ARGUMENTUM

LIBRI VIII

EX CANTERI NOVIS LECTIONIBUS.

Minoi interim Megaram obsidenti *Scylla*, amore ejus capta, patriam cum crine *Nisi* patris purpureo prodit; sed spreta ab illo, quum abeuntis navi inhæreret, in *cirin* avem, pater autem in *haliæeton* mutantur. Reversus Minos in Cretam, *Minotaurum*, opprobrium generis sui, labyrintho, Dædali arte posito, includit, et Atticis pueris pascit, e quibus *Theseus* monstrum interficit, atque *Ariadnen*, cujus ope ex labyrintho se expediverat, secum e patria ductam in Dia insula relinquit, ubi eam Bacchus assumit, ejusque *coronam* inter *sidera* collocat. *Dædalus* vero, quum ex insula illa aufugere non posset, alis inventis evolavit; sed *Icarus* post patrem volans submersus est. Ejus exsequias celebrantem vidit patrem, gaudiumque testata est *perdix*, e *Perdice*, aut Talo, ingenioso multarum rerum inventore, quem Dædalus invidia motus ex arce Minervæ præcipitem miserat, transformata. *Theseus* interea, quum celeberrimus jam esset, ad *aprum Calydonium* tollendum vocatus est, quem *Atalanta* prima vulneravit, *Meleager* autem interfecit; cujus mortem acceleravit *Althæa* mater, combusto stipite fatali. Theseus, ex ista venatione rediens, ad *Acheloum* devertitur et *Echinades* insulas conspicit, in quas *Naiades* erant conversæ. Quod ita fieri potuisse, negante Pirithoo, Lelex primum *Baucidis* et *Philemonis* probat exemplo, qui in *arbores* fuerint commutati, sicut *domus* eorum in *templum*, ac *pagus* ipse in *stagnum*. Achelous deinde *Protei* et *Mestræ*, Erisichthona, patrem fame furentem, alentis *naturam transformem* addit.

ΟΒΙΔΙΟΥ
ΜΕΤΑΜΟΡΦΩΣΕΙΣ.

ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

Ἦδη δὲ τοῦ Ἑωσφόρου τὴν λευκόχροον ἀνοιγνύντος ἡμέραν καὶ τὸν χρόνον τῆς νυκτὸς φυγαδεύοντος, πίπτει μὲν ὁ εὖρος, καὶ ὑγρὰ νέφη ἀνίσταται, πρεπεῖς δὲ νότοι δρόμον ἐπανιοῦσι παρέχονται τοῖς τε Αἰακίδαις καὶ τῷ Κεφάλῳ, οἵσπερ εὐτυχῶς ἐνεχθέντες, πεινὴ περσεδοκῶντο, τῷ ζηλουμένῳ περσέσχον λιμένι. Ἐν δὴ τούτοις ὁ Μίνως τὴν τῶν Λελέγων καλασιρέφεται παραλίαν, πρόπειράν τε λαμβάνει τῆς τοῦ πολέμου δυνάμεως ἐν τῇ πόλει Ἀλκαθόῃ, ἣν εἶχεν ὁ Νῖσος (1), ᾧ πορφύρᾳ περιφανὴς πλόκαμος, μέλαξὺ τῶν τιμίων πολιῶν, ἀπὸ μέσης καθεῖτο κορυφῆς, μεγάλη πίστις τῆς βασιλείας.

Ἔκλον τοίνυν ἠγείρετο κέρας τῆς σελήνης ἀναλελλούσης, καὶ τὰ τῆς τοῦ πολέμου τύχης ἔτι ἐταλαντεύετο (2), καὶ μέσον ἀμφοῖν ἐπὶ μακρὸν ἀμφιβόλοις

Τῇ γε μὴν εὐψυχίᾳ τὸ μέγα τῆς ὀδύνης καταγωνί-
ζεται· σπυγνάζει δ' ὅμως ὡς ἀπρακτῳ θανάτῳ πε-
σούμενος καὶ χωρὶς αἵματος, καὶ τὰ τοῦ Ἀγκαίου
τραύματα μακαρίζει· καὶ τόν τε γηραιὸν παλέρα
σὺν σπεναγμοῖς καὶ τοὺς ἀδελφοὺς καλεῖ, καὶ τὰς

(1) B, οἰχήσῃ. Statim B, τῆς αὐτοῦ: cf. p. 265. A, νῦν δ' ἀπόδος.

(2) Addidi με. Ovidius: « vel » me fraternis adde sepulcris. »

(3) B, δύναμαι τὶ δράσαι.

(4) A, ἑστᾶσι. B, μου ἑστῶσι, et, supra, ἑστᾶσι. Mox B, κάμπτειν.

(5) B, ἐπὶ θανάτου: cf. p. 161, ubi eadem vox in codd. corrupta legitur.

φιλοικτίρμονας ἀδελφὰς, καὶ τὴν τοῦ λέχους κοινωνὸν, ὑσλάτῃ φωνῇ δὲ τάχα που καὶ τὴν μητέρα. Ηὐξήθη δὲ τὸ πῦρ καὶ τὸ ἄλγος, καὶ αὖθις ἐλώφησε, καὶ ἅμοῦ τούτων ἑκάτερα ἔσβεσται· εἰς δὲ τὰς κούφας αὔρας καλὰ μικρὸν ἀπῆλθε τὸ πνεῦμα. Πέπλωκε τοίνυν ἡ ὑλακὴ Καλυδών· θρηνοῦσι δ' οἵ τε νεώτεροι καὶ πρεσβύτεροι· ὅ, τε δῆμος καὶ ὅσοι τῶν ἀείσλων σλεναγμοῖς ἔχονται· αἱ δὲ Καλυδώνιαι μητέρες, τὴν κόμην σπαράξασαι, ὀλοφύρονται. Ὁ δὲ πατὴρ Οἰνεὺς (1), κόνει τὰς πολιὰς καὶ τὸ γεραλέον πρόσωπον φύρας, καὶ καλενεχθεὶς εἰς γῆν, τὸν μακρὸν αὐτοῦ λοιδορεῖται βίον. Καὶ γὰρ ἐκ τῆς μητρὸς ἡ τὸ δεινὸν αὐτῇ συνειδυῖα χεὶρ ἔργον δίκας ἐπράξαλο, ξίφος διὰ τῶν σπλάγχνων ἐλάσασα. Οὐκ ἂν, εἴ μοι στόματα πολύφωνα θεὸς ἑκατὸν καὶ γλώσσας τοσαύτας, καὶ χωρητικωτάτην διάνοιαν ὅλον τε δεδώκει τὸν Ἑλικῶνα, τοῖς τῶν ἀθλίων ἀδελφῶν (2) παρηκολούθησα ἐλεεινοῖς ῥήμασιν· ἁπάσης γὰρ εὐσχημοσύνης ἀμνημονήσασαι, πεπλυνωθέντα τὰ σέρνα κόπτουσι, καὶ τὸν νεκρὸν, μέχρι καὶ ἐς ὃ μένει, περιέπουσί τε καὶ ἐνστερνίζονται, φιλήματά τε διδόασιν αὐτῷ, φιλήματα διδόασι προσθεῖσῃ (3) καὶ τῇ κλίνῃ, μετὰ δὲ τὴν κόνιν, τὴν κόνιν λαμβάνουσαι ἐνστερνίζονται, καὶ περιχυθεῖσαι τῷ τάφῳ κεῖνται, καὶ, τῷ λίθῳ περιπλεκόμεναι, ἐν αὐτῷ τοὔνομα ἐνσημαί-

(1) Habuit lectionem malam cod. Regii, ab Editore nostro diligentissimo et eruditissimo adpositam : « Œneus atque Pul- » vere » . . . . . .

(2) Hic inferiora sunt latinis græca. Non potest enim ex ipsis verbis definiri de fratribus agatur, an de sororibus. Sequentia tollent ambiguitatem.

(3) B, φιλ. τε διδόασιν προσθ., ceteris omissis; manifesta defectus causa, ea nempe quam toties memoravimus, τῷ ὁμοιοπτευτῳ.

νονται, καὶ δάκρυα ἐπὶ τῷ ὀνόματι χέουσι. Ταύτας δ', ἐπείπερ ἡ Λητὼ τῷ ὀλέθρῳ τῆς Οἰνέως οἰκίας ἐκορέσθη, τὴν Γοργήν τε καὶ τὴν νύμφην τῆς ἀληθοῦς (1) Ἀλκμήνης, φύσαι παρασκευάσασα τέρας ἐν τοῖς σώμασι, κουφίζει πρὸς ἀέρα, καὶ μακρὰς διὰ τῶν βραχιόνων ἐκτείνει πτέρυγας, κερατινόν τ' ἐμποιεῖ στόμα, καὶ μεταμορφωθείσας ἀφίησι φέρεσθαι.

Ἐπὶ δὲ τούτοις ὁ Θησεὺς, μέγας καὶ αὐτὸς ἀπολαύσας τοῦ καθ' ἑταιρείαν συστάντος ἔργου, πρὸς τὴν Ἐρεχθέως γῆν, τὴν Τιτωνίδος ἀκρόπολιν ἥκει. Ἔκλεισε δ' αὐτῷ τὴν ὁδὸν Ἀχελῷος ἐξ ὁμβρων οἰδαίνων, καὶ τελὴν ἐνεποίει προθυμουμένῳ ἰέναι. Καὶ δή καί φησιν· « Ὑποχώρει πρὸς τοὺς ἐμοὺς οἴκους, » Περιφανὲς Κεκροπίδη· μηδὲ παραβάλλεσθαι πρὸς » τὴν τῶν ὑδάτων ὀξύτητα θέλε. Μακρὰς γάρ τοι » δρόμους φέρειν καὶ μεγάλῳ μυκήματι πέτρας ἀπορ- » ῥῶγας κυλίειν εἰώθασιν. Εἶδον ἀγχιτέρμονας ταῖς » ὀχθαις μακρὰς ἐπαύλεις θρέμμασιν αὐτοῖς καία- » συρομένας, ἔνθα οὔτε ταῖς ἀγέλαις εἰς ὄφελος » γέγονε (2) τὸ ῥωμαλέαις εἶναι, οὔτε μὴν τοῖς ἵπποις

(1) Latinum *nobilis* potius vertendum fuerat, κλεπῆς, εὐγενοῦς.

(2) Ovidius : « nec fortibus » illic Profuit armentis, nec equis » velocibus esse. » Fit sæpe eo modo virtutis quæ fuit inutilis commemoratio. Noster, M. IV, 192 : « Quid nunc, Hyperione » nate, Forma calorque tibi, ra- » diataque lumina prosunt » ? et VI, 95, de Antigone quæ est a Junone in volucrem versa : « nec » profuit Ilion illi, Laomedonve » pater. » Dion Chrys. Or. XXXIII, pag. 10, de Trojanis : οὐχ ἡ σύμπασα χθὼν ταῖς συμφοραῖς αὐτῶν διαλθρύλλησαι; Καὶ οὐδὲν ὄνησεν αὐτοὺς οὔτε τῶν ἵππων τὸ πάχος, οὔτε ὁ Ζεὺς, οὔτε ὁ Γανυμήδης, ἀλλ' ὑπ' ἀνδρὸς ἐξ οὔπω λυπρᾶς (sic cod. 2958) καὶ ἀδόξου πόλεως ἀπώλοντο. Jo. Secundus, Fun. I, 59 : « Nec » virtus tua, care pater, tibi pro- » fuit uni, Nec pietas, justique

» τὸ ταχινοῖς ὑπάρχειν. Πολλὰ δ' οὗτος ὁ χείμαρρος,
» τῆς χιόνος ἐν ὄρεσι τηκομένης, σώματα νέων θολερῷ
» καλεδάπτισε βυθῷ. Ἀσφαλέστερόν ἐστιν ὑπομονή,
» φησίν, τὸν εἰωθότα δρόμον οἱ παλαμοὶ τρέχουσι,
» κἂν ταῖς ἑαυτῶν κοίταις τὰ λεπτὰ χωροῦσιν ὕδα-
» τα. » Ἐπένευσεν ὁ Αἰγίδης, καὶ « Χρήσομαι (1) »
ἀπεκρίνατο «τῇ τε σῇ οἰκίᾳ καὶ τῇ σῇ συμβουλῇ,
» Ἀχελῶε· » καὶ ἐχρήσατο ἑκατέρᾳ. Ὑπεισέρχεται
τοίνυν αὐλὴν κισσήρει πολυτρήτῳ (2) καὶ πολυτελάντοις
κατεσκευασμένην πώγοις (3), ἧς τοὔδαφος μαλακῷ
φυκίῳ διάβροχον ἦν· ἐξ ἐπιπολῆς δὲ τοῦ ὑγροῦ κόγχαι
ἀλλοίοις ὀστράκοις ἐνήχοντο (4). Ἤδη δὲ καὶ τοῦ

» amor inconcussus et æqui » : ubi Bosscha. Delillius, in Rusticante I, cervi mortem describens : « Hélas ! que lui servit » son port majestueux, Et sa taille » élégante, et ses rameaux super- » bes, Et ses pieds suspendus sur » la pointe des herbes ? » Popius quoque elegantissime in Windsoria Silva, quem gallice versibus æque elegantissimis reddidit vir qui laurum momorderat, et quo nemo melius potuisset canoris eloquium modis nectere, sed qui, fractis calamis, Fidenarum maluit Gabiorumque esse potestas : Popius igitur gallice eloquens : « Le riche oiseau du » Phase à travers la fougère Fuit, » s'élance, et triomphe. O gaîté » passagère ! Le plomb brûlant » l'atteint..... De quoi lui sert » l'éclat de ses couleurs si belles, » La pourpre de sa crête et l'é- » mail de ses ailes, De son œil » arrondi l'étincelante ardeur, Et » de sa gorge d'or la mobile splen- » deur ? »

(1) Ovid. : « utar*que*, Acheloe, » domoque Consilioque tuo, *re-* » *spondit* » : quorum hæc est syntaxis : « responditque, Utar » domoque cons..... » In græcis distinctio fuit nitidior et facilior : cf. p. 203.

(2) B, πολυτρώπω. In A, emendatio recentius facta est.

(3) A, post καλκοκ., lacunula hiat. In B deest vox πώγοις, sed sine lacunæ indicio. Ovidius : » nec levibus atria *tophis* Stru- » cta. » Puto me aptam vocem supplevisse. Peccavit hic Planudes et omissione et admissione. Etenim *nec levibus* credidit esse pro *gravibus* positum seu *ponderosis*, quum sit pro *non lævigatis* seu *asperis*, οὐ λείοις. Cf. p. 102.

(4) Ovid. « Summa *lacunabant* » alterno murice conchæ. » Repe-

Ὑπερίονος δύο τοῦ φωλὸς μερίσαντος μέρη, ἀνεκυλίσθησαν ἐπὶ σπρωμάτων Θησεύς τε καὶ οἱ τοῦ πόνου συμμέτοχοι· ἔνθεν ὁ μὲν Ἰξιονίδης, ἐκεῖθεν δ' ὁ Τροιζήνιος ἥρως Λέλεξ (1), ἤδη τοὺς χρυσάφους βραχείαις ῥαινόμενος πολιαῖς, καὶ ἄλλοι οὓς τῆς ἴσης τιμῆς ἠξίωσεν ὁ τῶν Ἀκαρνάνων πολεμὸς, εὐθυμότατος ἐπὶ τοῖς τοιούτοις ξένοις γενόμενος. Αὐτίκα δ' αἱ Νύμφαι, γυμναὶ τοὺς πόδας (2), τραπέζας τεθεῖσαι, τοῖς βρώμασι ταύτας ὑπέτρεπισαν, καὶ, τῶν βρωμάτων ἀρθέντων, ἐν κρατῆρι οἶνον ἔθηκαν. Τότε τοίνυν ὁ μέγιστος ἥρως τὴν ὑποκειμένην τοῖς ὀφθαλμοῖς ὁρῶν θάλασσαν (3), « Τίς » εἶπεν « ὁ

risse videtur Planudes, *summo lacu nabant alieno murice conchæ*, nec absurdam lectionem emendare se studuit. Latina sic fere fuerant vertenda: *τὴν ὀρφὴν κόγχαι καὶ πορφύραι ἐπαλλήλως διαπαχθεῖσαι ἐφάτνωσαν.*

(1) Schol. Ἰξιον. Πειρίθους δηλονότι. Τροιζ. Θησεύς. Ovidius : « Hac Ixionides, illa Trœzenius » heros Parte Lelex. » Unde patet Lelegem esse Trœzenium heroem, et schol. errare : erravitque Plan., e cujus textu καὶ ante Λέλεξ sustuli, ne diutius erraret.

(2) Gierig. Nymphas ait nudis ministrare pedibus propter reverentiam ; fuisse enim reverentiæ signum ; et lectorem remittit ad Spanhem. Equidem non nescio rem sacram olim hoc habitu esse factam deosque oratos ; a Tertulliano Apol. 40, doceor in imbrium raritate nudipedalia populo fuisse denunciata, ubi vide Haverc., collato Fabricio ad Marini Proclum p. 90 : videat et qui plura cupit, quos titulo tenus novi, libellos Sagittarii de Nudipedalibus et Walchii de Religiosa Veterum ἀνυποδησία. Sed cur tanta jam Nympharum erga hospites homines reverentia? « Nu- » dæ vestigia » epulas instruunt, et quod *aquaticas* Nymphas plerumque sandalis abstine reputandum sit ; vel ut sint expeditiores et in ministerio obeundo actuosiores ; vel ob summam in exsequendis jussis festinationem ἀσάνδαλοι procurrerunt. Frequens ἀνυποδησίας mentio in summa properantia. Apud Nonnum VIII, 18, Semele amens et externata ἀπέδιλος ἀναθρώσκει : apud Æschyl. Prom. 138, Oceanides, ex antris mallei sonitu excitæ, σύθησαν ἀπέδιλοι : ubi vide similia a Stanleio collata.

(3) A, θάλατταν. Cf. not. p. 249.

» τόπος ἐκεῖνος » ; καὶ ἔδειξε τῷ δακτύλῳ · « καὶ ἡ
» νῆσος ἐκείνη τί ποτε φέρει τοὔνομα δίδασκε, εἰ
» καὶ τὰ μάλιστα μὴ μία δοκεῖ. » Πρὸς ταῦτα ὁ
Πάλαμος « Οὐκ ἔστι » φησὶν « ὃ βλέπομεν ἕν · πέντε
» γὰρ κεῖνται δάπεδα. Τὸ μέντοι διάστημα τοὺς
» τούτους διορισμοὺς ὑποκλέπτει. Ὡς ἂν δὲ καὶ
» ἐλαττον τὸ τῆς περιφρονηθείσης Ἀρτέμιδος ἔργον
» θαυμάσῃς, Νηΐδες ταῦτα γελῶνασιν, αἳ, δὶς πέντε
» θύσασαι μόσχους, καὶ τοὺς τῶν ἀγρῶν θεοὺς εἰς
» τὰ ἱερεῖα καλέσασαι, ἡμῶν ἀμνημονήσασαι, τὰς
» τῆς ἑορτῆς ἤσκουν χορείας · ἐγὼ δ' ἐξοιδῶ, καὶ ὅσος
» φέρομαι νίκα πολυπέταλος γίνομαι, τόσος ἦν,
» ἐπίσης τε θυμοῖς καὶ κύμασι σφοδρυνόμενος ἐκ
» δρυμῶν τε δρυμοὺς καὶ ἀγρους ἐξ ἀγρῶν ἀνέ-
» σπασα, καὶ σὺν τῷ χώρῳ τὰς Νύμφας, τότε γοῦν
» μιμνησκομένας ἡμῶν (1), εἰς τὴν θάλασσαν κατε-
» κύλισα. Τὸ δ' ἐμόν τε καὶ τὸ τῆς θαλάσσης
» κῦμα τὴν συνεχῆ διέστησε γῆν καὶ ἐπίσης διέσπασεν
» εἰς τόσας Ἐχινάδας, ὅσας ἐν μέσοις ὁρᾷς τοῖς
» κύμασιν.

» Ὡς · γε μὴν αὐτὸς βλέπεις, πόρρω δὴ πόρρω
» μία νησὶς ἀνακεχώρηκε, χαιέσσά γέ μοι · Περι-
» μήλην οἱ ναῦται καλοῦσι. Ταύτην ἐρωμένην ἐγὼ
» τὴν κλῆσιν ἀφειλόμην τῆς παρθενίας · ὅπερ ὁ παλὴρ
» Ἱπποδάμας βαρέως ἤνεγκε, καὶ σκοπέλου πρὸς
» βυθὸν ὧσε τὸ τῆς παιδὸς σῶμα ἀπολουμένης (2) ·

(1) B, ἡμᾶς. Et infra βλέπεις.

(2) Legit Planudes *perituræ*. Altera lectio *parituræ*, quæ Heinsio placuit, mihi vix placere fateor. Nam, si *parituræ* scripsisset Ovidius, procul dubio de partu narrasset utrum fuerit fluctibus ereptus, an cum matre conditus terra induruerit. *Viderint periti*, Editor noster ait; ipse viderit.

» ὑπεδεξάμην δ' ἐγὼ, νηχομένην τε (1) φέρων,
595 » Ὦ γείτων, εἶπον, ἡγεμονία τῇ γῇ, Τριαινοφόρε,
» κεκληρωμένε τοῖς ἀστάτοις ὕδασιν (2), οὗ παυό-
» μεθα, οἵπερ οἱ ἱεροὶ ποταμοὶ τρέχομεν, ἐνταυθοῖ
» πάρεσο, καὶ ἄκουσον δεομένου μου, Πόσειδον, εὐ-
» μενής. Ἐγὼ ταύτην, ἣν φέρω, κακῶς παθεῖν
» ἔδρασα· κἂν εἴγε πρᾷος καὶ δίκαιος, εἴγε πατὴρ,
600 » Ἱπποδάμας, ἢ εἴπερ ἧττον ἀπηνὴς ἦν, ὤφειλεν
» αὐτὴν μὲν οἰκτεῖραι, ἡμῖν δὲ συγγνῶναι. Πάρεχε (3)
» ταύτῃ βοήθειαν, ᾗ πᾶσα γῆ ἀποκέκλεισται τῇ τοῦ
» πατρὸς θηριωδίᾳ, καὶ τῇ καταποντισθείσῃ, δέομαι,
» τῇ τοῦ πατρὸς θηριωδίᾳ δὸς, ὦ Πόσειδον, τόπον (4)·
» ἢ, εἴπερ ἔξεστι, αὐτὴ (5) τόπος ἔστω· καὶ ταύτην
» ἐγὼ περιέποιμι. Ἐκίνησε δὴ τὴν κεφαλὴν ὁ θα-
» λάττιος βασιλεὺς, καὶ πᾶν τὸ ὕδωρ κατανεύσας
605 » ἐτάραξεν. Ἐξεδειματώθη δ' ἡ Νύμφη· ἐνήχετο δ'
» ὅμως καὶ εἴχετό μου. Ἐγὼ δὲ τῶν στέρνων ἡπτόμην
» τρομερῷ παλλομένων φόβῳ· καὶ, ταῦτ' ἐπιψη-
» λαφῶν, τοῦ σώματος παντὸς ᾐσθανόμην σκληρυ-
» νομένου καὶ τῶν περικαρδίων, γῆς αὐτοῖς ἐπαγο-
» μένης, καλυπτομένων. Ἐν ᾧ δέ τι (6) περὶ τούτων

(1) B, non τε: infra, εὐμενές.

(2) Latina, « O proxima terræ »Regna vagæ sortite, Tridenti»fer, undæ », pessime distinxit, ita ut *regna* ipsi esset vocativum, et *sortite* participium passivum pro *sorte date*. Velim : ὦ γείτον', εἶπον, ἡγεμονίαν — κεκληρωκὼς ἐν τοῖς—

(3) A, πάρασχε.

(4) Verba καὶ τῇ κατ. δ. τῇ. τ. π. θηρ. desunt in A. In codice suo Planudes lectionem invenerat: « Cui quondam tellus » clausa est feritate paterna, Ad»fer opem; mersæque, precor, »feritate paterna Da, Neptune, »locum. » Repetitio clausulæ, etsi non sit nunc felicissima, esse tamen Ovidiana videtur.

(5) Codd. αὐτῇ, quod mutavi, ut qui sensus est in latinis et in græcis esset.

(6) In cod. B, ἐν ᾧ δέ τι.

» ἔλεγεν, γῆ νέα τὰ πηχόμενα περιέλαβε μέλη, καὶ
» εἰς βαρεῖαν νῆσον, τῶν μελῶν μεταμειφθέντων,
» πύξήθη. »

Ἐντεῦθεν ὁ Πολαμὸς ἐσιώπησε· καὶ τὸ θαυμασθὸν τοῦτο πάντας ἐξέπληξεν. Ὁ δέ γε τοῦ Ἰξίονος παῖς γελᾷ τοὺς πιστεύοντας, οἷα τῶν τε θεῶν καταφρονητὴς καὶ ἰταμῆς ὢν διανοίας. « Καὶ δὴ πεπλασμένα
» διέξει, καὶ τοὺς θεοὺς ἐκλόπως οἴει δυναλοὺς,
» Ἀχελῶε, εἶναι » φησὶν, « εἴ γε διδάσι καὶ ἀφαι-
» ρεῦσι μορφάς. » Ἐνεοὶ πρὸς ταῦτα πάντες γεγόνασι, καὶ τοὺς τοιούσδε τῶν λόγων οὐ δοκιμάζουσι. Περί γε μὴν πάντων ὁ Λέλεξ, καὶ τῇ ψυχῇ καὶ τῷ χρόνῳ πέπειρος, οὕτως εἶπεν· « Ἄπειρός ἐσλι καὶ
» τέλος ἡ δύναμις τῶν ὑρανίων οὐκ ἔχει, καὶ ὅ,
» τιπερ οἱ ὑπέρλαλοι θεοὶ τεθελήκασι τέλεσμένον
» ἐσλίν. Ὡς ἂν δ' ἥτλον ἐνδιάζῃς, ἄκουε δή. Δρῦς
» φιλύρᾳ ἀγχιτέρμων ταῖς Φρυγίαις νάπαις ἐσλι (1),
» τοίχῳ πρειλημμένη μέσῳ (2). Αὐτὸς εἶδον τὸν
» τόπον· καὶ γάρ με Πιτθεὺς ἔπεμψεν εἰς τὰ Πε-
» λόπεια πεδία, τὰ τῷ ἑαυλοῦ πολὲ βασιλευθέντα
» παλαί. Ἐντεῦθεν δ' οὐ πόῤῥω λίμνη τίς ἐσλιν, οἰ-
» κουμένη μὲν γῆ πρόσθεν, νῦν δὲ πάπποις (3) καὶ
» αἰγυπιοῖς λιμναίοις ὑγρὴν ἐνδιαίτημα. Ζεὺς δ'

(1) Inserui φιλύρα. Ovidius : « Quoque minus dubites, *tiliæ* » contermina quercus Collibus » est Phrygiis. » Voci quam non intelligebat, vel legere non poterat, substituit illud suum, ἄκουε δή.

(2) Legitne *medio* ? Melior est lectio *modico*, μικρῷ nempe.

(3) Ovidius, *mergis*, quod vertendum putaverim, αἰθυίαις. Infra XI, 752, *mergum* Ovidii græce rursus πάπτον vocat. Recentioribus avis aquatica anser nomine simili πατίον et πατπὶ dicitur, et anas, anaticula, πατίτζα: vide Cangii Glossarium mediæ et infimæ græcitatis.

» ἀνθρωπείᾳ μορφῇ ἐκεῖσε, καὶ σὺν τῷ πατρὶ ὁ
» Ἀτλαντιάδης χρυσόῤῥαπις, ἀποθέμενος τὰς πτέρυ-
» γας, ἦλθε. Μυρίοις δὴ προσῆλθον οἴκοις ἀνάπαυλαν
» καὶ καταγωγὴν ζητοῦντες· μυρίοι δὲ τούτοις τοὺς
» οἴκους ἀπέκλεισαν. Ἑσπέρας δ' ὅμως οἰκία μία (1)
» τοὺς θεοὺς ὑπεδέξατο, μικρὰ μὲν, καλάμοις τε
» καὶ δόναξι λιμναίοις ἐστεγασμένη· ἀλλ' ἦσαν ἐν
» ἐκείνῃ ἥ τε (2) Βαυκὶς γραῦς εὐσεβὴς καὶ ὁ τὴν
» ἡλικίαν ἴσος αὐτῇ Φιλήμων, οἵ τινες, ἐκ νεωτερικῶν
» ἐτῶν συναφθέντες, ἐν ἐκείνῃ κατεγήρασαν τῇ κα-
» λύβῃ, καὶ τὴν πενίαν, ὁμολογοῦντες, κουφοτέραν
» ἐποίουν καὶ γνώμῃ εὐμενεῖ φερομένην. Καὶ οὐδὲν
» ἐκεῖ τὸ διάφορον εἴγε δεσπότας ἢ δούλους ζητοίης·
» δύο γάρ εἰσιν ἡ οἰκία πᾶσα, οἱ δ' αὐτοὶ ὑπακούουσί
» τε καὶ ἐπιτάττουσιν. Ἐπεὶ τοίνυν οἱ οὐράνιοι παρὰ
» τὴν μικρὰν ταύτην οἰκίαν ἐγένοντο, καὶ, τὴν κεφα-
» λὴν ὑποκλίναντες, τὴν ταπεινὴν εἰσῆλθον φλιὰν (3),
» βάθρα ὁ γηραιὸς ὑποθεὶς, τὰ μέλη διαναπαύειν
» ἐκέλευσεν, οἷς ἡ Βαυκὶς ἐξυπηρετουμένη ὕφασμά
» τι ἐπέθηκεν (4) ἀτημέλητον· κἀπὶ τῆς ἐσχάρας,

(1) Ovidius : « Mille domos » clausere seræ, tamen una re- » cepit. » Planudes legit : « Mille » domos clausere ; sero tamen » una recepit. » Non intellexit metrum hac lectione corrumpi.

(2) B, ἐν ἐκείνοις ἤδη ἥτε.

(3) B, φλοιάν. Infra B, φυλλάδι τε φλοιοῖς.

(4) Vetus hic fuit erga hospites benivolentiæ et observantiæ mos atque ritus, ut sedilia ipsis supponerentur, pulvinoque insuper fulcirentur. Apud Nonnum VIII, 192, in Junonis ad Semelen ingressu : Τὴν μὲν Πειθιάνασσα καθίζανεν ὕψοθι δίφρου Ἀμφίπολος Σεμέλης..... Θελξινόη δὲ τάπητας ἐνήρμοσεν οἴνοπι δίφρῳ. Praxinoe Theocritea, invisente ad se amica Gorgone, servulam compellat jubetque sedile cum pulvino ocius afferri : ὄρη δίφρον, Εὐνόα, αὐτᾷ· Ἔμβαλε καὶ ποτίκρανον. Ubi vide quæ notarunt Warton., Valcken., Tupius.

» τὴν σποδιὰν ὑπόθερμον οὖσαν ἀνασαλεύσασα, τὸ
» προμαρανθὲν ἀνεζωπύρησε πῦρ, φυλλάδι τε καὶ
» φλοιοῖς ξηροῖς ἔθρεψε, καὶ γηραλέᾳ προθυμίᾳ (1)
» πρὸς φλόγας ἄγει· δᾷδας τε πολυσχίστους καὶ
645 » κλαδίσκους ἀφαυανθέντας (2) τῆς στέγης κατήγαγε,
» καὶ εἰς λεπτὰ ἔτεμε, καὶ μικρῷ χαλκείῳ ὑπέθηκεν·
» ἃ δὲ λάχανα ὁ ταύτης ἀνὴρ ἐξ εὐθαλοῦς κήπου
» συνέλεξε φύλλοις αὐτοῖς κατατέμνει. Ὁ δ' αὖ ἰκρίῳ
» δικέρωτι νῶτα ῥυπῶντος συὸς καθαιρεῖ ἀπὸ μελαίνης
» κρεμάμενα τῆς δοκοῦ, κἀκ τῶν ταμιευομένων ὑείων
650 » ἐκ μακροῦ νώτων μέρος ὀλίγον ἀποτέμνει, καὶ,
» ἀποτεμὼν, ζέουσιν ὕδασι δαμάζει. Ἐπὶ τούτοις τὸ
» μεταξὺ τῆς ὥρας ὁμιλίαις παρυποκλέπτουσι (3),
» καὶ κωλύουσι τῆς βραδυτῆτος αἰσθάνεσθαι. Ἦν δ'
» ἐκεῖ πύελος (4) φηγίνη ἀπὸ σκληρᾶς λαβῆς ἥλῳ

(1) Ovidius : « *anima anili.* » Non vidit *anima* idem hic esse ac *flatu*. Repone, γηραλέῳ πνεύματι.

(2) B, ἀφαυναθέντας, literis male transpositis.

(3) B, ὑποκλέπτουσι, omissa præpositionum altera ; quod librariorum peccatum in compositis frequens : cf. pp. 256, 257, 304. Exempla adponam nonnulla e Joannis Climaci Scala, libro quem nunc legunt vel duo vel nemo : pag. 393, ὥσπερ ἵπποι τρέχοντες ἀλλήλοις ἁμιλλῶνται : inveni συναμιλλῶνται in codice Regio 1166, melius utique : p. 394, οὐδὲ ὁ τὴν ἐνταῦθα ζητῶν τιμὴν, τῆς ἐκεῖθεν ἀπολαύσει : codex idem ἐπιζητῶν (sic Eunapio, pag. 160, ἀναζητῶν restitui e codd. pro ζητῶν) : p. 395, ὥσπερ οἱ εἰς κλιμακα ἀναβαίνοντες σαθρὰν κινδυνεύουσιν : emendandum e codice, ἐπίσαθρον : p. 403, ὧν ὁ νοῦς μεμάθηκεν ἀληθῶς εὔχεσθαι, οὗτοι Κυρίῳ ἐνωπίως ἐνωπίῳ λαλοῦσι : cod. προσεύχεσθαι : p. 413, τῇ μὲν ἀκολουθεῖ ψόγος : cod. plenius ἐπακολουθεῖ : p. 414, ὁ τῆς ῥαθυμίας λογισμὸς ὑπὸ τῆς κενοδοξίας ἐχώρησε : cod. ἀνεχώρησε, cui jungam ἀπελαθεὶς e Raderi codice. Ἀναχωρεῖν, omnino hic necessarium, potest quoque restitui p. 440, in loco sic edito : ὡς ἀπὸ πυρὸς μαστιζόμενοι ὑπὸ τῆς προσευχῆς φεύξονται : cod. Reg. ἀναχωροῦσιν, cujus φεύξονται glossa fere videtur.

(4) Glossa interlinearis in codice A, λεκάνη. Notandum vocis πύελος genus femininum.

» ἀπηωρημένη· αὕτη, χλιαρῷ πληρωθεῖσα ὕδατος,
» τοὺς πόδας θερμαινομένους δέχεται. Ἐν τῷ
» μέσῳ δὲ καὶ κλίνη ἐστὶν, ἐκ μαλαχῶν φυκῶν (1)
» ἐπικειμένου τῇ κλίνῃ κοιματίου, καὶ ποδῶν ἰτεΐνων
» ὑποκειμένων· ἱματίοις δὲ ταύτην καλύπτουσιν,
» ἅπερ, ὅτι μὴ ἐν ἑορτῆς καιρῷ, στρωννύειν οὐδαμῶς
» ἔθος εἶχον· ἀλλὰ καὶ ταῦτα εὐτελῆ τε καὶ πα-
» λαιὰ ἦν, καὶ κλίνην ἰτεΐνην οὖκουν ἀπαξιοῦντα.
» Ἀνέπεσον τοιγαροῦν οἱ θεοί. Ἡ δὲ γραῦς, ἀναζω-
» σαμένη καὶ τρέμουσα, τὴν τράπεζαν παρελίθει. Τῇ
» γε μὴν τραπέζῃ ὁ τρίτος πους ἄνισος ἦν· ὀστράκον
» δὲ τοῦτον τοῖς ἄλλοις ἐξίσωσε. Τούτου δὴ ὑπο-
» βληθέντος, καὶ τοῦ ἐπικλινοῦς ὀρθωθέντος, ἐξισω-
» θεῖσαν τὴν τράπεζαν μίνθη χλωρᾷ ψήχει. Ἐκεῖ καὶ
» δίχορυς στρατία τῆς ἁγνῆς Ἀθηνᾶς ἐλαία, καὶ
» κεράτια (2) μελιτωμένα ἐν ὑγρᾷ τρυγὶ σκευα-
» σθέντα, ἴντυβά τε καὶ θριδακῖναι, καὶ παγέντος
» γάλακτος μάζα, καὶ ὠὰ ἠπίως ἐν οὐ σφοδρᾷ συ-
» στραφέντα ἀνθρακιᾷ· τὰ πάντα ἐν ὀστρακίοις.
» Μετὰ δὲ ταῦτα καὶ κρατῆρα ἰσταῖσι, τῷ αὐτῷ
» γεγλυμμένον ἀργίλλῳ (3), καὶ φιάλας φηγοῦ καλε-
» σκευασμένας καὶ διαφανεῖ κηρῷ κεχρισμένας. Βρα-
» χεῖα τριβὴ γίγονε, καὶ τὸ ὄψον ζέον ἐξήνεγκαν
» τοῦ πυρός· καὶ οἶνος αὖθις οὐ μακροῦ φέρεται χρόνου,
» καὶ δίδωσιν αὖθις τόπον τοῖς ἑτέροις βρώμασι πρὸς

(1) Addidi φυκῶν, redditurus latinum *ulvis*. Vocabulum hoc ab interprete jam fuit omissum: cf. supra p. 339. Scripsi κοιματίου pro codicum lectione κυματίου, absona prorsus. Ceterum κοιμάτιον nusquam legi. Hesychii Κοιμάστειος, κοιτών, mihi quadam tenus favet.

(2) Cf. notam pag. 303.

(3) Sic scripsi pro ἀργύρῳ, codicum lectione.

» ὀλίγον μεταστάς. Ἐκεῖ καὶ κάρυα (1), ἐκεῖ καὶ παλάθη
» συναναμιγνυμένη ταῖς ἐῤῥυτιδωμέναις βαλάνοις τῶν
» φοινίκων, προῦνά τε καὶ ἐν εὐρυχώροις κανοῖς εὐώδη
» μῆλα, καὶ ἐξ ἀμπέλων πορφυραῖ συλλεγεῖσαι στα-
» φυλαὶ, καὶ λευκὸν ἐν μέσῳ κηρίον· καὶ ἐπὶ πᾶσι
» τὰ χαρίεντα προσῆν πρόσωπα τῶν ἑστιατόρων,
» οὐδ' ἀργὴ καὶ πένης ἦν αὐτὴ ἡ διάθεσις. Μετὰ δὲ
» ταῦτα τοσάκις ἰδόντες ἐξαντλούμενον μὲν τὸν
» κρατῆρα, αὐτόματον δ' αὖθις ἀναπληρούμενον, καὶ
» ἐξ ἑαυτοῦ τὸν οἶνον ἀποκαθιστάμενον, ἐμβροντη-
» θέντες τῇ καινότητι τοῦ πράγματος, ἐξίστανται
» τῶν φρενῶν, καὶ χερσὶν ὑπτίαις εὐχὰς ἀνάγουσιν
» ἥ τε Βαυκὶς καὶ ὁ Φιλήμων περιδεεῖς, καὶ συγγνώμην
» ἐπὶ τοῖς ἐδέσμασι καὶ τῇ εὐτελεῖ αἰτοῦσι παρα-
» σκευῇ. Εἷς δὲ χὴν αὐτοῖς ἦν, τῆς ἐλαχίστης φύλαξ
» αὐλῆς, ὃν τοῖς θεοῖς ξενισθεῖσι θύειν ηὐτρεπίζοντο
» οἱ δεσπόται. Ὁ δὲ ταχὺς ὢν τοῖς πτεροῖς ἀποκναίει
» τούτους βραδεῖς ὄντας ὑπὸ τῆς ἡλικίας καὶ ἐπὶ
» μακρὸν διαπαίζει, καὶ τελευτῶν πρὸς αὐτοὺς ὤφθη
» καταφυγὼν τοὺς θεούς· οἱ δὲ θεοὶ τυθῆναι ἀπείρ-
» γουσι. Θεοί τε ἐσμὲν, εἶπον, καὶ ἀποτίσουσι δίκας
» ἀξίας οἱ ἀσεβεῖς γείτονες· ὑμῖν δ' ἀμετόχοις εἶναι
» τοῦ κακοῦ τοῦδε δοθήσεται. Μόνον τὸν ὑμέτερον
» καταλίπετε οἶκον, καὶ τοῖς ἡμετέροις βήμασιν
» ἕπεσθε, καὶ πρὸς τὸ τοῦ ὄρους μετεωρότερον ἐν
» ταυτῷ ἄπιτε. Οἱ δ' ὑπακούουσι, καὶ, τῶν θεῶν
» προϊόντων, ἄμφω βακτηρίαις τὰ μέλη κουφίζουσι,
» καὶ, βραδεῖς τοῖς γηραλέοις ἔτεσιν ὄντες (2), ἐπεί-
» γονται τῷ μακρῷ τοῦ ἀνάντους ἀναφέρειν τοὺς

(1) Codex B, δάκρυα—παλάθη. (2) Vides Planudem suo in

» πόδας. Τοσοῦτον τῆς ἀχρωρείας ἀπεῖχον, ὅσον ἄπαξ
» πεμφθὲν βέλος ἐλθεῖν δύναται· μελαφέρουσι δὲ
» τοὺς ὀφθαλμοὺς, καὶ πάντα καλαβαπτισθέντα τῇ
» λίμνῃ θεῶνται. Μόνη δ' ἡ τούτων οἰκία συμμένει.
» Καὶ δὴ θαυμαζόντων καὶ τὴν τῶν οἰκείων μοῖραν
» ἀποκλαιομένων, ἡ παλαιὰ ἐκείνη, ἡ μικρὰ καὶ
» αὐτοῖς τοῖς δυσὶ δεσπόταις, καλύβη εἰς νεὼν
» μελαβάλλεται· καὶ τὰ μὲν ἰκρία κίονες διεδέξαντο,
» αἱ φυλλάδες δὲ λάμπουσι, καὶ κεχρυσωμένος ὁ
» ὄροφος φαίνεται (1), καὶ ποικίλαις γλυφαῖς αἱ
» πύλαι, καὶ τὸ ἔδαφος μαρμάροις κεκαλυμμένον.
» Ἀνάγουσί τε πάλιν εὐχὰς ἥ τε Βαυκὶς καὶ ὁ Φι-
» λήμων περιδεεῖς. Ὁ γε μὴν Κεγνίδης τοιάδε μει-
» λιχίῳ προσήνεγκε στόματι· Εἶπάτε, δίκαιε γέρον
» καὶ γύναι δικαίου ἀνδρὸς ἀξία, τί ἂν βούλοισθε.
» Ὁ δὲ Φιλήμων, βραχέα κοινολογησάμενος τῇ
» Βαυκίδι, ἀνακαλύπτει τὴν κοινὴν διάγνωσιν τοῖς
» θεοῖς· Ἱερεῖς εἶναι καὶ τὸ τέμενος ὑμῶν φυλάττειν
» αἰτούμεθα· κἀπειδήπερ ἐν ὁμονοίᾳ τὴν ζωὴν διη-
» γάσομεν, ἡ αὐτὴ ὥρα καὶ ἄμφω ἡμᾶς ἀφελέσθω,
» καὶ μήτ' αὐτὸς ἰδοιμί ποτε τὴν τῆς ἐμαυτοῦ συ-
» ζύγου πυρὰν, μήθ' ὑπ' ἐκείνης ταφείην. Αὐτίκα δ'
» ἡ πίστις ταῖς εὐχαῖς ἕπεται, καὶ φυλακὴ γεγόνασι
» τοῦ νεὼ, μέχρις αὐτοῖς ἡ ζωὴ δέδοται. Τῷ δὲ μα-
» κρῷ χρόνῳ τούτων παραλυθέντων, καὶ περὶ τῶν
» ἱερῶν ἱσταμένων ἀδύτων, τάχα δὲ καὶ τὴν τοῦ τό-

codice invenisse lectionem, quæ nunc, jubente Heinsio, fuit a Gierigio e textu pulsa, et in nota tantum, diligentiæ causa, vix servata, sed quæ Editori nostro, judici peritissimo, merito præ recepta placet.

(1) Ordine eo Planudes Ovidiana legebat quo optime a Lenzio in Gierigii nota proponuntur.

» που διηγουμένων (1) καλασιρφὴν, κλάδοις βλασιά-
» νειν τὸν Φιλήμονα ἡ Βαυκὶς εἶδε, καὶ τὴν Βαυκίδα
» αὖθις ὁ γερμίτερος Φιλήμων. Ἤδη δὲ, καὶ ἐπ' αὐτῶν
» τῶν προσώπων τῆς διενδρώσεως ἀνιούσης, ἀλλήλοις
» ἐξ ἀμοιβῆς, μέχρις ἐξῆν, διελέγοντο, καὶ, Χαίρις,
» ὦ σύζυγε, καλὰ ταυτὸν ἔφασαν· καλὰ ταυτὸν δ' ὁ
» φλοιὸς περιενεχθεὶς (2) ἐκάλυψε τὰ πρόσωπα.
» Δείκνυσιν ἐκεῖ εἰσέτι ὁ ἐγχώριος (3) ἐκ τῶν δύο
» σωμάτων γείτονα τὰ σελέχη. Ταῦτά μοι οὐ
» σχεδιάζοντες (τί γὰρ ἂν εἴη καθ' ὅτι με ψεύδεσθαι
» ἤθελον;) διηγήσαντο γέροντες. Καὶ δὴ καὶ εἰρεσιώνας
» εἶδον ἀπηωρημένας τῶν κλάδων, καὶ αὐτὸς δ' ἐπιτι-
» θεὶς εἶπον· Οἱ θεῶν ἐπιστρεφόμενοι θεοὶ ἔσονται (4),
» καὶ οἱ τιμήσαντες αὐτοὺς τιμηθήσονται. »

Ὁ μὲν Λέλεξ ἐπαύσατο λέγων· πάντας δὲ τό, τε πρᾶγμα καὶ ὁ τούτου ἐξέπληξεν αὐτουργὸς, Θησέα δὲ μάλιστα· πρὸς ὃν, τὰ θαυμαστὰ θεῶν ἔργα ἀκούειν βουλόμενον, ἐπ' ἀγκῶνος ὁ Καλυδώνιος Ποταμὸς ἐρεισθεὶς τοιάδε φησίν· « Εἰσὶν, ὦ ῥωμαλεό-
» ταται (5), ὧν ἡ μορφὴ καθάπαξ μεμίμειται, καὶ
» ταύτῃ μεμένηκε τῇ καινότητι· εἰσὶ δ' οἷς δύναμις

(1) In ista voce διηγουμένων desinit codex B. Planudes habuit *narrarent*.

(2) Cod. περιερεχθείς: forsan περιελιχθείς.

(3) Omisit aut omisisse videtur interpres incertam et difficilem in latinis vocem, *Tyaneius*.

(4) Nescio quid habuerit lectionis, ut hunc eliceret sensum, « qui deos curant erunt dei. »

(5) Cod. ῥωμαλαιόταται. Hanc permutationem vocalium αι et ε sæpius notavi. Supra ad Ν. 397, p. 342, B, χαιρεῖν, pro χερεῖν: ad 778, A, ἀδελφὲ pro ἀδελφαί: ad 820 A, καιναῖς pro κεναῖς (cf. pag. 15, et Xenoph. Hell. Mori pag. 78). Supra pp. 241, 246, pro φλαῖες, A exhibuit φλέβαις. In Lysia contra Eratosth. Triginta virum t. V, pag. 435, Reiskius dedit de suo, εἰ τὰ χρήματα τὰ φανερὰ δημόσια, καλῶς ἂν ἔχοι,

» ἐστιν εἰς πλείους μεταβάλλεσθαι μορφάς, οἷάπερ
» σοί γε, Πρωτεῦ, οἰκήτορ (1) τῆς περιλαμβανούσης
» τὴν γῆν θαλάσσης. Καὶ γὰρ νῦν μέν σε νεανίαν, νῦν
» δὲ λέοντα εἶδον ἄνθρωποι· καὶ νῦν μὲν ἄλκιμος
» κάπρος, νῦν δ', οὔπερ τις (2) δέδοικεν ἅψασθαι,
» δράκων ἥσθα· καὶ τοῖὲ μέν σε τὰ κέρατα ταῦ-
» ρον ἐποίουν, τοῖὲ δ' αὖ λίθος ἥσθα· πολλάκις δὲ
» δένδρον δοκεῖν οἷός τ' ἦσθα· καὶ ἔστι μὲν ὅτε, ὑγρῶν
» ὑδάτων μιμησάμενος ὄψιν, ποταμὸς ἦσθα, ἔστι δ'
» ὅτε πῦρ ἐναντίον τοῖς ὕδασιν.

» Ἀλλ' οὐδ' ἡ τοῦ Αὐτολύκου σύνευνος, ἡ θυγάτηρ
» τοῦ Ἐρυσίχθονος (3), ἥτιονος τῷ Πρωτεῖ δυνάμεως
» ἔχεται. Παλὴρ γὰρ ἦν ταύτῃ, τῆς τῶν θεῶν λα-
» τρείας καταφρονῶν· καὶ οὐκ ἔστιν ἥντινα τιμὴν (4)
» ἐν τοῖς βωμοῖς ἀνακάων· ὃς καὶ τὸ τῆς Δήμητρος
» τέμενος ἀξίνῃ λυμήνασθαι λέγεται καὶ τὴν ἀρχαίαν
» λόχμην διαφθεῖραι σιδήρῳ. Ἴσταλο γὰρ ἐν αὐτῇ
» δρῦς ἔξοχος πολυέτει σταθερότητι, μόνη νέμος δοκεῖν
» ἱκανή. Ταινίαι δὲ ταύτην μέσην περιεζώννυσαν, καὶ
» ἐπιγράμματα εἰς ἀνάμνησιν καὶ εἰρεσιῶναι ἔλεγχοι
» τῆς τῶν εὐχῶν ἐπιτυχίας. Πολλάκις ἐπ' αὐτὴν
» αἱ Ἁμαδρυάδες λαμπρὰς ἤγαγον χορείας· πολ-

pro vulgata δημεύσῃ, quam et vidi codice Vatic. 88 firmatam. Cui bono? Quis non sexcenties futurum invenit post εἰ? Reiskium statim Augerius secutus est, inter malos et insulsos editores insulsissimus et pessimus: nam in Augerio nihil est ingenii, nihil eruditionis, nihil elegantiæ, quo a vitiis putidissimis redimatur. Verum enim dicere quid vetat?

(1) In codice duplex est aut esse videtur accentus syllabæ κη, flexus et acutus, quasi voluerit duplicem significare legendi modum librarius, οἰκῆτορ et οἰκήτωρ.

(2) Cod. οὐπῶ πις.

(3) Sic cod. hic et infra.

(4) Inde firmatur recepta lectio, *honores*.

» λάκις, καὶ τὰς χεῖρας ἐν τάξει συμπλέκουσαι, τὴν
» τοῦ στελέχους περιήεσαν περιφέρειαν. Τὸ δὲ ταύ-
» της μέτρον πεντάκις τρεῖς ὀργυιὰς ἐξεπλήρου·
» ναὶ μὴν καὶ κατὰ τἄλλα τοσούτῳ πᾶσα ἡ λόχμη
» ὑπ' αὐτὴν ἦν, ὅσῳπερ ὑπὸ τὴν λόχμην βοτάνη.
» Ὅμως οὐ παρὰ τοῦτο τὸν σίδηρον ὁ Δρυόπειος (1)
» ἐξ ἐκείνης ἀπέσχε· κελεύει δὲ τοῖς οἰκέταις τὸ ἱερὸν
» τεμεῖν ξύλον. Ὡς δὲ τοὺς κελευσθέντας διστάζοντας
» εἶδεν, ἀφ' ἑνὸς τὴν ἀξίνην ὁ τολμητίας ἁρπάσας,
» τοιαῦτα προήνεγκε ῥήματα· Οὐκ εἰ τῇ θεῷ μόνον
» ἡ δρῦς πεφίληται, ἀλλ' εἰ καὶ αὐτὴ δὴ θεὸς εἴη,
» νῦν τῇ εὐθαλεῖ κορυφῇ τῆς γῆς ἅψεται. Εἶπε· καὶ,
» περιάγοντι τὸ βέλος εἰς πλαγίαν βολὴν, ἐτρό-
» μαξε καὶ στεναγμὸν ἀνέδωκεν ἡ θεοείκελος (2) δρῦς,
» καὶ ἐπίσης τὰ φύλλα, ἐπίσης καὶ αἱ βάλανοι
» ὠχριᾷν ἤρξαντο, ἀλλὰ δὴ καὶ οἱ μακροὶ κλῶνες
» ὠχρότητα φέρειν. Ἧς ἐπειδήπερ ἐν τῷ στελέχει
» πληγὴν ἡ ἀσεβὴς χεὶρ εἰργάσατο, οὐχ ἑτέρως
» ἀκοντισθὲν αἷμα ὁ φλοιὸς ἔῤῥευσεν, ἤπερ εἴωθε
» μέγα θῦμα ταῦρος, ὅτε (3) πρὸ τοῦ βωμοῦ πί-
» πτει, αἷμα τοῦ τένοντος ἀποτμηθέντος προχεῖσθαι.
» Ἐνεοὶ δὴ πάντες ἐγένοντο· καί τις ἐξ ἐκείνων τολμᾷ
» τὸ ἀθέμιτον δυσχεραίνειν, καὶ τὴν ἰταμὴν ἐπέχειν
» ἀξίνην· ὁ δὲ Θεσσαλὸς πρὸς αὐτὸν ἐνητένισε (4),

(1) Cod. π. τοῦτον τ. σ. ἡ δρυόπειος. Invenit Planudes veterem, nec malam, lectionem « Dryopeïus. »

(2) Quam invenit lectionem, *deida*, vel *deoïda*, vel *theoïda*, sic vertere conatus est Planudes.

(3) Inserui ὅτε, ipsa re jubente.

(4) Cod. ἐνιτένισε. Eadem synchysi vocalium ι et η, ad 852, ἱκέτην pro ἱκέτιν. Pag. 268, pro ὀφειλέτην, A exhibuit ὀφειλέτιν. Sic p. m. 336, A, ἀτιμωριτί.

» καὶ, Δέξαι, φησὶ, τῆς εὐσεβοῦς διανοίας τὰ ἆθλα·
» κἀκ τοῦ δένδρου ἐπὶ τὸν ἄνδρα τὸν σίδηρον τρέπει,
» καὶ τὴν κεφαλὴν ἀφαιρεῖται. Καὶ αὖθις ἐπανακάμ-
» ψας τὸ δένδρον παίει. Ἐκ δὲ τοῦ μέσου τοῦ δένδρου
» τοιόσδε ἀναδίδοται φθόγγος· Νύμφη ὑπὸ τοῦτο
» τὸ ξύλον ἐγώ εἰμι χαριεστάτη τῇ Δήμητρι, ἥ
» σοι τὰς τῶν σῶν ἔργων εἰσπράξεις ἐφίσταμαι
» θνήσκουσα δὴ μαντεύομαι, παραμύθημα τοῦ ἡμε-
» τέρου θανάτου. Καὶ ὁ μὲν ἐπέξεισι τῷ οἰκείῳ τολ-
» μήματι· ἡ δὲ δρῦς τέλος δὴ, παρεθεῖσα ταῖς τε
» ἀναριθμήτοις πληγαῖς καὶ τοῖς τῶν σπαρτίων ἕλ-
» κυσμοῖς, καταῤῥεῖ, καὶ πολλὴν τῷ βαρεῖ καθεστό-
» ρεσε λόχμην. Αἱ δὲ Ἁμαδρυάδες, καταπλαγεῖσαι,
» καὶ τὴν ζημίαν τοῦ ἑαυτῶν οὐ φέρουσαι νέμους,
» πᾶσαι αἱ ἀδελφαὶ μελανειμονήσασαι, πενθοῦσαι,
» ἀπίασι πρὸς τὴν Δήμητρα, καὶ δίκας αἰτοῦσι τῷ
» Ἐρυσίχθονι. Ἡ δὲ περικαλλεστάτη θεὰ ἐπένευσε
» ταύταις, καὶ, κινήσασα τὴν κεφαλὴν, συνέσεισε
» τοὺς βαρυνομένους ἀγρυὺς τοῖς βείθουσι λητίοις.
» Καὶ δὴ διανοεῖται γένος τιμωρίας οἰκτρὸν, εἰ μὴ (1)
» κἀκεῖνος τοῖς οἰκείοις ἔργοις οὐδενὶ τῶν ἁπάντων
» οἴκτου ἄξιος ἦν, τῇ λοιμώδει Λιμῷ καθεργάσασθαι
» τοῦτον. Ἐπεὶ δ' αὖτη (2) μὴ πρόσεισι τῇ θεῷ
» (οὐδὲ γὰρ ἔστιν αἱ Μοῖραι Δήμητρα καὶ Λιμὸν εἰς
» ταὐτὸ συνιέναι), μίαν τῶν Ὀρειάδων Νυμφῶν
» ἀγρότιδα τοιούτοις ἐκπέμπει (3) λόγοις·
» Ἔστι τόπος παγκλώδης ἐν ταῖς ἑσχατιαῖς τῆς

(1) Inserui μὴ, quo codex carebat.

(2) Propius ad latina verba : ἐπὶ δὲ ταύτῃ μὴ προσέσισιν ἡ θεός.

(3) Legitne *compellit* pro *compellat* ? Reponesis, προσκαλεῖται.

» Σκυθίας, λυπρὸν ἔδαφος (1), στερίφη γῆ, δίχα
» καρποῦ, δίχα δένδρου. Κρυμὸς ἐκεῖ νωθρὸς καὶ
» Ὠχρότης οἰκοῦσι καὶ Τρόμος καὶ ἡ νῆστις Λιμός.
» Ταύτην κέλευσον ἑαυτὴν ἐν τοῖς τολμηροῖς ἐγκά-
» τοις τοῦ ἱεροσύλου κρύψαι. Μηδὲ πλῆθος αὐτὴν
» βρωμάτων νικάτω μηδέν· σπευδέτω δὲ καὶ τῶν
» ἐμῶν δυνάμεων περιγίνεσθαι. Ὡς ἂν δὲ μή σε τὸ
» τῆς ὁδοῦ διάστημα καταπλήττῃ, δέξαι τὸ ἅρμα,
» δέξαι καὶ τοὺς δράκοντας οὓς διαέριος χαλινοῖς
» ἡνιοχήσεις. Καὶ δέδωκεν. Ἡ δὲ, λαβοῦσα τὸ ἅρμα
» καὶ δι' ἀέρος φερομένη, ἔφθασεν εἰς Σκυθίαν, καὶ
» τὴν τοῦ σκληροῦ ὄρους κορυφὴν, ὃ Καύκασον ὀνο-
» μάζουσι. Καὶ τοὺς τῶν δρακόντων αὐχένας ἐκούφισε
» τοῦ ζυγοῦ. Καὶ, ζητήσασα, τὴν Λιμὸν ἐν ἀγρῷ
» εἶδε πετρώδει ὄνυξι καὶ ἀραιοῖς (2) ὀδοῦσιν ἀνασπῶ-
» σαν βοτάνας. Αὐχμῶσα μὲν ἦν ἡ κόμη, κοῖλοι δ'
» οἱ ὀφθαλμοί· ὠχρότης δ' ἐν τῷ προσώπῳ· χείλη
» διάλευκα καὶ δυσώδη· γνάθοι τῷ πίνῳ τραχυ-
» νόμεναι· σκληρὸν δέρμα δι' οὗ οἷά τ' ἂν εἶεν τὰ
» ἔγκατα διοπτεύεσθαι· τὰ δ' ὀστᾶ πρὸς τοῖς συν-
» δέσμοις ὑπεξανίσταντο· ξηρὰ τὴν ὀσφύν (3)· ὁ τό-
» πος δ' ἦν τῆς κοιλίας ἀντὶ κοιλίας· κρέμασθαι ἂν
» ᾠήθης τὸ στέρνον, καὶ ὑπὸ μόνης τῆς τῆς (4) ἀκάν-
» θης ἐσχάρας συνέχεσθαι· ηὔξησεν ἡ ἰσχνότης τὰ

(1) Voluisse Gierig. pro edito «triste *solum*» scribere «triste »*cœlum*», vix capio, quum *cœlum* metrum pessumdet.

(2) Legebat Planudes «*raris* »dentibus»; sed male intelligebat. Vertere debuit, *σπανίοις*.

(3) Ovidius: «Ossa sub incur»vis exstabant arida lumbis.» Planudes legebat: «ossa sub in»curvis exstabant: arida lum»bis» vel «lumbos.» Et *incurvis* pro *curvaturis, juncturis curvis* habuisse videtur.

(4) Cf. supra p. 73, de duplici articulo.

» ἄρθρα· ἡ δὲ τῶν γνάτων σφαῖρωσις ἐξοιδαίνετο·
» καὶ οὐ μέτεια περιύτεινον αἱ κνῆμαι σφυρά. Ταύ-
» την πόρρωθεν ἰδοῦσα (καὶ γὰρ ἔγγιον προσελθεῖν
» οὐκ ἐτόλμησεν), ἀναγγέλλει τὰς τῆς θεᾶς ἐντο-
» λάς. Βραχὺ δέ τι διαλείψασα, εἰ καὶ τὰ μάλιστα
» πόρρω ταύτης (1) ἀπεῖχεν, εἰ καὶ ἄρτι τὴν ἐκεῖσε
» πορείαν ἐστείλατο, ἔδοξεν ὅμως αὐτῆς λιμοῦ καὶ
» πείνης (2) αἰσθάνεσθαι. Καὶ μετέωρος εἰς τοὐπίσω
» τοὺς δράκοντας ἴθυνεν, εἰς τὴν Αἰμονίαν στρέψασα
» τὰς ἡνίας. Ἡ δὲ Λιμὸς τὰς τῆς Δήμητρος ἐντολὰς
» (καί τοι γε τῶν ἔργων ἐκείνης αἰεὶ δήπου' ἐστὶν

(1) In cod. male legitur ταύτην.

(2) Ovidius: « Visa tamen sen-» sisse *famem*», non *Famem*. Planudes, additis verbis καὶ πείνης, voluit indicare λιμὸν hic non esse deam ipsam, sed morbum, et languidissimo hoc additamento Ovidianum perdidit acumen. Sed nec laudandus Ovidius. Etenim de nomine proprio sic ad appellativum transire est negligentius scribentis, vel ludentis acutius. Somnus deus infra XI, 621, « excussit tandem sibi *se*», id est, expergefactus soporem excutit, quod est non exquisitum, sed longe quæsitius. In Aristophanis Pluto Paupertas, ipsa Πενία dea, ait se operarium cogere διὰ τὴν πενίαν ζῆλεῖν ὅθεν βίον ἕξει, præ *paupertate* victum quærere: quod mihi quidem displicet. In Alcestide Euripidea Apollo Θανάτῳ deo: πῶς μέλλουσι θάνατον ἐμβαλεῖν πάλαι. Et hoc, ut in tragico loco, magis etiam displicet. Ibi Tatius ap. Monck. similia indicavit. Offendo et ad alium Euripidis locum in Iphigenia Aulidensi (764-775), ubi χάλκασπις Ἄρης, *Deus* nempe, κυκλοῖ ἄρει φοινίῳ, *bello* scilicet, Trojæ Pergama (Obiter monebo hoc in loco nihil esse mutandum nisi v. 779, θήσει in θήσῃ, quod pendet ab ὅταν v. 764, et post Ἀχαιῶν v. 772, comma tantum esse ponendum). Apuleius Metam. v. pag. 103, 12: « ignara Psyche » sponte in *Amoris* incidit *amorem*»: quod scriptori in argumento faceto et lepido lascivienti facile condonandum. Lusit similiter nec inepte Pellisonus in Acanthi et Currucæ Dialogo: « les Heures.....Dirent qu'il » falloit à son tour Donner *de* » *l'amour à l'Amour.*» In Valpyana Classica Ephemeride t. XV, pag. 298, §. 16, e Popio atque Campbello anglica adposita fuerunt exempla.

» ἐναντία) πληρῦν ὥρμησε, καὶ διαέριος ὑπ' ἀνέ-
» μου πρὸς ἣν ἐκελεύσθη οἰκίαν ἐνήνεγκται (1). Καὶ
» αὐτίκα μάλα πρὸς τοὺς τοῦ ἱερσύλου θαλά-
» μους εἴσεισι, καὶ ὕπνῳ βαθεῖ ἐκλελυμένον (νυκτὸς
» γὰρ καιρὸς ἦν) ἀμφοτέραις ταῖς ἀγκάλαις πε-
» ιλαμβάνει· καὶ ἑαυτὴν τῷ ἀνδρὶ ἐμπνεῖ, τόν τε
» φάρυγα καὶ τὸ στέρνον ἐμφυσᾷ καὶ τὸ στόμα, καὶ
» πεῖναν ἐν κεναῖς ταῖς φλεψὶ διασπείρει. Καὶ, τε-
» λέσασα τὴν ἐντολήν, τὸν εὔκαρπον κόσμον κα-
» λιμπάνει, καὶ πρὸς τοὺς ἀπόρους οἴκους καὶ ἀγρούς
» τοὺς συνήθεις ἐπάνεισιν. Ὁ δὲ μαλακὸς Ὕπνος ἔτι
» ἡμέρας τιμωρίαις (2) τὸν Ἐρυσίχθονα ἔσαινε. Ζητεῖ
» γὰρ οὗτος ἐν ὕπνου φαντασίᾳ σιτία καὶ κενὸν τὸ
» στόμα κινεῖ, καὶ τοὺς ὀδόντας ἐπὶ τοῖς ὀδοῦσι πα-
» ρέχει ταλαιπωρεῖν, καὶ τῇ μὴ οὔσῃ τροφῇ γυμνά-
» ζει τὸν λαιμὸν ἐμπαιζόμενον, καὶ ἀντὶ βρωμάτων
» τηνάλλως λεπτὰς αὔρας καταβρυχθίζει. Ἐπεὶ δ'
» ὁ ὕπνος ἀπεώσθη, λυτᾷ τὸ τοῦ ἐσθίειν διάπυρον,
» καὶ δεσπόζει τοῦ τε λίχνου λαιμοῦ καὶ τῶν ἀπλη-
» ρώτων ἐγκάτων. Αὐτίκα δὲ πᾶν, ὅ, τι θάλαττα,
» καὶ γῆ, καὶ ἀὴρ τρέφει, ζητεῖ, καὶ, τῆς τροπέζης
» προκειμένης, καὶ ἀπὸ τῆς ἀσιτίας ἀγανακτεῖ, καὶ ἐπὶ
» δείπνῳ δεῖπνον ζητεῖ· ὃ δὲ πόλεσιν, ὃ δὲ δήμοις
» ἀποχρῶν εἶχεν εἶναι, οὐκοῦν ἐξαρκεῖ τῷ ἑνί· καὶ

(1) « Adeo levis erat præ ma-
» cie ut vento posset ferri », quæ est Burmanni eaque non mala interpretatio. Memini Philetæ Coi, de quo ap. Ælianum Histor. Var. v, 14, narratur adeo fuisse macilentum et gracilem, ut soleis uteretur e plumbo factis, ἵνα μὴ ἀναπτέσθαι ὑπὸ τῶν ἀνέμων.

(2) Latinum *pennis* in codice suo non omnino recte scriptum erat, hoc nempe modo, *penis*, et credidit esse pro *pœnis* positum. Repon. ergo στίλβυξι, ad Ovidii mentem, apud quem, « Somnus placidis
» Erisichthona *pennis* mulcebat. »

» τοσούτῳ πλειόνων ἐφίεται, ὅσα πλείονα πρὸς
» τὴν ἑαυτοῦ παρατέμπει γαστέρα. Ὡς δὲ θάλατται
» τοὺς πολαμοὺς ἐξ ἁπάσης γῆς ὑποδέχεται, καὶ ὕδα-
» τος οὐκ ἔστιν ὅτε κορέννυται τὸ ἀλλοδαπὸν κατα-
» πίνουσα ῥεῖθρον· ὡς δὲ τὸ ὀξὺ πῦρ οὐδέποτε τὴν
» τροφὴν παρατιθεῖται, ἀλλ' ἅπτεται φρύγανα (1)
» πίμπρησι, καὶ ὅσῳ μείζων αὐτῷ δίδηται ἀφθονία,
» τοσούτῳ πλειόνων ἐφίεται, καὶ τῷ πλήθει λι-
» χνότερον γίνεται· οὕτω καὶ τὸ τοῦ ἀσεβοῦς Ἐρυ-
» σίχθονος στόμα σιτία τε πάντα δέχεται καὶ ζητεῖ
» ἐν ταύτῳ· καὶ πᾶν ἐν ἐκείνῳ βρῶμα ἀφορμὴ γίνεται
» βρώματος, καὶ ἀεὶ τῷ ἐσθίειν τόπος κενὸς πε-
» ριλείπεται. Ἅρπι δὲ τῇ λιμῷ καὶ τῇ σφοδρᾷ (2)
» γαστριμαργίᾳ τὸν πατρῷον μὲν πλοῦτον ἐστέρησεν·
» ἡ δὲ λιμὸς ἀστεροχώρητος ἔμεινε (3) καὶ τότε, καὶ
» τοῦ ἀνημέρου λαιμοῦ τὸ πῦρ ἐκραύνετο. Καὶ τέ-
» λος, πάσης τῆς περιουσίας εἰς γαστέρα παραπεμ-
» φθείσης, θυγάτηρ μόνη λοιπὸν ἦν, ἥκιστα τοιοῦδε
» πατρὸς ἀξία. Καὶ δὴ καὶ ταύτην ὑπὸ τῆς ἐνδείας
» πιπράσκει· ἡ δ', ἀπαναινομένη τὸν δεσπότην ὑπὸ
» τῆς εὐγενείας, καὶ τὰς παλάμας ὑπὲρ τὴν γειτο-
» νοῦσαν ἐκλείνασα θάλασσαν, Ῥῦσαί με τοῦ δε-
» σπότου, ὃς τὸ γέρας τῆς παρθενίας ἁρπάσας ἔχεις,
» φησί· καὶ εἶχε γὰρ ὁ Ποσειδῶν τοῦτο· ὃς, μὴ

(1) Ut diversa sunt hominum studia, fateor mihi in latinis *faces* placere magis quam nunc receptum *trabes*. *Trabes* enim non sunt ob magnitudinem et spissitudinem facile cremabiles, et *innumerarum trabium copiam igni dari* posse non statim intelligo.

(2) Codex male, σφόδρα.

(3) Legit vivide minus, « ma» nebat dira fames », non « ma» nebas, dira Fames. » Conspirat cum pristinis editionibus.

» περιϊδὼν τὴν ἱκέτιν, εἰ καὶ τὰ μάλιστα ταύτην ὁ
» δεσπότης ἑπόμενος ἔβλεπε, καινοῦμεῖ τὴν μορ-
» φὴν, καὶ ἀνδρεῖον ἐνδύει πρόσωπον ἰχθῦς ἀγρεύοντι
» προσφυές. Ταύτην ὁ δεσπότης ἰδὼν, Ὦ βραχεῖ
» δελέαῖι τὸν ἁπτωρημένον χαλκὸν κρύπτων, ἐπι-
» στάτα τοῦ καλάμου, φησὶν, οὕτως (1) σοι ἡ θά-
» λαττα εὐθέως εἴη, οὕτω σοι πᾶς ἰχθὺς ὑπὸ τὸ
» ὕδωρ πιστεύοι, καὶ μηδεὶς, ὅτι μὴ πεπαρμένος,
» αἰσθάνοιτο ἀγκίστρου· τὴν ἅρπι εὐτελεῖ μὲν ἐσθῆ-
» τι, σεσοβημένῃ δὲ κόμῃ, ἐν τῷδε τῷ αἰγιαλῷ
» στᾶσαν (καὶ γὰρ ἐνταυθοῖ στᾶσαν εἶδον) εἰπὲ
» ποῦ ποτ' ἂν εἴη. Οὐδὲ γὰρ ἐπέκεινα τὰ ταύτης
» ἴχνη προΐασιν. Ἡ δὲ τὸ τοῦ θεοῦ δῶρον καλῶς
» αὐτῇ προβὰν ἠσθέλο, καὶ ἐχαιρεν ἐξ ἑαυτῆς ζηλου-
» μένη, καὶ τούτοις τὸν ἐρωτῶντα ἠμείβαλο· Ὅστις
» ποτ' εἶ, σύγγνωθι· οὐδαμόσε γὰρ ἀπὸ τοῦδε μελή-
» νεγκα τοῦ βυθοῦ τοὺς ὀφθαλμοὺς, ἀλλ' ἐργα-
» ζόμενος τῷ ἑαυτοῦ ἔργῳ προσεῖχον. Ὡς ἂν δ'
» ἧκιστα διστάζῃς, οὕτω τῇ παρούσῃ μου τέχνῃ ὁ
» τῆς θαλάττης θεὸς συναίρεται, ὡς οὐδεὶς ἐκ μα-
» κροῦ ἐν τῷδε τῷ αἰγιαλῷ, πλὴν ἐμοῦ, οὔτ' ἀνὴρ,
» οὔτε τις ἔστιν γυνή. Ἐπίστευσεν ὁ δεσπότης, καὶ,
» μεταστρέψας τοὺς πόδας, τὴν ψάμμον πιέζων ἦει,
» καὶ ἐμπαιχθεὶς ἀπελήλυθε. Τῇ δὲ ἡ ἑαυτῆς ἀπεδόθη
» μορφή. Ἐπεὶ δ' ἔχειν μεταμείψιμα σώματα (2)
» ἠσθέλο τὴν ἑαυτοῦ παῖδα ὁ πατὴρ, πολλάκις δεσπό-

(1) De sensu adverbii οὕτως et latini *sic* in his formulis vide ad Aristænetum, p. 307. Mox cod. πιστεύει.

(2) Verba μεταμείψιμα σώματα inserui; erant enim necessaria, ut redderem Ovidii *transformia corpora*; quod non a Planude, puto, sed fuit a librario prætermissum.

» ταις τὸ μεταμορφούμενον παραδίδωσι Δρυόπειον
» σῶμα. Ἡ δὲ νῦν μὲν ἵππος, νῦν δ' ὄρνις, καὶ τοτὲ
» μὲν ὡς βοῦς, τοτὲ δ' ὡς ἔλαφος ἀπεδίδρασκε, καὶ
» τῷ ἀδηφάγῳ πατρὶ τροφὰς οὐ δικαίας παρεῖχεν.
» Ἡ δὲ βία τοῦ πάθους ἐπειδὴ πᾶσαν κατηνάλωσεν
» ὕλην, καὶ καινοτέραν τροφὴν τῷ βαρεῖ σώματι
» δέδωκεν· αὐτὸς γὰρ (1) τὰ ἑαυτοῦ μέλη δήγμασι
» σπαράττων διασπᾷν ἤρξατο, καὶ ἔτρεφεν ὁ κακο-
» δάιμων τὸ σῶμα τῷ ἀκρωτηριάζειν αὐτό.
» Ἀλλὰ τί διατρίβω ἐν τοῖς ἀλλοτρίοις; Κἀμοὶ
» πολλάκις δύναμις ἔξεστι τοῦ καινοτομεῖν, ὦ νεανίαι,
» τὸ σῶμα κατὰ καιρὸν ὡρισμένον. Καὶ νῦν μὲν ὃς

(1) Vides in Nostro conamen interpretandi locum difficilem, nec id felix. Burmanni conjectura *deerant*, fere firmata Lovaniensi varietate *dederant*, est palmaria. Pro σώματι, f. νοσήματι.

Breviores notas supplemento augebo, prout jam in fine præcedentium librorum feci. Nunc proferam e codice Regio 1630, pag. 250, Grammatici anonymi, nec editi, quod equidem noverim, annotationem de futurorum in contractis penultima, et de verbo ἴσθι.

Ἰστέον δὲ ὅτι, ἡνίκα ὁ ἐνεστὼς τῆς πρώτης συζυγίας τῶν περισπωμένων μακρᾷ παραλήγεται, τότε ὁ μέλλων διὰ τοῦ η ἐκφέρεται· οἷον, ποιῶ ποιήσω, ὠθῶ ὠθήσω, ἀθλῶ ἀθλήσω· χωρὶς τοῦ ἀρκῶ ἀρκέσω, καὶ νεικῶ νεικέσω. Ὁ ἐνεστὼς εἰ βραχείᾳ παραλήγεται, τότε ὁ μέλλων πῇ μὲν τῷ η παραλήγεται, οἷον, φιλῶ φιλήσω, νοῶ νοήσω, πῇ δὲ τῷ ε, οἷον, ὀλῶ ὀλέσω, τελῶ τελέσω, πῇ δὲ διφορεῖται, οἷον, φορῶ φορέσω καὶ φορήσω, πονῶ πονέσω καὶ πονήσω· καὶ, εἰ μὲν σωματικῶς, πονέσω, εἰ δὲ ψυχικῶς, πονήσω. Ἡνίκα ὁ ἐνεστὼς τῆς δευτέρας τῶν περισπωμένων ἔχει τὸ λ, τότε ὁ μέλλων διὰ βραχέος τοῦ α ἐκφέρεται· οἷον, γελῶ γελάσω, θλῶ θλάσω. Ἡνίκα δὲ τὸ ρ ἔχει ὁ ἐνεστὼς, τότε ὁ μέλλων διὰ μακροῦ τοῦ α ἐκφέρεται, οἷον γηρῶ γηράσω, περῶ περάσω. Ὁμοίως δὲ καὶ, ὅτε ὁ ἐνεστὼς εἰς α καθαρὸν λήγει, ἔχων τὸ ι παραλῆγον, τότε ὁ μέλλων διὰ καθαροῦ τοῦ α ἐκφέρεται· οἷον, ἀνιῶ ἀνιάσω, κοπιῶ κοπιάσω. Ἰστέον ὅτι παραληγόμενα τῷ ο πέντε εἰσὶν, οἷον, βοῶ, γοῶ, ἀκροῶ, μακκοῶ, ἀλοῶ· καὶ τὰ μὲν δύο τῷ η παραλήγονται κατὰ τὸν μέλλοντα, οἷον, βοήσω γοήσω· τὰ δὲ δύο τῷ α μακρῷ (cod. τὸ α μακρὸν), οἷον, ἀκροῶ, ἀκροάσω, ἐξ οὗ καὶ τὸ ἀκροάσομαι· μακκοῶ,

» νῦν εἰμὶ, φαίνομαι· νῦν δ' εἰς δράκοντα κάμ-
» πτομαι· νῦν δ', ἡγεμὼν ἀγέλης γενόμενος, δύνα-
» μιν ἐν τοῖς χέρσι περιλαμβάνω. Καὶ δὴ καὶ
» πρόσθεν κέρατα φύσας, νῦν θάτερον ἐκ τοῦ μετώ-
» που μέρος κενὸν φέρω τοῦ ὅπλου, οἷα δὴ καὶ αὐτὸς
» ὁρᾷς. »

Εἶπε, καὶ σὺν γμοὶ τοῖς ῥήμασιν ἠκολούθησαν.

μαχεσάσθω· μαχέω δὲ ἐστὶ τὸ μαχέσσω· τὸ δὲ ἐν διαφορεῖται, οἷον ἀλοῶ, ἀλοᾶς, ἀλοήσω καὶ ἀλοάσω. Τὰ δὲ ἔχοντα ἐν τῷ ἐνεστῶτι σύμφωνον ἄλλο χωρὶς τοῦ λ καὶ τοῦ ρ, διὰ τοῦ η ἐκφέρεται καὶ τὸν μέλλοντα, οἷον, ζῶ ζήσω, νικῶ νικήσω, κυβερνῶ κυβερνήσω. Τὸ μέντοι πίπτω καὶ δίψω, ὅταν λέγωμεν πεσάσθω καὶ δίψασθω, δωρικὰ γίνονται. Οἱ δὲ μέλλοντες τῆς τείτης συζυγίας πάντες διὰ τοῦ ω ἐκφέρονται, πλὴν δ', ἀρόσω, ὀμόσω, ὀνόσω (cod. μόσω, νόσω: cf. Etym. M. sub Ἀρόσω), βόσω. Τὸ δὲ ὀνῶ σημαίνει τὸ μέμφομαι.

Τὸ δὲ ἴσθι, τὸ σημαῖνον τὸ γίνου, ἀπὸ τοῦ εἰμὶ γέγονεν, οὗ τὸ πληθυντικὸν ἐσμέν, ἀφ' οὗ γίνεται τὸ προσηλικὸν ἔθι, καὶ, ἐν πλεονασμῷ τοῦ σ, ἔσθι, καὶ, τροπῇ τοῦ ε εἰς ι, ἴσθι· καθὼς ἐν τῷ ἔχω πλεοναζει τὸ σ καὶ τρέπεται τὸ ε εἰς ι, καὶ γίνεται ἴσχω. Τὸ δὲ ἴσθι, ὃ σημαίνει τὸ γίνωσκε, ἀπὸ τοῦ ἵστημι γίνεται, οὗ τὸ πληθυντικὸν ἴσαμεν, καὶ, κατὰ συγκοπὴν, ἴσμεν, καὶ τὸ προσηλικὸν ἴσαθι καὶ ἴσθι. Τὸ δὲ ἴσαμεν κατὰ συγκοπὴν γίνεται ἴσμεν. Τὸ δὲ ἐμὲν, τὸ σημαῖνον τὸ ὑπάρχομεν, προσλαμβάνει τὸ σ καὶ γίνεται ἐσμέν.

ARGUMENTUM

LIBRI IX

EX CANTERI NOVIS LECTIONIBUS.

Tum *suas* formas Achelous refert, quas quondam mutaverat, quum ipsum premeret Hercules, de *Dejanira* certans. Hanc victori in patriam redeunti *Nessus* rapere voluit; sed Herculis sagitta venenata confossus cecidit, et, ne inultus periret, raptæ vestem dedit sanguine suo tinctam. Ea dubitans aliquanto post de mariti amore, vestem ei misit eamdem, qua indutus quum concremaretur, et *Lichas* famulus ab eo per aëra missus in *saxum* obriguisset, periit, et, *renovata* ejus *facie*, in cælum est traductus. Tum *Alcmena* mater ad *Iolen* nurum se contulit, eique *Galanthidem* in *mustelam*, et illa vicissim *Dryopen* sororem suam in *loton* conversam narravit. Interim supervenit ipsis *Iolaus*, reparata per Heben *juventute*: id quod non posse omnibus contingere, Jupiter *Æaci* exemplo docet. Hunc fugiens *Miletus* in Asiam discessit, et *Byblidem* procreavit atque *Caunum*; cujus illa desiderio tabefacta in *fontem* transiit. Quæ quidem res magis mira cunctis visa esset, nisi paulo ante *Iphis*, ipso nuptiarum die, *virilem sexum* accepisset.

ΟΒΙΔΙΟΥ

ΜΕΤΑΜΟΡΦΩΣΕΙΣ.

ΒΙΒΛΙΟΝ ΕΝΝΑΤΟΝ.

Ἤρετο ἐπὶ τούτοις τὸν θεὸν ὁ Ποσειδώνιος ἥρως τίς πολε τῶν σλεναγμῶν ἡ αἰτία καὶ τοῦ ἠκρωτηριασμένου μελώπου· πρὸς ὃν ὁ Καλυδώνιος Πολαμὸς οὕτως ἀπήρξαλο, ἀτημελήτους πεφυκείμενος ἐκ δο-
νάκων πλοκάμους· « Λυπηρὸν αἰτεῖς χάριν· τίς
» γὰρ ἂν τὸν ἑαυτοῦ πόλεμον, ἠττηθείς, διαμνημονεύειν
» ἐθέλοι; Ὅμως ἀναγκάσω καθ' εἱρμόν· οὐδὲ γάρ
» μοι τοσούτῳ γέγονε τὸ κρατηθῆναι αἰσχρὸν,
» ὅσῳ τό γ' ἐρίσαι σεμνὸν, καὶ μεγάλην ἡμῖν ὁ
» τοσοῦτος νικητὴς δίδωσι δὴ τὴν παραμυθίαν. Εἴ
» τις Δηϊάνειρα (1) τῷ ἑαυτῆς ὀνόματι πρὸς τὰς
» σὰς ἔφθασεν ἀκοὰς, περικαλλεστάτη γέγονε παρ-
» θένος πολὲ, καὶ πολλῶν μνηστήρων ἐλπὶς ἐπίφθονος.
» Σὺν οἷς εἰσελθὼν πρὸς τὸν τοῦ ζητουμένου πενθερὸν
» καὶ αὐτὸς οἶκον, Δέξαι με γαμβρὸν, ὦ παῖ τοῦ
» Παρθάονος, εἶπον (2). Εἶπε τοῦτο καὶ Ἡρακλῆς.
» Καὶ οἱ ἄλλοι παρεχώρησαν ἡμῖν. Ὁ μὲν οὖν τὸν
» Δία πενθερὸν καὶ τὴν φήμην τῶν ἄθλων δώσειν
» καὶ τὰς καλορθωσείσας τῆς ἑαυτοῦ μητρυιᾶς ἐπιτα-

(1) Latinum, « si *qua* Dejanira », et græcum inde factum, εἴ τις Δηϊάνειρα, patrocinantur meæ in Apollodori Bibliotheca lectioni, quam exposui supra p. 186.

(2) Inserui εἶπον. Causa omissionis in εἶπε, quod sequitur, fuisse videtur.

» γὰς, ὑπισχνεῖται· ἐγὼ δ' ἐτέρωθεν αἰσχρὸν εἶπον
» θεὸν ὄντα με θνητῷ ὑποχωρῆσαι (οὔπω γὰρ ἦν
» ἐκεῖνος θεός)· ἐμὲ δὲ βλέπεις θεὸν ὑδάτων, ῥεί-
» θροις σκολιοῖς τὴν σὴν διαῤῥέοντα βασιλείαν· οὐδέ
» σοι γαμβρὸς ξένος ἐξ ἀλλοδαπῆς σοι μέλαπεμπτος
» ἔσται, ἀλλ' ὁ αὐτόχθων ἐγὼ (1) καὶ μέρος ἓν τῶν
» περσόντων σοι. Τοῦτο μόνον με μὴ βλαπτέτω,
» ὅτι με ἡ βασιλὶς Ἥρα μὴ (2) μισεῖ καὶ πᾶς πόνος
» ἄπεστι τῶν ἐπιταθομένων ἀγώνων. Σὺ δ' Ἡρά-
» κλεις, ἐπεὶ σεμνύνῃ (3), τὴν Ἀλκμήνην ἔχων μη-
» τέρα (4), ὁ Ζεὺς ἢ πεπλασμένος σοι πατήρ ἐστιν,
» ἢ, εἰ ἀληθὴς, ἐξ ἀμαρτίας γε πάντως καὶ τῇ τῆς
» μνηστῆς μοιχείᾳ, παλαιὸ τούτῳ κέχρησαι. Ἑλοῦ τοίνυν
» ὁπότερον βούλει, ἢ πεπλασμένον εἶναι τὸν Δία,

(1) Forsan, ἀλλὰ αὐτοχθ. Ovidius, « popularis *ero* »: legebat Noster, « popularis *ego*, quod non displicet.

(2) Inserui μή. Sequens syllaba, cujus sonus idem est, potuit esse omittendæ negationis causa.

(3) Cod. σεμνύνει: sic ad 282, καλέσεις, pro καλέσῃς post ἐπεὶ δέν: ad 411, αἰτήσει pro αἰτήσῃ: ad 412, κεκώσει pro κεκώσῃ: ad 441, ἔθνει pro ἔθνη: ad 648, εἴπῃς pro ἤπῃς: ad 640, εἴπερ pro ἤπερ: ad 677, ἢ pro εἰ. Proclus in Parmenidem II, pag. 110, οὕτω δεῖ δὴ—Iotacismus in causa fuisse videtur, ut hæ voculæ sono simillimæ δεῖ et δὴ transponerentur: codd. tres apud Cusinium habent δὴ δεῖ, quem ordinem edito prætulerim.

(4) Ovidius: « Nam quod te » jactas Alcmena matre *creatum*. » Non inepte hic mendam esse suspicatur Bergen. Observ. c. 6; et proponit vel *create*, vel *creatus*. Etenim non potest Hercules jactare se quod sit Alcmena creatus, sed, quum sit creatus Alcmena, se jactat, nempe patris divini causa. Notandum insuper Herculem supra de matre tacuisse, sed « Jovem socerum » dare se » retulisse. Nunc apte matris hominis ejusdemque adulteræ mentionem injicit rivalis Fluvius, et a patre captatam laudem extenuat. Lectioni *creatus*, quam alteri *create* præfero, quodammodo favere Planudea videntur; cum illa præsertim, quam post σεμνύνῃ feci, distinctione, qua sententia juvatur.

» ἢ σαυτὸν δι' ἀτιμίας γεγεννημένον. Τοιαῦτα λέ-
» γοντα ἐκ μακροῦ βλοσυροῖς ἐκεῖνος ὀφθαλμοῖς
» ἔβλεπε, καὶ τὴν ὀργὴν ἰσχυρῶς ἀναφθεῖσαν οὔκουν
» πιέζει, καὶ τοσαῦτα ἠμείψατο ῥήματα· Ἐμοὶ κρείτ-
» των ἡ χεὶρ τῆς γλώττης· καὶ δὴ, ἐξόν μοι μαχό-
» μενον περιγίνεσθαι, σὺ νίκα λέγων. Καὶ ἐπέρχεται
» δὴ θρασέως. Ἐγὼ δ' ἄρτι μεγαλορρημονήσας ἠ-
» σχύνθην ὑποχωρῆσαι, καὶ ἀπεθέμην τοῦ σώματος
» τὴν ἐσθῆτα χλωρὰν οὖσαν τὴν χροιὰν, καὶ τοὺς
» τῶν χειρῶν πήχεις ἀντήρεισα· καὶ προυβαλλόμην
» στὰς πρὸ τῶν στέρνων τὰς χεῖρας, καὶ πρὸς παγ-
» κράτιον ἠτοίμασα ἐμαυτόν. Ὁ δὲ, κοίλαις χερσὶ
» κόνιν συναμησάμενος, κατεσκέδασέ μου, καὶ τῇ
» τῆς ψάμμου ἁφῇ (1) ἐξεπυρρώθη· καὶ νῦν μὲν ἐμοὶ
» τὸν τράχηλον, νῦν δὲ τὰ σκέλη τρέμοντα ξαίνει
» ἢ ξαίνειν ἂν ᾠήθης, καὶ πανταχόθεν συνθράττει (2).
» Ἐμοὶ δὲ τὸ ἐμαυτοῦ βάρος βοηθεῖ, καὶ μάτην
» ἐκοπτόμην ταῖς ἐξ ἐκείνου πυγμαῖς, οὐχ ἑτέρως
» ἢ πέτρα προβλὴς (3), ἣν ἤχῳ μεγάλῳ τὰ κύ-
» ματα τύπτει· ἡ δὲ μένει τῷ ἑαυτῆς ἐρηρισμένη

(1) Notatis de *haphe*, seu pulveris tactu, a Gierigio adde Grævium ad Lucianum de Gymnas. c. 2; Gruter. ad Senecæ Epist. 57; Possinum ad hæc Passionis S. Perpetuæ verba p. 19: « illum » Ægyptium video in *afa* volu- » tantem »; Dacer. ad Horat. II, Ep. I, 33. Nilus Ep. 229: ὥσπερ ἐπὶ τῶν γυμνικῶν ἀγώνων ὁ ἠλειμμένος εὐχερῶς διαλύει τὰ λεγόμενα παρ' αὐτοῖς ἅμματα, εἰ δὲ δέξοιτο κόνιν δυσκόλως ἐκφεύγει τὴν χεῖρα τοῦ ἀντιπάλου· οὕτως..... Plutarchus de Util. ab inim. c. 13, καθάπερ οἱ παλαίοντες τὴν κόνιν, οὐχ ἑαυτῶν ἀποψῶσι τὰς λοιδορίας, ἀλλὰ συμπάσσουσιν ἀλλήλους: ubi Wyttenb. pag. 624.

(2) Cod. συνθλάττει: permutatione elementorum λ et ρ jam notata pp. 257, 304. Modo p. extr. 374, cod. πεπρασμένον.

(3) Cod. προβολῆς, sed superimposito acuto tono, ut fiat προβολής.

» βάρει. Διϊσλάμεθα τοίνυν ἐπὶ μικρὸν καὶ αὖθις
» πρὸς μάχην σύνιμεν. Καὶ ἐπὶ χώρας ἔσημεν, δῆ-
» λοι (1) ὡς οὐκ ἂν ἄτερος ἑτέρῳ ὑπείξοντες · καὶ δὴ
» ποὺς ποδὶ συνῆπται · ἐγὼ δὲ καὶ ὅλῳ τῷ σίέρνῳ
» ἐπικλινὴς καὶ δακτύλους δακτύλοις καὶ μέτωπον
» μετώπῳ ἐπήρειδον. Οὐχ ἑτέρως εἶδον ἰσχυροὺς συν-
» τρέχοντας ταύρους, ἐπειδὰν γέρας τῆς μάχης
» λευκολάτη πάσης τῆς ἀγέλης ἐλπίζηται σύζυγος ·
» ὁρᾷ δὲ τὸ βουκόλιον ἅπαν καὶ δέδοικεν, ἀγνοοῦν
» τίνα πολὲ ἡ νίκη τῆς τοσαύτης ἀρχῆς μένει. Τεὶς
» μηδὲν ἀπύων ὁ Ἡρακλῆς ἠθέλησε τὸ βιαζόμενον
» αὐτὸν εἰς τοὐναντίον ἐμὸν σῖῆθος ἐξ ἑαυτοῦ ἀπώ-
» σασθαι · τῷ δὲ τετάρτῳ ἀπελινάξαλό τι τὰς ἡμελέ-
» ρας περιπλοκὰς, καὶ περιλαμβανούσας αὐτὸν τὰς
» χεῖρας ἔλυσεν, ὡσάμενός τε χειρί (ὠσμένον γὰρ
» ἔμοιγε ὁμολογεῖν τἀληθῆ), εὐθὺς ἀνέτρεψέ με, καὶ
» μου τῷ νώτῳ βαρύταλος δὴ προσέσχεῖο. Εἴ τις
» πίσῖις (οὐδὲ γὰρ ἔμοιγε ψευδέσι λόγοις δόξα ζη-
» τεῖται), ὄρει ἐπιτεθέντι μοι ἐδόκουν πιέζεσθαι. Μόλις
» ὅμως πολλῷ καλαῤῥεομένας τὰς χεῖρας ἰδρῶτι μέσον
» ἀμφοῖν τῶν σωμάτων (2) ἐνῆκα, καὶ μόλις τὸν
» χαλεπὸν δεσμὸν τοῦ σώμαλος ἔλυσα. Ὁ δ' ἐγκει-
» ταί μοι ἀσθμαίνοντι, καὶ κωλύει σθένος ἀναλαβεῖν,
» καὶ τῷ ἐμῷ χρῆται τραχήλῳ. Τηνικαῦτα τοίνυν
» τοὐδαφος τῷ ἐμῷ γόναλι ἐπιέσθη, καὶ τὴν ψάμ-
» μον τῷ σιόμαλι ἔδακον. Ἐλατλούμενος δὴ τῇ ῥώμῃ,

(1) Cod. δῆλος. Locutio δῆλοι ὡς — ὑπείξοντες mihi Lysiam in mentem revocat sic editum t. V, p. 441, δῆλοι ἔσεσθε ὡς ὁρκιζόμενοι: ibi frustra Reiskius ὡς deletum malit; locus, si quis alius, integer.

(2) De hac junctura ἀμφοῖν τῶν, pro ἀμφοῖν τοῖν, cf. not. ad Aristænet. pag. 433, ubi similia collegimus interpretes.

» πρὸς τὰς ἐμαυτοῦ τρέπομαι τέχνας, καὶ, ἐξ ἀν-
» δρὸς μεταμορφούμενος, εἰς μακρὸν ὄφιν διολισθαίνω.
» Ἐκεῖνος δ', ἐπείπερ ἐγὼ καμφθεὶς εἰς κύκλους ἐκόλ-
» πωσα τὸν ὁλκὸν ἐμαυτοῦ καὶ σὺν δεινῷ συρίγματι
» τὴν διπλὴν ἐκίνησα γλῶτταν, ἐγέλασε, καὶ, δια-
» παίζων τὰς ἐμὰς ὁ Τιρύνθιος τέχνας, Τῆς ἐμῆς νη-
» πιότητος, εἶπε, τὸ περιγενέσθαι τῶν δρακόντων
» ἔργον ἐστίν· ἀλλ', εἰ καὶ τοὺς ἄλλους δράκοντας
» νικᾷς, Ἀχελῷε, πόστον εἶ μέρος σὺ, δράκων εἷς
» ὢν, τῆς Λερναίας ἐχίδνης, ἢ τοῖς (1) ἑαυτῆς τραύ-
» μασι γονιμωτέρα ἐγίγνετο (2); καὶ οὐκ ἔστιν ἥτις
» ἐκ τοῦ τῶν κεφαλῶν ἐκείνης ἀριθμοῦ εἰκῇ ἀποτέ-
» τμηται, ὡς μὴ ἰσχυροτέρα ἑαυτῆς διδύμοις γίνεσθαι
» διαδόχοις. Ταύτην δ' ἐγὼ τὴν ὕδραν πολυφυῆ,
» τοῖς γεννωμένοις ὄφεσι γιγνομένην καὶ τῷ φόνῳ (3)
» μᾶλλον αὐξάνουσαν, δαλῷ τε ἐδάμασα, καὶ δα-
» μάσας κατώρυξα. Τί γοῦν οἴει σαυτὸν εἶναι; ὃς, εἰς
» ψευδῆ μεταβαλὼν δράκοντα, ἀλλότρια κινεῖς
» ὅπλα, ὃν ἐκ παρακαταθήκης ἀλλοτρία καλύπτει
» μορφή. Εἶπε, καὶ ἐπ' ἄκρῳ μοι τῷ λαιμῷ τοὺς
» τῶν δακτύλων ἐπιβάλλει δεσμούς. Ἐγὼ δ' ἠγχό-
» μην, ὡς ὑπὸ πυράγρας τὸν φάρυγγα πιεσθεὶς, καὶ
» τῶν δακτύλων ἀπεμαχόμην τὸν ἐμαυτοῦ λαιμὸν
» ἀποσπάσαι.
» Ἀλλὰ καὶ οὕτω μοι πλεονεκτουμένῳ τρίτη μορ-

(1) Cod. τῆς : sic ad 167, cod. οἷ pro ᾗ : ad 335, οἷς pro ἧς. Eusebius de Vit. Const. I, 12, τὰ καιριώτατα καὶ τῆς μεθ' ἡμᾶς ἀξιομνημόνευτα : scribendum, τοῖς μεθ' ἡμᾶς, *posteris*.

(2) Legebat *erat*, melius, puto, quam editum *erit*. Atque statim reperisse videtur « de *capi-* » *tum* numero. »

(3) Cod. φόρω, sed cum emendatione quam exhibui.

» φὴ ταύρου δεινοῦ ὑπελέλειπτο. Εἰς ταῦρον δὴ τὰ
» μέλη μελαβαλὼν, ἀναμάχομαι· ὁ δ' ἐξ εὐωνύμων
» τοῖς ἐμοῖς μυσὶ ἐπιβάλλει τὰς χεῖρας, καὶ, ἀνα-
» ποδίζων, ἕλκων, ἔπεσα, καὶ, τὰ κέρα πιέσας, ἐπὶ
» σκληρᾶς γῆς πήγνυσι, καί με ἐπὶ βαθείας κοια-
» σμορέννυσι ψάμμου. Οὐδ' ἄλις (1) ἦν αὐτῷ τοῦτο·
» ἀλλὰ καὶ τὸ ἀντίτυπον κέρας, τῇ θρασείᾳ χειρὶ
» καθέχων, ἀπέκλασε, καὶ τοῦ ἠκρωτηριασμένου
» μου μέλωπος ἀνέσπασεν. Αἱ δὲ Νηρηίδες τοῦτο,
» ὀπωρῶν τε καὶ ἀρωμάτων καὶ ἀνθέων πληρώσασαι,
» καθιέρωσαν, καὶ νῦν ἡ τῶν ἀγαθῶν πολύπλουτος
» ἀφθονία τῷ ἐμῷ κέρατι πειγίνεται. »

Εἶπε· καὶ μία τῶν ὑπηρετουμένων Νυμφῶν, τὸν τῆς Ἀρτέμιδος τέρπον ἀνεζωσμένη, λευμένων ἐκαλέρωθεν τῶν κοκάμων, εἰσῆλθε, καὶ τὰς ὀπώρας ἐν τῷ ὑπερπλούτῳ κέρατι ἀνείλετο, καὶ ἐφεξῆς ταῖς ὀπώραις τὴν τράπεζαν (2). Ὑπέδραμε τοιγαροῦν νύξ (3), καὶ, τοῦ πρώτου ἡλίου τὰς ἀκρωρείας βάλλοντος, ἀπαίρουσιν οἱ νέοι. Οὐδὲ γὰρ ἐκδέχονται μέχρις ἂν ὁ πόλεμος εἰρηναῖον καὶ γαληνὸν σχῇ τὸ ῥεῖθρον, καὶ τὸ ὕδωρ ἀσφαλῶς συνιζήσῃ. Ὁ δ' Ἀχελῷος τό, τ' ἀγελικὸν αὐτοῦ πρόσωπον καὶ τὴν περισυληθεῖσαν τὸ κέρας κεφαλὴν ἐν μέσοις τοῖς ὕδασιν ἐκρυφεν. Ὅμως δὲ τοῦτον ἡ τοῦ ἀφηρημένου κόσμου ζημία

(1) Cod. ἄλλης, sed est facta ad marginem correctio.

(2) Ovidius: «totumque *tulit* » prædivite cornu Autumnum et » mensas, felicia poma, secun- » das. » Omnino hic cæcutivit Planudes. *Tulit* non est *abstulit*, sed *adtulit*, et *mensæ secundæ* Græcis ἐπιφορήματα, ἐπιδορπίσματα, ἐπιλεκτρίζωματα, dicebantur. Verterim igitur: —ἐβάστασε καὶ γλυκώματα μῆλα, τὰ ἐπιδορπίσματα.

(3) Legebat, «Nox fugit», non «Lux subit: quæ varietas et ex aliis codd. fuit a Burm. notata.

ἐλύπει (1) · τὰ δὲ λοιπὰ σῶα φέρει · τὸ μέντοι τῆς κεφαλῆς αἶσχος, ἢ κλάδον ἰτέας ἢ δόναξις ἐπιτιθεὶς, συσκιάζει.

Καὶ μὴν καί σε, χαλεπὲ Νέσσε, ὁ τῆς αὐτῆς παρθένου ἔρως ἀπώλεσε, σὺν ᾧ διαπαρέντα τὰ νῶτα βέλει. Καὶ γὰρ ὁ τοῦ Διὸς παῖς, τὰ πάλῳα τείχη σὺν τῇ νέᾳ ζηλῶν συζύγῳ, ἀφίκετο πρὸς τὰ ταχινὰ ῥεύματα τοῦ Εὐήνου · ὁ δὲ πολαμὸς δαψιλέσιεργος ἦν τοῦ εἰωθότος, χειμερίοις νιφέλαις πυξημένος, καὶ πολλοῖς ἐκδιδοὺς καὶ ἀπόρροις τοῖς σίομασι (2). Τῷ δὲ Ἡρακλεῖ, ἀφόβῳ μὲν ὑπὲρ ἑαυτοῦ, ὑπὲρ δὲ τῆς γυναικὸς φροντίσι συνεσχημένῳ (3), πρόσεισιν ὁ Νέσσος, ῥωμαλέος τῷ σώματι καὶ τῶν πόρων ἐπισήμων · καὶ « Τῇ ἐμῇ » φησὶν « ὑπουργίᾳ ἐπ' ἐκείνης αὖτη » τῆς ὄχθης σήσεται, ὦ (4) Ἡράκλεις · σὺ δὲ νηχό- » μενος τῇ σαυτοῦ χρήσῃ δυνάμει. » Παραδίδωσι τοίνυν ὁ Ἀόνιος (5) περιδεᾶ τὴν Καλυδωνίδα τῷ Νέσσῳ, ὠχριῶσαν τῷ φόβῳ καὶ τόν τε πολαμὸν καὶ αὐτὸν

(1) Habuit in suo libro « Hunc » tamen — domuit », quæ lectio, et ex aliis nota codicibus, melior recepta videtur. Sensus est optimus, nempe, Acheloum decoris jactura, eaque facile ferenda atque celanda, fuisse domitum, Nessum vero vitæ ipsius jactura.

(2) Latina, « Uberius solito » nimbis hiemalibus auctus, Vor- » ticibusque frequens erat atque » impervius amnis », ita vertit, ut habuisse fere videatur « uberior » et in altero versu plane cæcutiisse. Nam de multis et impervis fluvii *ostiis* parum Heros fuit sollicitus. — Codex, παχινά: supra p. 351, 1, B, παχύνοις.

(3) Cod. συν[σχημένω : superior lectio est ab altera manu.

(4) Cod. ὁ : sic ad 232, ὁμώμενα : ad 277, ὁμολογημένους : ad 400, αὐτὸ pro αὐτῷ : sic et p. 115, 11, A, οὕτως pro οὖπος, et iterum p. 277, 9, A B, οὕπως pro οὖπος : quæ suis locis notare omiseram. De οὕπως et οὖπος permutatis cf. ad Nicet. Eugen. pag. 33.

(5) Glossa inter versus legitur, Θηβαῖος, et statim ad Καλυδωνίδα, Δηϊάνειραν.

δεδοικυῖαν. Αὐτίκα δ' αὐτὸς ἐνήχελο (1), καὶ δὴ τῇ τε φαρέτρᾳ καὶ τῇ λεοντῇ βαρυνόμενος· καὶ γὰρ τό, τε ῥόπαλον καὶ τὸ κυλλὸν (2) τόξον εἰς τὴν περαίαν ἠκόντισεν. « Ἐπεὶ » φησὶ « νεῖν ἠρξάμην, ὁ ποταμὸς ἠτιμωθήσεται (3). » Καὶ οὐδ' ὁτιοῦν ἀμφιβάλλει, οὐδὲ ποῦ ποτ' ἂν ἐπειχέσθερον εἴη τὸ ὕδωρ ζητεῖ, καὶ ἀπαξιοῖ τῇ τῶν ὑδάτων φέρεσθαι συνεργείᾳ (4). Ἤδη μὲν οὖν ἐπελάβελο τῆς ὄχθης, καὶ, τὸ ῥιφὲν ἀνελόμενος τόξον, τὴν τῆς γυναικὸς ἐπέγνω φωνήν· καὶ τοῦ Νέσσου ἐν παρασκευαῖς ὄντος τὸ παρβεθὲν αὐτῷ δολιεύσασθαι; « Ποῖ σε, δίφυὲς » ἀνεβόησε « Νέσσε, » σαυτῷ λυμαινούμενε, τὸ τῶν ποδῶν μάταιον θάρρος » ἁρπάζει; Μαρτυρόμεθα (5), καὶ ὑπάκουσον· μηδὲ τὰ- » μὰ συλᾶν θέλε. Εἰ γὰρ μή τις ἐμοῦ σε καλεδυσώ- » πησεν αἰδώς, ἀλλ' οἵ γε παλρῷοι τεθχοὶ οἷοί τ' ἦσαν » τῶν ἀπηρτημένων κωλύειν γάμων (6). Οὔκουν ὅμως » ἐκφεύξῃ, εἰ καὶ τὰ μάλισλα ἱππεία τεθάρρηκας » συμμαχία. Τεαύμαλι γὰρ, οὐ ποσὶ, σὲ διώξω. » Καὶ δὴ τὸ τελευλαῖον ἔπος ἡ τοξεῖς ἐκύρωσε· καὶ,

(1) Latina, *ut erat*, non intelligebat; vertenda, ut monuit Gierigius, ὡς εἶχε : qua de formula diligenter egit Peerlkamp. ad Xenoph. Ephes. p. 225.

(2) Cod. κοῖλον, quod mutavi, ut latinum *curvos arcus* apte redderetur. Pronuntiatio vocum κοῖλος et κυλλὸς fere simillima mendum peperit : cf. pag. 326.

(3) « Superentur flumina » in latinis non apte versum est a Planude. Malim, ὁ ποταμὸς διαβαθῇ.

(4) Cod. συνεργία : sic ad. 732, ὄρνις. Supra p. 47, 8, codd. exhibuerunt ἡνιοχίαν, et p. extr. 98, B, δρακοντίους, quæ mutavi : sic pag. m. 81, A, μιξοθοιχίωσε.

(5) Ovidius : « Dicimus. » Formula videtur esse ejus qui compellanti sibi attendi jubet. Aristophanes Nub. 1148, Παῖ, ἡμὶ, παῖ, παῖ. Sic fere Angli suo imperantes *I say* utuntur. Murphyus in Tribus post nuptias Septimanis, act. II : « *I say*, let » the horses be put to this mo- » ment. » — « Hold your tongue, » woman, *I say*. »

(6) *Concubitus* : cf. ad Aristæn.

βέλος ἀφεὶς, φεύγοντι διαπείρει τὰ νῶτα. Ἐξεῖχον τοίνυν τοῦ σώματος οἱ τοῦ σιδήρου ὀγκίνοι (1), ὃν ὁμοῦ τε ἀνέσπασε, καὶ τὸ αἷμα δι' ἑκατέρας ὀπῆς διεγέλασεν (2), ἰῷ κεκραμένον τοῦ Λερναίου φαρμάκου. Ὁ δὲ Νέσσος ὑποδέχεται τοῦτο· « Οὐ γὰρ ἀτιμωρητὶ θνηξόμεθα », καθ' αὑτὸν εἶπε· καὶ θερμὸν (3) βεβαμμένον λύθρῳ τῆς ἐσθῆτός τι μέρος δίδωσι δῶρον τῇ ἁρπαγείσῃ, ὡς ἐρεθιστικὸν ἔρωτος.

Μακρὰ τριβὴ τοῦ μεταξὺ γέγονε χρόνου, καὶ τὰ τοῦ μεγάλου Ἡρακλέος ἆθλα τὴν γῆν πᾶσαν ἐπλήρωσαν καὶ τὸ τῆς μητρυιᾶς μῖσος. Ὁ δ', ἀπὸ τῆς Οἰχαλίας νικητὴς ἐπανιὼν, τὰ κατ' εὐχὴν ἱερὰ τῷ Κηναίῳ ἑτοίμαζε Διΐ. Καὶ δὴ Φήμη λάλος ταῖς σαῖς ἀκοαῖς, Δηϊάνειρα, προσελήλυθεν, ἣ χαίρει ψευδῆ προστεθεῖσα τοῖς ἀληθέσι καὶ ἐξ ἐλαχίστου τὰ ἑαυτῆς αὔξει πλάσματα, τὸν Ἀμφιτρυωνιάδην τῷ τῆς Ἰόλης ἔρωτι πυρπολεῖσθαι. Ἡ δὲ φιλοῦσα πιστεύει· τῇ φήμῃ τε τῆς νέας ἀφροδίτης καταπλαγεῖσα, πρῶτα μὲν τοῖς δάκρυσιν ἐχαρίσατο, καὶ κλαίουσα τὸ ἑαυτῆς ἡ ταλαίπωρος ἄλγος διαχεῖ· μετὰ δὲ τοῦτ' εὐθύς, « Τί δήποτε κλαίομεν »; εἶπε· « ἡσθήσεται τούτοις δὴ τοῖς δάκρυσιν ἡ ἀντίζηλος. Ἐπεὶ γὰρ αὕτη ἐλεύσεται, σπουδὴν πᾶσαν εἰσενεκτέον· καί τοι καὶ τολμητέον ἐστὶν, ἕως ἔξεστι καὶ μήπω τὸν ἐμὸν θάλαμον ἄλλη κατέχει. Πότερον μέμψομαι, ἢ σιγήσω; ἐπανέλθω πρὸς τὴν Καλυδῶνα, ἢ μείνω; ἐξέλθω τῶν οἴκων, ἢ οὕτως οὐδ' ὁτιοῦν

(1) Sic eod., cum illo accentu.

(2) Vix puto hoc esse sanum. Forte, διέλασεν, *emicuit*.

(3) Legebat ergo non *calido*, id esset θερμῷ, sed *calidum*, munus nempe.

» πλέον ἀντισῶ; Τί δ', ὦ Μελέαγρε, εἰ ἐμαυτὴν
» ἀναμνησθείην σὴν εἶναι ἀδελφήν; Πρὸς μέγιστον,
» ὁμολογῶ, μῦσος εὐτρεπίζομαι, ὅσον ἡ ὕβρις ἀπαιτεῖ
» καὶ τὸ γυναικεῖον ἄλγος, τὸ τὴν ἀντίζηλον ἀπο-
» σφάξαι (1) »; Εἰς ποικίλας τοίνυν ὁδοὺς (2) ἄπεισιν
ὁ νοῦς· τούτων δὲ προὔθηκε πασῶν τὴν πεπωκυῖαν
τὸ Νέσσειον αἷμα ἐσθῆτα πέμψαι, ἢ τῷ ἔρωτι δύ-
ναμιν ἐκλείποντι ἐπιδίδωσι. Καὶ ἀγνοοῦντι τῷ Λίχᾳ
τί πολ' ἂν τῷ Ἡρακλεῖ παρεδοίη, ἀγνοοῦσα καὶ
αὐτὴ, τῆς ἑαυτῆς θρήνους αὐτῷ παραδίδωσι· καὶ μει-
λιχίοις ἐντέλλεται λόγοις ἡ δύστηνος τὸ δῶρον ἐκεῖ-
νο (3) τῷ ἀνδρὶ δοῦναι. Δέχεται δὴ τοῦτο καὶ ὁ ἥρως
Ἡρακλῆς ἀγνοῶν, καὶ περιτίθησι τοῖς ὤμοις τὸ
τῆς Λερναίας ἐχίδνης φάρμακον. Θύματα δὲ ἀπῆγε
καὶ λόγους ἱκετηρίους. ἐπὶ τῷ πρώτῳ πυρὶ, καὶ οἶνον
ἐκ φιάλης ἐπὶ τῷ μαρμαίνῳ βωμῷ ἔσπενδεν· ἡ
δὲ τοῦ κακοῦ ἐκείνου δύναμις διεθερμάνθη, καὶ, δια-
λυθεῖσα τῇ τοῦ πυρὸς θέρμῃ, τὰ Ἡράκλεια διέ-
δραμε μέλη, πανταχόσε διαχυθεῖσα. Μέχρις μὲν
οὖν οἷός τ' ἦν, μόνῃ (4) τῇ γενναιότητι τοὺς σπαραγμοὺς

(1) Legebat suo in codice : « Quid si me, Meleagre, tuam » *memorem* esse sororem? *Gran-* » *de* paro facinus, quantumque » injuria *poscit* Femineusque do- » lor jugulata » (vel forsan *jugulanda*) « pellice testor. » Majus interpretis peccatum est in ὁμολογῶ, quod latino *testor* non respondet. Poterunt græca eo refingi fere modo : Τί δ', ὦ Μελ., εἰ, ἐμά σοι εἶναι ἀδελφὴν ἀναμνησθεῖσα, πρὸς μέγιστον εὐτρεπίζομαι ἔργον, καὶ ὅσον ἡ ὕβρις τε δύναται καὶ γυναικεῖον ἄλγος τῷ τῆς ἀντιζήλου φόνῳ μαρτύρομαι.

(2) Legit Planudes « in cur- « sus animus varios abit. » Mox habuit *reddit* male pro *reddat*.

(3) Cod. ἐκείνῳ, quod mutavi. Toties vidimus ω et ο permutata, ut emendatio sit extra dubium posita : cf. p. 379. Ovidius : « Dona det *illa* viro. »

(4) Pessimam ergo habuit lectionem *sola* pro *solita*, nec mu-

ἦν πιέζων· ἐπεὶ δ' ἡ καρίεεία τοῖς κακοῖς ἐνικήθη,
ἀπώσαλό τε τὸν βωμὸν, καὶ τὴν πολύδενδρον ἐπλήρωσε τῶν ἑαυτοῦ κραυγῶν Οἴτην. Αὐτίκα δὲ δὴ μάλα τὴν Δαναΐηφόρον ἐσθῆτα διαῤῥῆξαι ἐπιχειρεῖ· ἣ δ' ἂν αὕτη γε ἕλκηλαι, καὶ τὸ δέρμα συνεφέλκεται, καὶ, δυσειδὲς τὸ σῶμα ποιοῦσα (1), ἢ ἐμπέφυκε τοῖς μέλεσι, καὶ μάτην ταύτην ἐκεῖνος πειρᾶται ἀποσπᾶν, ἢ διεσπαραγμένας τὰς σάρκας καὶ τὰ λοιπὰ πελώρια ἀνακαλύπτει ὀστᾶ. Αὐτὸς δ' ὁ λύθρος τέτειγεν (2), ὡς πόλις μύδρος λαμπὼν, ψυχρῷ βαπτόμενος ὕδατι, σίζει, καὶ ἕψεται φλέγοντι τῷ φαρμάκῳ. Καὶ οὐκ ἔστιν ἀποφυγή· λαφύσσει δὲ καὶ τὸ λίχνον (3) πῦρ

tare valuit. Repone ad sensum, εἰωθυίᾳ. Codex addit τῇ νεότητι, quod in τῇ γεραιότητι reformavi, adjutus latina voce *virtute* cui νεότης non quadrat, et toties observata permutatione vocalium αι et ε, quam et in hoc libro animadverti ad 247, ubi ὑμεῖς δίδοται: ad 632, ubi πολμᾶται pro πολμᾷ τι: ad 787, ubi συμμαίνει pro συμμένει.

(1) Non intellexit latina, «fœdumque relatu», sic fere vertenda: καὶ ὅπερ ἐστὶ δεινὸν λέγειν.

(2) Cod. πίτυγεν, quod potuissem utique servare: sed jam supra pag. 160, similem feci emendationem, et volui mihi constare. Puto Græcos ipsos hæsisse in dignoscendo probe utroque verbo. Quantum debeat esse dubii discas ex Hamakeri Lectt. Philostr. pag. 26. In Apollonii Vita Philostr. II, 4, pro edito φάσμα φυγῇ ὤχλο πτερυγός, cod. Regius, isque optimus, 1696, exhibet πλειγός. Ibidem II, 11, de elephante capto: νύκλωψ δὲ λέγεται τὴν δουλείαν ὀλοφύρεσθαι, μὰ Δί', οὐ πτερυγὸς, ὁποῖον εἴωθεν: cod. idem, μὰ Δία, οὐ πτειγός: atque Olearius, qui editæ favet, Glossas tamen Veteres adponit, ubi, Τείζει ἐλέφας, βοᾷ. Synesius Epist. 4, pag. 164 C, τὸ κέρας ἐπλείγει: cod. Regius 1039, habet ἐπτρύγει, et cod. 1038, ἐπτρήγει: et 2988, ἐπτρύγει: vidi et in scholiaste ἔπτυζεν: editam tamen lectionem non loco moverim. At in gratiam eorum quibus πτύζειν de navis antenna dictum placebit, monebo in Philostrati Epist. 21, ubi πτύζειν de calceo usurpatur, nihil me varietatis enotavisse, quum nonnullos olim Philostrati versarem codices; sed potui indiligentibus tunc oculis uti.

(3) Cod. λύχνον: sic βιβλίδια

καὶ τὰ ἔγκατα, καὶ πελιδνὸς ἰδρὼς ἐξ ὅλου τοῦ σώματος ῥεῖ, καὶ φοφεῖ τὰ νεῦρα καιόμενα· τῶν δὲ μυελῶν ἀδήλῳ τηκομένων ἰῷ, ἄρας εἰς οὐρανὸν τὰς παλάμας, « Τέφθι τῷ ἡμιέρῳ » ἀνέκραγεν « ὀλέθρῳ, Κρηνία· τέφθι, καὶ τὴν κῆρα ταύτην, ὠμότατα, βλέφον ἀφ' ὑφηλοῦ, καὶ τὴν ἀγελαίαν ψυχὴν » κόρεσον. Ἦ, εἴπερ ἐλεεινὸς ἐγὼ καὶ τῇ πολεμίᾳ » (πολέμιος γάρ εἰμι σός), τὴν ταῖς δειναῖς βα» σάνοις ἀπειρηκυῖαν ἐσλυγημένην τε ψυχὴν, καὶ ἐπὶ » μακροῖς γεννηθεῖσαν πόνοις, ἄφελε. Δῶρόν μοι ὁ » θάνατος ἔσται (1). Καὶ δὴ τοιαῦτα πρέπει δωρεῖσθαι » τὴν μητρυιάν. Ἆρ' οὖν ἐγὼ τὸν τοὺς νεὼς τῷ τῶν » ξένων λύθρῳ μολύνοντα Βούσιριν ἐδάμασα· καὶ » τοῦ δεινοῦ Ἀνταίου τὴν τῆς μητρὸς Γῆς τροφὴν » ἀφειλόμην. Οὐδ' ἐμὲ ἡ τριπλῆ μορφὴ τοῦ Ἰθηρος » ποιμένος, οὐδ' ἡ σὴ τριπλῆ μορφὴ αὖθις, Κέρβερε, » συνεθρήσεν. Ἆρ' οὐχ ὑμεῖς, ὦ χεῖρες, τὰ κέρα τοῦ » νεανικοῦ ἐπιέσαλε ταύρου; ὑμέτερον ἆθλον ἡ Ἦλις » ἔχει, ὑμέτερον τὸ τῆς Στυμφαλίδος ὕδωρ καὶ τὸ » Παρθένιον νέμος· ὑμελέρα ἀρείῃ καὶ ὁ καλάπασλος » τῷ Θερμωδοντιακῷ χρυσίῳ ζωσὶηρ ἐνήνεχλαι, καὶ » τὰ τρὸς τοῦ ἀγρύπνου πεφυλαγμένα μῆλα δράκοντος. Ἀλλ' οὐδ' οἱ Κένταυροί μοι ἀντισῆναι οἷοί » τ' ἐγένοντο, οὐδ' ὁ τὴν Ἀρκαδίαν δηίων κάπρος· » οὐδ' ἐλυσιτέλησε τῇ Ὕδρᾳ τὸ διὰ ζημίαν αὐξά-

pro βυβλίδα v. 452, et non semel in sequentibus; sic πολυορκούμενον, ad 581, pro πολιορκ. Eodem mendo Glossator infra ad verba Ἴθηρος ποιμένος adscripsit Γυεμόνου pro Γηρυόνου.

(1) Ovidius: « Mors mihi munus erit. » Forte scripsit Planudes ἔσλαι, ut monui ad Aristæn. pag. 616; ubi de permutatis temporibus ἔσλω et ἔσλαι notavi.

» νεσθαι καὶ διπλῆν ἀναλαμβάνειν ἰσχύν. Τί δ' ὅτι (1)
» τοὺς Θρηκὸς ἵππους, τοὺς (2) ἀνθρωπείῳ πίονας
» αἵματι, καὶ τὴν φάτνην σὺν πλήρει διεσπασμένων σω-
» μάτων εἶδον, καὶ ἰδὼν ἀπέρριψα, καὶ τόν τε δε-
» σπότην κἀκείνους διειργασάμην; Ταύταις συντρίβειν
» ταῖς χερσὶ κεῖται καὶ τὸ Νεμαῖον ἄχθος, ταύταις
» καὶ ὁ Κάκος τὸ φοβερὸν τέρας τῷ Τιβερίνῳ αἰ-
» μαλῷ (3). Τούτῳ τῷ τεραχήλῳ τὸν οὐρανὸν ἤνεγκα.
» Ἀπείρηκεν ἐπιτάττουσα ἡ χαλεπή μοι τοῦ Διὸς
» σύζυγος· ἐγὼ δ' ἐνεργῶν οὐκ ἀπηγορεύκειν. Ἀλλὰ καὶ
» καινός ὄλεθρος πάρεστιν, ὃν οὔτε ῥώμη, οὔτε
» βέλεσιν, οὔθ' ὅπλοις οἷόν τ' ἐστὶν ἀνθίστασθαι. Πε-
» ρινοστεῖ γάρ μοι τὰ ἐνδόταλα σπλάγχνα παμ-
» φάγον πῦρ, καὶ τὰ μέλη πάντα μοι διαβόσκεται.
» Ὁ δ' Εὐρυσθεὺς ἐῤῥῶσθαι! καὶ εἰσὶν οἳ πιστεύειν δύ-
» ναντα θεοὺς εἶναι! » Εἶπε· καὶ καθηλκωμένος πρὸς
τὴν ὑψηλὴν Οἴτην πορεύεται, οὐκοῦν ἑτέρως ἢ εἰ ταῦ-
ρος ἐμπαγὲν τῷ σώματι βέλος φέροι, καὶ ὁ τοῦ τραύματος αὐτουργὸς ὑποφεύγει (4). Πολλάκις ἂν ἐκεῖνον σπαραγμοὺς εἶδες ἀναδιδόντα, πολλάκις τρέ-
μοντα (5), πολλάκις διαπειρώμενον πάσας τὰς ἐσθῆτας

(1) Invenit *quid quod*, pro *quid quum*, formulam notissimam, hicque non incommodam. Potuit tamen scribere, *τί δ' ὅπ*, quod deinde mutatum fuerit; hæ voculæ enim facile variantur: cf. pag. 72.

(2) Cod. *πάς*. Saltem feminino bis uti librarius vel Planudes debuisset; quod si fecisset, non damnarem, etsi in latinis sit *equos*. Sic, ad 278, peccat in articulo *τὸν* pro *τήν*: et in relativo ad 643, ubi *οὓς* pro *ἅς*.

(3) Habuit versum ab editoribus repudiatum, « Cacus et » horrendum Tiberino litore » monstrum. »

(4) Codex *ὑποφιύγει*: sic ad vers. 277, *ἀναΐσσει*: ad vers. 337, *ἀναξιοπαθήσ*.

(5) Legit *trementem*, quod recepto *frementem* non præfracte prætulerim: nolim tamen ut Her-

διαῤῥηγνύναι, καὶ δένδρα σπορεννύντα, καὶ τοῖς ὄρεσιν ὀργιζόμενον, ἢ τῷ πατρῴῳ οὐρανῷ τὰς χεῖρας ἐκτείνοντα. Ἰδοῦ δὲ καὶ τὸν Λίχαν θεούμενον καὶ ὑπὸ κοιλην καλεπίηχότα πέτρην ἐώρακεν· ὡς δὲ πᾶσαν ἡ ὀδύνη τὴν μανίαν συνήθροισεν, « Οὐχὶ, σύ » φησὶ, « Λίχα, τὰ θανάσιμα δέδωκας δῶρα; σὺ τοὐμοῦ » θανάτου αὐτουργὸς ἔσῃ »; Ὁ δὲ τρέμει καὶ ὠχριᾷ δεδοικώς, καὶ πειθοῦς ἀπολογίας φησὶ ῥήματα. Ὁ δ' Ἡρακλῆς λέγοντα, καὶ περὶ τοῖς γόνασι καὶ τῶν χειρῶν παρασκευαζόμενον ἅψασθαι (1), συναρπάζει, καὶ τεὶς καὶ τελάχις περιδινήσας, εἰς τὴν Εὐβοϊκὴν ἀφίησι θάλατταν κραταιότερον ἢ ὡς ἀπὸ μηχανῆς. Ὁ δὲ διὰ τοῦ ἀέρος ἔτι μετέωρος ὢν ἐσκληρύνθη. Καὶ οἷάπερ φασὶ τοὺς ὑέλους τοῖς ψυχροῖς ἀνέμοις αὐξάνεσθαι (2), κἀντεῦθεν χιόνας γίγνεσθαι, καὶ τῆς χιόνος τῷ οἰκείῳ βάρει (3) συνειλουμένης πιλοῦσθαι καὶ σφαιροῦσθαι τῇ σφοδρᾷ χαλάζῃ τὸ σῶμα· οὕτως ἐκεῖνον ἐν τῷ διακένῳ τοῦ ἀέρος γενναίαις χερσὶ ῥιφέντα, ἀναιμόν τε τῷ φόβῳ γενόμενον καὶ οὐδ' ὁτιοῦν χυμῶν ἔχοντα, εἰς σκληρὸν λίθον μεταβεβλημένον ὁ

cule indignum prorsus rejicere. Etenim Hercules ille monstrorum domitor non *tremebat præ formidine;* sed jam intoleranda tabe exesum et ardentissima febre correptum heroem *horror* invaserat, *tremor*que membra percurrebat. Atque, si nunc *fremens* est, non bene statim *irascens* erit; idcirco Gierigius, post Heinsium, ex *irascente* velit *incursantem* facere, quæ conjectura valde est improbabilis.

(1) Male cepit latina. Scribere debuit, καὶ τῶν γονάτων παῖς χεροὶ παρασκ. ἅψ.

(2) Latinum *concrescere* non intellexit. Ad sensum mentemque Poetæ reponendum συμφύεσθαι.

(3) Suo in libro habuit *mole*, non *molle;* illudque *mole* idem est ac *molle:* nam in codd. plerumque e duplicatis literis una omittitur. Ceterum nec sic, *mole* a *moles* derivato, locum apte reddiderit.

περὶ χρόνος ἔδειξε· νῦν δ' ἐν τῇ Εὐβοϊκῇ θαλάττῃ βραχὺς ἀνέχει σκόπελος καὶ ἀνθρωπείας μορφῆς ἴχνη φυλάττει· ὃν, οἷάπερ αἰσθησόμενον, οἱ ναῦται παλεῖν εὐλαβοῦνται, καὶ δὴ λίχαν περσαγρεύουσιν. Ἀλλὰ σύ γε Διὸς περιβόητον γέννημα, δένδρα τεμὼν ἅπερ ἡ ὑλήλοφος ἔφερεν Οἴτη, καὶ, καλασκευάσας πυρὸν τό τε τόξον καὶ τὴν εὐρύχωρον φαρέτρην, καὶ τὰ πάλιν αὖθις τὴν Τρωϊκὴν βασιλείαν ὀφόμενα βέλη, φέρειν κελεύεις (1) τῷ Ποίαντος παιδὶ, ὅπερ ὑπηρέτουμένῳ ἡ φλὸξ ὑφεῖται. Καὶ δὴ τῷ λαύρῳ (2) πυρὶ τῆς τῶν ξύλων σλίβαδος περιληφθείσης, τῷ Νεμαίῳ σλορέννυς ταύτην ἄνωθεν δέρμαλι, καὶ, τῷ ῥοπάλῳ τὸν τοξότην ἐπιθεὶς, ἀνακλίνῃ, οὔκουν ἑτέρῳ προσώπῳ, ἢ εἰ, κωμάζων, ἀνέκεισο, μέλαξὺ γλεύκους μεσλῶν ἐκπωμάτων, σλέφανον ἀναδούμενος.

Ἤδη δ' ἡ φλὸξ, ὑπερισχύουσα καὶ παντάχοσε περιχυθεῖσα, ἐβρόμει (3), καὶ τόν τε καλαφρονοῦντα ταύτης καὶ τὰ ἐκείνου μέλη μεληέι. Ἔδεισαν δ' οἱ θεοὶ περὶ τῷ ἐκδικλῇ τῆς γῆς· πρὸς οὓς ὁ Κρονίδης Ζεὺς (καὶ γὰρ ἠσθέλο) τόνδε τὸν τρόπον χαίρουτι ἐφθέγξαλο σλόμαλι· « Οὗτος ὁ φόβος ἠμελέρα, θεοὶ, » μινέλαι ἡδονὴ, καὶ ἄσμενος ἐμαυλῷ ὅλῃ τῇ ψυχῇ » χαίρω, ὅτι δὴ τοῦ λογικοῦ δήμου (4) καὶ κηδεμὼν » καὶ παλὴρ λέλυμαι, καὶ τοὐμὸν γέννημα καὶ τῇ

(1) Legitur in codice, κελεύει.

(2) Nolui reponere λάβρῳ: potuit enim Planudes hoc modo scribendi uti, qui a multis frequentatus fuit. At cf. ad XI, 516.

(3) Verbum proprium; nam βρόμος est κυρίως ἦχος πυρὸς, traditibus id grammaticis: cf. quæ notavi ad Herodiani Epimerism. pp. 10, 291.

(4) Ovidius, *memoris populi*. Quæ dedit interpres obscura sunt nec apta. Malim, οὐκ ἀχαείσλου πλήθους, nempe οὐκ ἀχαείσλων ὑμῶν. Et post ἀσφαλείας deesse videtur εἰσλίν.

» ὑμῶν εὐμενείᾳ ἀσφαλείας ἐπιληπτόν. Εἰ γὰρ τοῦθ'
» ὑμεῖς δίδοτε τοῖς ἐκείνου μεγαλουργήμασι, μᾶλλον
» ὑμῖν εἰς φιλίαν αὐτὸς συνάπτομαι. Ἀλλὰ γὰρ, ἵνα
» μὴ ὑμῶν αἱ πισταὶ διάνοιαι κενῷ καταπλήττοιντο
» φόβῳ, τὰς Οἰταίας μὴ δέδιτε φλόγας. Ὁ γὰρ
» πάντα νικήσας νικᾷ καὶ ὃ πῦρ βλέπετε, καὶ οὐδὲ
» τοῦ πανδαμάτορος Ἡφαίστου, ὅτι μὴ ἐν τῇ μητρῴᾳ
» μερίδι, αἰσθήσεται· ἀθάνατον γάρ ἐστιν ὅτιπερ ἐξ
» ἐμοῦ ἔσπασεν, ἀμέτοχόν τε καὶ ἀπροσομίλη-
» τον (1) θανάτῳ (2), καὶ οὐκ ἔστιν ᾗτινι φλογὶ δα-
» μαζόμενον· καὶ τοῦτ' ἐγὼ τὸ χρεὼν λειτουργῆσαν
» ἐκ γῆς εἰς τὸν οὐράνιον ἀναλήψομαι χῶρον, καὶ πᾶσι
» θεοῖς πρὸς ἡδονῆς εἶναι τοὐμὸν ἔργον ἐμαυτὸν πείθω.
» Εἴ τις δ' ὅμως, εἴ τις τυχὸν Ἡρακλεῖ θεωθέντι
» ἀνιαθήσεται, μὴ τιθέσθω τῇ διδομένῃ ταυτῃ χά-
» ριτι· ὕστερον ἀξίως δοθεῖσαν γνώσεται, καὶ ἄκων
» αὐτὴν ἐπαινέσει. » Οἱ μὲν οὖν θεοὶ συγκατέθεντο· ἡ
δὲ τοῦ Διὸς σύζυγος τὰ μὲν ἄλλα τοῦ Διὸς ῥήματα
ἔδοξε μὴ δυσχεραίνοντι προσώπῳ, δυσχεραίνοντι
δ' ὅμως τὰ τελευταῖα ὑπενεγκεῖν, καὶ ἀλγήσασα δὴ
πεφώραται. Μετὰ δὲ τοῦτο, ὅτιπερ ἦν ἀλωτὸν τῇ

(1) Codex, ἀπροσωμέλητον.

(2) Convenit et sententia et verbis hymnus ap. Philostr. Her. p. 236, Thetidi cani solitus: Θέτι κυανέα, Τὸν μέγαν τέκες υἱὸν Ἀχιλλέα, Τοῦ θνατὰ μὲν ὅσον φύσις Ἤνεγκε Τροία λάχεν, Σᾶς δ' ὅσον ἀθανάτου γενεᾶς παῖς Ἔσπασε, Πόντος ἔχει.... Cf. infra XIV, 600—604 similia de Ænea. Ipse Hercules Luciani D. M. XVI, 3: ὁπόσον μὲν Ἀμφιτρύωνος ἐν τῷ Ἡρακλεῖ ἦν, τοῦτο τέθνηκε — ὁ δὲ ἦν τοῦ Διὸς, ἐν οὐρανῷ σύνεστι τοῖς θεοῖς. De quo et Lucianus Hermot. 7: ἀποβαλὼν ὁπόσον ἀνθρώπειον εἶχε παρὰ τῆς μητρὸς, καὶ καθαρόν τε καὶ ἀκήρατον φέρων τὸ θεῖον, ἀνέπτατο εἰς τοὺς θεούς. Atque ita de invicto Heroe vaticinatus erat Tiresias Theocriti Id. XXIX, 80: Δώδεκά οἱ τελέσαντι πεπρωμένον ἐν Διὸς οἰκῆν Μόχθους· θνητὰ δὲ πάντα πυρὰ Τραχίνιος ἑξεῖ.

φλογὶ καὶ φθαρτὸν τὸ πῦρ ἀφείλετο, καὶ εἶδος οὐκοῦν ἐπιγνωσκόμενον τοῦ Ἡρακλέους μεμένηκε καὶ τοῦ μητρικοῦ χαρακτῆρος οὐδ' ὁτιοῦν ἐπαχθόμενον· μόνον δ' ἐν αὐτῷ τοῦ Διὸς ἴσχυε φυλάττει. Ὡς δὲ νεαρὸς ὄφις, ἀποθέμενος ἅμα τῇ λεπιδὶ τὸ γῆρας, σφιγγᾶν εἴωθε, καὶ φωλίσι πρόσφατοις φαιδρύνεσθαι· οὕτως ὁ Τιρύνθιος (1), ἐπεὶ τὸ θνητὸν ἀπεδύσατο σῶμα, ὁμοῦ τε ἑαυτοῦ κρεῖττον ἀκμάζει (2) καὶ μείζων (3) ἤρξατο φαίνεσθαι, καὶ σεβασμιωτάτη ἐμβριθείᾳ αἰδέσιμος γίνεσθαι· ὃν ὁ πανσθενὴς Παλλὰς διὰ κοίλης νεφέλης ἁρπάσας ἅρμασι τεθρίππῳ τοῖς λαμπροῖς ἐγκατέθεικεν ἀστράσιν. Ἡσθέντο τοίνυν καὶ ὁ Ἄτλας τοῦ βάρους.

Ὁ δὲ Σθενέλειος ἥρως Εὐρυσθεὺς οὔπω τὸ μῖσος ἔλυσεν, ἀλλὰ τὴν παλαιὰν ἔχθραν καὶ ἐπὶ τοῖς ἐκείνου παισὶ μετέρχεσθαι ἀπηνῶς. Ἡ δὲ Ἀργολὶς Ἀλκμήνη, μαχαῖς φρουτίσιν ὀδυνωμένη, τὴν Ἡρακλέους Ἰόλην ἔχει, ὅπου τὰς γραφαλέας ἂν ἀπολίθοιτο λύπας, ἥπερ ἂν τοὺς ὠμολογημένους τῇ οἰκουμένῃ τοῦ παιδὸς ἆθλους ἀναγέλλοι καὶ τὰς ἑαυτῆς τύχας. Ταύτην γὰρ ὁ Ὕλλος εἴς τε τὴν ἑαυτοῦ κλῆσιν (4)

(1) Codex, πρυνχίδιος, calami lapsu.

(2) Forsan, ὁμοῦ π τὸ ἑαυτοῦ κρεῖττον ἀκμάζει, quod melius respondebit latinis, « Parte sui me» liore viget. »

(3) *Major*, μείζων, præstat hic omnino lectioni alteri *melior*. Deorum est proprium excelsa corporis statura. Hinc Socrates, encomiis Athenarum Atticarum et Atheniensium civium, tum mortuorum, tum viventium, elatus et supra naturam humanam fere evectus, ait in Menexeno S. 2, μείζων καὶ γενναιοτέρος καὶ καλλίων καὶ σεμνότερος γιγνέσθαι.

(4) Ovidius : « Iolen habet. » Herculis illam Imperiis, thala» moque animoque receperat Hyl» lus, Impleratque uterum gene« roso germine : cui sic Incipit » Alcmene : Faveant tibi numi» na.....» Planudes aliter legit,

καὶ τὸν θάλαμον καὶ τὴν ψυχὴν εἰσεδέξαλο. « Ἴλεώ
» σοι χῦν οἱ σοὶ (1) θεοὶ εἶεν, καὶ συσλείλειαν τὸν χεό-
» νον, ἐπειδὰν ἐπίτεξ οὖσα τὴν ἐφισλαμένην ταῖς
» ὠδίναις (2) καλέσῃς Εἰλείθυιαν, ἣν ἐμοὶ δυσχερε-
285 » σλάτην ἡ τῆς Ἥρας χάρις (3) πεποίηκε. Καὶ γὰρ
» ἐπείπερ ἡ γέννησις ἤδη τοῦ πολυπόνου παρῆν Ἡρα-
» κλέους, καὶ τὸ δέκαλόν ἐπείχελο τῷ ἀσλεροφόρχῃ σή-
» μειον, διέτεινέ μοι τὴν χασλέρα ὁ φόρλος, καὶ το-
» σοῦτον ἦν ὅπερ ἔφερεν ὡς δύνασθαί σε τὸν αἴτιον
» τοῦ κεκρυμμένου βάρεως τὸν Δία λέγειν εἶναι. Καὶ

nempe : « Iolen habet Herculis.
» Illam Imperiis, thalamoque. »
Nec male dictum fuerit *Iole Herculis*. Sic in Oreste Euripidea, τῇ θ' Ἡρακλέους Ἥβη : in Her. Philostrati pag. 46, Ἄλκησλις ἡ Ἀδμήλου καὶ Εὐάδνη ἡ Καπανέως. De hac ellipsi vocis γυνὴ monui ad Phil. pag. 307, et omnino videndæ Ellips. Bosianæ a Schæfero editæ; ac de latinæ vocis *uxor* ellipsi adisis Heins. ad Metam. III, 283. Præterea quod est oxymoron in verbis « recipere illam im-
» perio, thalamo et animo », illustravi supra pp. 145, 274. Pari acumine scurrilis ille Scarro in Narratione Comica Rancunam histrionem loquentem inducit : « Je
» *reprenois mon siége*, ma cou-
» ronne, et ma *gravité*. » Delillio, cujus in annotationum illarum priore versus adtuli hosce, « Heu-
» reux qui, dans le sein de ses
» dieux domestiques, Cultive ses
» jardins, les vertus et les *arts* », Bertinus præivisse videtur; dixit enim III, Eleg. 20 : « Et cultivant
» l'amour, la nature et les arts. »
Furta id genus non pauca et graviora nonnulla in Delillio animadverti. Lacuna quæ est in Planudeis, in illo saltem quo utor codice, poterit, donec meliores libri conferantur, sic fere impleri : χασλέρα τι εἰχινοῦς ἐνέ-πλησε σπέρμαλος. Περὶ ἣν ὧδε Ἀλ-κμήνη λέχων ἤρξαλο.

(1) Delendum videtur σοί. Statim codex, συσλέλειαν.

(2) Sic codex, ni legendum ὀδύναις, vel ὠδῖσι, vel ὠδινούσαις. Hoc placet ob latina *timidis parientibus*. Puto Planudem habuisse *tumidis*, quod in versione maluit omittere, ut fere superfluum, vel ut insuave.

(3) Ovidius : « Quam mihi dif-
» ficilem *Junonis gratia* fecit » : voluntas nempe Junonis gratiam aucupandi, Junoni placendi cura. Græca sunt æque brevia nec magis perspicua : sensus est : ἡ εἰς τὴν Ἥρας ἀρεσκείαν εὐθυμία.

» δὴ τὰς ὠδῖνας οὐκ ἔτι πλέον οἵα τ' (1) ἦν ὑπο-
» μένειν, καὶ πῶς γὰρ οὐκ ἄν, ὅτε καὶ νῦν μοῦ λεγούσης
» ψυχρὰ ἔχει τὰ μέλη φείκη · καὶ τὸ μνημο-
» νεύειν μέρος ἐστὶν ὠδῖνος. Ἐπλὰ γοῦν ἐγὼ νύκλας κα-
» ταλειπομένη καὶ τοσαύτας ἡμέρας, ἀπαγρεύσασά
» τε τοῖς δεινοῖς, καὶ τὰς χεῖρας εἰς οὐρανὸν ἀναλεί-
» πουσα, τὴν Εἰλείθυιάν τε καὶ τὸν τῆς ὠδῖνος πα-
» τέρα (2) μεγάλαις ἐπεκαλούμην κραυγαῖς. Ἡ δὲ
» ἦλθε μέν, ἀλλὰ προδιεφθαρμένη ὑπὸ τῆς Ἥρας,
» καὶ τοιάδε τὴν γνώμην οἵα τὴν ἐμὴν ἂν κεφαλὴν
» ἀσυμπαθῶς (3) ἐθέλειν ἐκείνῃ χαρίσασθαι. Καὶ, τοὺς
» ἐμοὺς ἀκούσασα σπαραγμούς, ἐνελόχησε πρὸ τῶν
» θυρῶν ἐν ἐκείνῳ δὴ τῷ βωμῷ, καὶ τῇ δεξιᾷ ἰγνύῃ
» τὸ λαιὸν πιέσασα γόνυ, καὶ τοὺς δακτύλους ἐναλλὰξ
» δίχηη κλενὸς συμβαλοῦσα, τὰς ὠδῖνας ἀνέμενε (4),
» καὶ ἐπῳδὴν ἡσύχῳ φωνῇ ἐπέλεγε, καὶ ἐπῳδὴ τὰς
» ὠδῖνας ἀρξαμένας ἐπέσχεν. Ἐγὼ δὲ συνειχόμην
» ὠδῖσι, καὶ παρεφρονήσασα τῷ Διὶ ὡς ἀγνώμονι
» λοιδορίαν κενὴν λοιδορῶμαι, καὶ θανεῖν ἐπιθυμῶ,
» καὶ ῥήματα λέγω καὶ σκληροὺς ἂν λίθους κινήσοντα.

(1) Cod. οἷά τ, errore solenni: et sic ad *ν*. 387 et 475.

(2) Videtur Planudes legisse non *Nixosque pares*, sed *nixusque patrem*, seu repererit id, seu forsan conjecerit. Recepta nunc in editionibus lectio non est extra dubitationem posita, quum multæ sint codd. varietates; nec placere fateor mihi quidem in oratione Alcmenes græcæ mulieris illam latinorum deastrorum mentionem. Ceterum de Nixis cf. Bartholini Antiqq. Puerperii; et Bœttigeri Ilithyiam, quem de illis docte agere memini. Eruditissimi hujus opusculi Bastius gallicam versionem composuit, quam inter ineditas ejus chartas Oxonii latentem protrahi tandem in lucem vehementer cupio.

(3) Legebat Planudes *inique*, non *iniquæ*.

(4) *Sustinuit* hic vertendum fuit ἀνέσχε, vel, ut evitetur ejusdem verbi iteratio, ἀνέσχεν.

» Παρίασι (1) τοίνυν αἱ Καδμηΐδες μητέρες, καὶ εὐχὰς
» ἀναπέμπουσι, καὶ ὀδυνωμένην παραμυθοῦνται. Μία
» δέ μοι τῶν θεραπαινῶν, ἐκ μέσου τοῦ δήμου, Γε-
» λανθὶς (2) τοὔνομα, ξανθὴ τὴν κόμην, παρῆν, εὔτονος
» πρὸς τὰ κελευόμενα ποιεῖν, καὶ ταῖς ἑαυτῆς ὑπη-
» ρεσίαις ἐπέραστος. Αὕτη ᾔσθετο χαλεπά τινα ἀγνοῶ
» τίνα τὴν Ἥραν ποιοῦσαν· εἰσιοῦσα δὲ καὶ ἐξιοῦσα
» πολλάκις τὴν θύραν, εἶδε καθημένην ἐν τῷ βωμῷ
» τὴν θεὰν, καὶ τὰς χεῖρας ἐπὶ τοῖς γόνασι τοὺς
» δακτύλους συμβεβλημένας ἔχουσαν· καὶ, Ἥτις
» ποτὲ, εἶπεν, εἶ σὺ, σύγχαιρε τῇ δεσποίνῃ· κεκού-
» φισται γὰρ ἡ Ἀργολὶς Ἀλκμήνη, καὶ, τῆς εὐχῆς
» τυχοῦσα, τέτοκεν. Ἀνέθορεν ἡ δεσπόζουσα τῶν
» κυοφορουμένων θεὸς, καὶ τὰς ξυμβεβλημένας χεῖ-
» ρας ἐκπλαγεῖσα διέζευξεν· ἐγὼ δὲ, τῶν δεσμῶν
» διαλυθέντων, κουφίζομαι. Λέγεται τοίνυν, τῆς θεᾶς
» ἀπατηθείσης, τὴν Γελανθίδα γελᾶσαι· ἡ δὲ θεὸς
» γελῶσαν τῶν τριχῶν ἀγρίως δραξαμένη κατὰ γῆς
» εἵλκυσε, καὶ τὸ σῶμα βουλομένην ἐκ γῆς ἀναστῆ-
» σαι ἐκώλυσε, καὶ τὰς πρὶν (3) χεῖρας εἰς πόδας
» μετήμειψεν. Ἡ μέντοι πρόσθεν εὐτονία συμμένει,
» καὶ τὰ νῶτα τὴν ἑαυτῶν χροιὰν οὐκ ἀπώλεσεν·
» ἥ γε μὴν μορφὴ τῇ προτέρᾳ διάφορος. Αὕτη
» τοίνυν, ἐπειδὴ ψευδεῖ στόματι ὠδινούσῃ μοι βε-

(1) Malim πάρεισι : Ovidius, *adsunt*. Mox forsan, πρὸς τὸ τά κελ.

(2) Cod. γελανθής : sic ad 446, ἐθελοντὶς pro ἐθελοντής : ad 584, προπετὶς pro προπετής. Ovidius *Galanthis*, et Planudes debuit scribere Γαλανθίς : nam est allusio ad γαλῆν, græcum nomen mustelæ, in quam conversa est famula optima et fato meliore dignissima.

(3) Ad mentem Poetæ scribendum : καὶ τὰς χεῖρας εἰς τοὺς πρώτους πόδας μετ. « inque *pedes* » mutavit brachia *primos* » : Planudes videtur legisse *primum*.

» Βοήθησεν, ἐκ τοῦ σίδηρος τίκτει (1), καὶ πρὸς τοὺς
» ἠμελέσους οἴκους συχνάκις, ὡς καὶ πρόσθεν, φοιτᾷ.»
Εἶπε, καὶ, τῇ ἀναμνήσει τῆς ἀρχαίας θεραπαί-
νης ἐπικλασθεῖσα, ἐσλέναξε· πρὸς ἣν ὀδυνωμένην
οὕτως ἡ νύμφη φθέγγεται· « Ἀλλά σε μὲν, ὦ μῆτερ,
» ἀνιᾷ ἐξ ἀλλοίας γυναικὸς τοῦ ὑμελέσου αἵματος
» ἀφαιρεθεῖσα μορφή· τί δ', εἴ σοι τὴν ἔκλοπον μοῖ-
» σαν τῆς ἐμαυτῆς ἀδελφῆς ἀναγείλαιμι; εἰ καὶ
» τὰ μάλιστα τά τε δάκρυα καὶ ἡ λύπη ἐμποδὼν
» ἵστανται καὶ λέγειν κωλύουσι. Μονογενὴς ἐγένετο
» τῇ μητρὶ (ἐμὲ γὰρ ὁ πατὴρ ἐξ ἑτέρας ἐγέννησε),
» τὸ κάλλος ἐπισημοτάτη τῶν Οἰχαλίδων, Δρυόπη·
» ἣν ἀφαιρεθεῖσαν τὴν παρθενίαν καὶ τοῦ θεοῦ
» βιασθεῖσαν τοῦ Δελφούς τε καὶ Δῆλον καθέχοντος,
» ὁ Ἀνδραίμων ἠγάγετο, καὶ ἐμακαρίζετο τῆς γυναι-
» κὸς εἵνεκεν. Ἔστι δέ τις καλὰ πρανοῦς λίμνη ἐν
» ἐπικλινεῖ λώματι, τόπον ἡϊόνος ἀποπληροῦσα, ἧς
» τὰ περιέσχατα καθεστεφάνωται μύρτοις. Ἐκεῖσε
» τοίνυν ἀφίκετο ἡ Δρυόπη, τὴν μοῖραν ἑαυτῆς ἀγνο-
» οῦσα, ἵνα δὲ καὶ μᾶλλον ἀναξιοπαθοίης, στεφάνους
» ταῖς Νύμφαις οἴσουσα. Ἔφερε δὲ καὶ τοῖς κόλ-
» ποις παῖδα, γλυκὺ φορτίον, μήπω ἐνιαυτόν γε
» δίνυκτα, καὶ θερμῷ τοῦτον ἔτρεφε γάλακτι. Οὐ
» πόρρω δ' ἀπὸ τῆς λίμνης, τὸ Τύειον χρῶμα μι-
» μησαμένη, ἐν εἴδει ἐλαῶν (2) φίλυδρος λωτὸς ἤνθει.
» Ἑδρέψατο τοιγαροῦν ἄνθη ἐντεῦθεν ἡ Δρυόπη, ἃ τῷ

(1) De falsa et ridicula hac Veterum opinione cf. Camus. ad Aristot. Histor. Animal.

(2) Latinis, *in spem baccarum*, græca *ἐν τῇ τῶν καρπῶν ἐπαγγελίᾳ* melius respondebunt. Planudes legit, *in specie*, contra sensum et metrum.

» παιδὶ πρὸς τέρψιν καὶ διάχυσιν ἔδωκε. Τὸ δ' αὐ-
» τὸ κἀγὼ ποιεῖν ἔμελλον (παρῆν γάρ)· ὁρῶ δὲ σια-
» γόνας αἱμαλώδεις ἐκ τῶν ἀνθέων πιπλούσας, καὶ
» τερμεσσὶ φείκῃ κινουμένους τοὺς κλῶνας. Τοῦτο δ'
» ἄρ' ἔσλιν, ὥς φασι γέροντες ἔτι καὶ νῦν ἀγεόται,
» ὡς ἄρα (1) Λωλὸς Νύμφη, μίξιν φεύγουσα τοῦ
» Πειάπου, εἰς τὴν λωτὸν ταύτην τὴν μορφὴν με-
» ταβέβληκε, τηρουμένου δὴ τοῦ ὀνόμαλος.

» Ἠγνόει γε μὴν ἡ ἀδελφὴ τοῦτο. Καίαπλα-
» γεῖσα δὲ, καὶ εἰς τοὐπίσω χωρεῦσα, κἀπειδὴ ταῖς
» Νύμφαις πύξαλο θέλουσα ἀπέναι, τερσισχομέ-
» νους ἔγνω τοὺς πόδας ῥίζαις. Ἀνασπᾷν ἀπομάχε-
» ται, καὶ οὐδ' ὁτιοῦν τῶλὴν τὰ ἀνώταλα μέρη κινεῖ·
» αὐξάνει τε φλοιὸς (2) κάτωθεν, καὶ πᾶσαν καλὰ
» μικρὸν τὴν γαστέρα περιλαμβάνει. Ὡς δ' εἶδεν,
» ἐπεχείρησε ταῖς χερσὶ διασπαράττειν τὴν κόμην,
» φύλλων δὲ ταύτας ἐπλήρωσε· φύλλα καὶ γὰρ πᾶ-
» σαν τὴν κεφαλὴν ἔσκεπον. Ὁ δὲ παῖς Ἀμφισος
» (ταῦτο καὶ γὰρ αὐτῷ τοὔνομα ὁ πάππος Εὐρυ-
» τος (3) ἔθηκεν), ἡσθεὶς τῆς μηρφάς σκληρυνομένης
» θηλῆς, οὐδέ οἱ ἐκμυζῶντι (4) ὁ γαλακτώδης χυμὸς

(1) Vix putem hæc sic a Planude scripta fuisse : adeo scabra est oratio. Invenit *Lotos*, non *Lotis*.

(2) Cod. φλοιοῖς, frequenti finalium syllabarum corruptione: sic ad 233, cod. κελεύεις : ad 360, ἀδελφὲ pro ἀδελφή : ad 570, ὀλισθήσας pro ὀλισθῆσαι : ad 591, ἔπλησε pro ἔπλησα : ad 699, σαυτὴν pro σαυτῇ.

(3) Puto Veteres dixisse ἔθηλο, media potius voce quam activa hac in re usos. Plato Theag. 3, καλόν γε τῷ υἱεῖ τὸ ὄνομα ἔθου. Demosth. in Bœotum de dote t. IV, pag. 119, T: ἀπὸ τοῦ ὀνόμαλος οὗ ἔθηλο ὁ πατὴρ αὐτῷ. Idem in Macart. t. IV, pag. 180, τὰ ὀνόμαλα ἐθήμην πύσπις.

(4) Invenit *sugentem*, non *ducentem*. Illa lectio hujus videtur esse glossema. Græci dicunt hoc sensu ἕλκειν, quod illustravi

» εἰπέλο. Αὐτὴ δὲ παρῆν θεωμένη τὴν ἀπηνῆ μοῖραν,
» καί σοι βοήθειαν συνεισενεγκεῖν οὐδαμῶς, ἀδελφή,
» εἶχον· πλὴν, ὅσον ἴσχυον τό τε αὐξανόμενον σὺν-
» λεχος καὶ τοὺς κλάδους περιλαβοῦσα, διέτεινον
» ταῖς περιπλοκαῖς, καὶ ἤθελον, ὁμολογῶ, ὑπὸ τὸν
» αὐτὸν κρυβῆναι φλοιόν. Ἰδοῦ δ' ὅ, τε ἀνὴρ Ἀν-
» δραίμων καὶ ὁ ταλαίπωρος πατὴρ πάρεισι, καὶ ζη-
» τοῦσι πού ἂν εἴη Δρυόπη· ζητοῦσι δ' ἐκείνοις τὴν
» λωτὸν ἔδειξα. Οἱ δὲ τῷ χλιαρῷ ξύλῳ φιλήμαλά
» τε δίδασι, καὶ, περιχυθέντες, ταῖς ῥίζαις τοῦ
» οἰκείου δένδρου προσίσχονται. Σὺ δ' οὐδὲν, ἀδελ-
» φὴ φιλτάτη, εἶχες ἤδη, πλὴν τὴν ὄψιν, ὃ μὴ δέν-
» δρον ἐγένετο· δάκρυα δ' ἐκ τῶν ἐλαιῶν ὀφθαλ-
» μῶν τοῖς ἄρτι γεγενημένοις ἐπιῤῥαίνονται φύλλοις.
» Καὶ δὴ, μέχρις οὗ ἔξεστι καὶ τὸ στόμα πάροθεν
» τῇ φωνῇ δίδωσι, τοιούτους εἰς ἀέρα θρήνους ἐξέ-
» χεεν· Εἴ τις πίστις τοῖς ἀθλίοις, ταύτης με τῆς
» συμφορᾶς καλὰ τῶν θεῶν ὄμνυμι μήποτ' ἂν ἀξίαν
» γενέσθαι· καὶ τὴν τιμωρίαν ἐκτὸς ἁμαρτήματος
» ὑφίσταμαι· ἀγνῶς γὰρ ἐζήσαμεν. Εἰ δὲ ψεύδομαι,
» ἀποβάλοιμι ξηρανθεῖσα καὶ ἃ νῦν ἔχω φύλλα, καὶ
» καυθείην ὑπ' ἀξίνης κοπεῖσα. Τοῦτο δ' ὅμως τὸ
» βρέφος τῶν μητρικῶν κλάδων ἀφέλεσθε, τροφῷ
» τε παράδοτε, καὶ ὑπὸ τοὐμὸν τοῦτο δένδρον γά-
» λα πολλάκις πίνειν ποιήσατε, καὶ ὑπὸ τοῦτο τὸ
» δένδρον παίζειν, κἀπειδὰν οἷόν τ' ἦν ψελλίζειν,
» τὴν μητέρα προσαγορεύειν ποιήσατε, κἂν τούτῳ

ad Eunapii Vitas Sophistarum pag. 293, et ad Nicetam Eugenianum p. 236. Athenæus Deipnos. I, cap. 17: χανδὸν ἔλκοντα αὐτὸν (τὸν οἶνον). Poteris ergo rescribere, οὐδὲ οἱ ἔλκοντα.

» τῷ σελέχει λέγειν ἡ ταλαίπωρος (1) ἐμὴ κέκρυ-
» πται μήτηρ. Φοβείσθω μέντοι τὰς λίμνας, μηδ'
» ἐκ δένδρων ἄνθη δρεπέσθω, καὶ πάντα φυλὰ θεῶν
» εἶναι σώματα νομιζέτω. Καὶ χαῖρε, φίλε ἄνερ,
» καὶ σὺ δ', ἀδελφὴ, καὶ σὺ, πάτερ· οἵπερ, εἴ τις
» ἐστὶν οἶκος, ἐκ πληγῆς δρεπάνου καὶ δήγματος
» θρεμμάτων τοὺς ἐμοὺς κλάδους φυλάξατε. Κά-
» πειδήπερ ἐμὲ τοῖς ὑμῶν ἐπιπεσεῖν τραχήλοις οὐκ
» ἔξεστιν, ὑμεῖς ὑμᾶς αὐτοὺς δεῦρο ἐρείσατε, καὶ
» πρὸς ἡμέτερα δεῦρο φιλήματα προσέλθετε (2),
» μέχρις οὗ ψαύεσθαι οἷά τ' εἰμί· καὶ τὸν νήπιον
» υἱὸν ἄρασθε. Πλείω γὰρ λέγειν οὐκέτ' ἔχω. Καὶ
» γὰρ ἤδη μαλακὸς διὰ τοῦ λευκοῦ μοι τραχή-
» λου φλοιὸς ἕρπει, καὶ ἐπ' ἄκρων κορυφὴν κρύπτο-
» μαι. Ἐξ ὀφθαλμῶν δέ μοι τὰς χεῖρας ἀποσπή-
» σατε. Ἰδοὺ γὰρ, ὑμῶν μηδὲν βοηθεῖν (3) δυναμένων,
» τοὺς ὀφθαλμοὺς θνήσκοντας φλοιὸς ἐπεννεφέ-
» νος καλύπτει. Ἐπαύσατο τὸ στόμα ὁμοῦ τε τοῦ
» φθέγγεσθαι καὶ τοῦ εἶναι, τοῦ σώματος δέ γε με-
» ταβληθέντος ἐπὶ μακρὸν οἱ πρόσφατοι κλάδοι τὴν
» θερμότητα συνείχοσαν.»

Ἐν ὅσῳ δὲ τὸ τραγούργημα τοῦτο διέξεισιν ἡ Ἰόλη, καὶ ἡ Ἀλκμήνη τὰ τῆς Εὐρυλίδος ἀπομόργνυσι τῷ λιχανῷ δάκρυα (καίτοι καὶ αὐτὴ δακρύει), πρᾶγμά τι καινὸν πᾶσαν τὴν ἀνίαν ἀνέστειλε. Καὶ γὰρ

(1) Ovidianum *tristis* ad puerum fuit referendum. Repone : κἂν τούτῳ τῷ σελέχει δεδακρυμένον λέγειν ἡ ἐμὴ κέκρ.—

(2) Abest προσιλ. a codice ; quo verbo addito latinum *venite* jam versione sua non carebit.

(3) Latina, *sine munere vestro*, non intellexit. Debuit scribere, ἄνευ (vel ἐκπὸς, quod ipsi placet) ὑμετέρας βοηθείας, ἄνευ ὑμῶν, ἄνευ τῆς ὑμετέρας λειτουργίας, aut

ἐφίσταται τῷ οὐδῷ παντάπασι παῖς ὁ Ἰόλαος, ἀπίστοις ἰούλοις (1) τὰς γνάθους σκιαζόμενος, καὶ τὴν ὄψιν εἰς τοὺς πρεσβέρους ἀναμορφωμένος ἐνιαυσίους. Τοῦτο δ' αὐτῷ τὸ δῶρον ἡ τῆς Ἥρας ἔδωκεν Ἥβη καὶ τοῦ οἰκείου ἀνδρὸς ἀξιώσεως ἀτιμηθεῖσα· ἧς ἐν παρασκευαῖς οὔσης ὁμόσαι μηδέποτε μηδενὶ, μετὰ τοῦτον, τοιόνδε τι παρέξειν δῶρον, οὐκ ἤνεγκεν ἡ Θέμις. « Καὶ γὰρ ἤδη » φησὶν « αἱ Θῆβαι ἀξύμβολον » κινοῦσι πόλεμον. Καπανεὺς γὰρ ἔχει ἴσχια πεφυ- » κὼς ὅτι μὴ πρὸς τοῦ Διὸς νικηθῆναι, καὶ ἀδελφοὶ » δύο γενήσονται καὶ ταῖς πληγαῖς ἀδελφοί (2)· καὶ » μάντις, τῆς γῆς αὐτῷ διασπάσης, ἐν ᾅδῃ ζῶν ἔτι » τὴν ἑαυτοῦ ψυχὴν ὄψεται· καὶ τούτου παῖς, τῷ » γεννησαμένῳ τιμωρήσας τῷ τιμωρήσασθαι τὴν » γεννησαμένην, τῷ αὐτῷ ἔργῳ καὶ ὅσιος ἔσται δὴ καὶ » ἀνόσιος· ἐμβροντηθεὶς δὲ τοῖς κακοῖς, καὶ τῶν τε » φρενῶν ὑπερθεσθεὶς ἅμα καὶ τῆς οἰκίας (3), τῇ » τῶν Εὐμενίδων ὄψει καὶ τῷ τῆς μητρὸς εἰδώλῳ » περιελαθήσεται, μέχρις ἂν αὐτὸν ἡ γυνὴ τὸν θα- » νάσιμον ὅρμον αἰτήσῃ, καὶ τὰ συγγενῆ πλευρὰ » τὸ τοῦ Φηγέως ξίφος κενώσῃ. Τότε δὴ τέλος (4) ἐκ » μεγάλου Διὸς ἡ Ἀχελωΐς αἰτήσεται Καλλιρόη τοῖς » γεννηθεῖσιν αὐτῇ βρέφεσιν ἔτη πρεσθεῖναι, ὡς ἂν » μὴ τὸν τοῦ τιμωροῦ θάνατον ἀτιμώρητον εἶναι

aliud simile quid. Mox Planudes legit *contegit*, non *contegat*.

(1) Ovidius: « *Pœne puer, du-* » *biaque tegens lanugine malas.* » Nec hic cepit latina recte. Ad sensum mentemque Poetæ propono : σχεδὸν π παῖς, καὶ ἀμφιβόλοις τὰς γνάθους ἰούλοις μόλις σκιαζόμενος. De voce ἴουλος, vide, si tamen tanti esse putas, notas ad Nicet. p. 138, ad Aristæn. p. 394.

(2) Vertit quod invenit, « *fient-* » *que pares in vulnere fratres.* »

(3) Cf. notata supra pag. 145, sqq. et modo p. 390.

(4) Codex, πότε δὴ τέλος τό.

» ἐάσῃ (1)· ὁ δὲ Ζεὺς τούτοις ἐπικαμφθεὶς τὰ τῆς » πρηγόνης καὶ νύμφης δῶρα δοθῆναι κελεύσει τού- » τοις, καὶ πρὸς τὸν ἔφηβον καλαισήσει δὴ χρόνον. »

Ταῦτα χρησμολόγῳ σὶόμαλι τῆς τοῦ μέλλοντος πρεμάντεως εἰρηκυίας Θέμιδος, ποικίλοις οἱ θεοὶ λόγοις διεθορύβουν, καὶ γογγυσμὸς ἦν τί δή ποτε μὴ καὶ ἄλλοις ἔξεσται ταῦτα δίδοσθαι τὰ δῶρα. Νεμεσᾷ μὲν γὰρ ἡ Παλλαντιὰς Ἠὼς ἐπὶ τοῖς πρεσβεπόσι τοῦ οἰκείου ἀνδρὸς ἔτεσι· νεμεσᾷ δ' ἡ ξανθὴ Δήμητρα (2) πολιώθεντος τοῦ ἐπιεικοῦς Αἴσονος (3)· ζηλεῖ δὲ καὶ Ἥφαιστος ἀνανεωθῆναι τῷ Ἐρεχθονίῳ τὸν χρόνον· ἄπληστα καὶ τῆς Ἀφροδίτης καὶ φρουτὶς τοῦ μέλλοντος, καὶ τοὺς Ἀγχίσου ἐνιαυλοὺς ἀνακαινίζειν ὁρμᾷ· καὶ πᾶς ὁστισοῦν θεὸς ἔχει οὗ ἂν ἐπιμέλοιτο. Καὶ τῇ πρὸς

(1) Vertit Planudes versum quem immerito ab Heinsio ejectum desiderat doctissimus Editor noster: « Addat, neve necem » sinat esse ultoris inultam. » Codex, μή πως, quod mutavi.

(2) Notandus nominativus Δήμητρα : cf. notam pag. 137, et Dobræanam ad Plutum Appendicem ν. 64. Infra ad ν. 450, cod. exhibet nominativum Δηγάπρα, quod retinere nolui, quum toties alibi vulgari eaque meliore forma Δηγάτηρ Noster fuerit usus.

(3) Invenit suo in libro lectionem et ex aliis codd. notam, « queritur canescere mitem Ja- » sona flava Ceres. » Placet mihi quidem lectione recepta multo magis: « queritur canescere mi- » tis » (seu flava) « Iasiona Ce- » res. » Nam Cereris amasio *Iasioni*, non *Iasoni*, nomen fuit. Homerus Od. E, 125 : Ὡς δ' ὁπότ' Ἰασίωνι ἐϋπλόκαμος Δημήτηρ, Ὧ θυμῷ εἴξασα, μίγη φιλότητι καὶ εὐνῇ. Theocriteus Comastes : Ζαλωτὸς μὲν ἐμὶν ὁ τὸν ἄτροπον ὕπνον ἰαύων Ἐνδυμίων; ζαλῶ δὲ, φίλα γύναι, Ἰασίωνα : quos heroas et Ovidius junxit Tr. II, 300 : « in Luna » Latmius heros, *In Cerere Iasion* » qui referatur erit. » Alia omitto. Quum esset Iason multo quam Iasion potior, antiquarii eorum nomina sæpissime variaverunt. In Theocriti loco, codex ap. Reiskium, habet Ἰάσωνα : et latina exempla hujusce variationis præbet Muncker. ad Hygin. p. 359. E poetis certior in his nominibus scriptura petenda est, quippe quum metri leges quid et quo modo legendum sit aperte monstrent.

ἐκείνους εὐνοίᾳ ταραχώδης αὐξάνεται στάσις, μέχρις ὁ Ζεὺς τὸ ἑαυτοῦ ἔλυσε στόμα, καὶ « Ὦ ἡμέτεροι » φησὶ, « εἴ τίς ἐστιν αἰδὼς (1), ποῖ φέρεσθε (2); Μή τι » τοσοῦτον ἑαυτῷ τις δοκεῖ δύνασθαι, ὡς καὶ τῶν » Μοιρῶν περιγίνεσθαι; Ὑπὸ τῶν Μοιρῶν Ἰόλαος τοὺς » ἐνιαυτοὺς, οὓς παρήμειψεν, αὖθις ἤμειψεν· ὑπὸ τῶν » Μοιρῶν ἀνηβῆσαι (3) καὶ τὰ τῆς Καλλιρόης ὀφείλει » τέκνα, ἀλλ' οὐ πλούτου φαντασίᾳ (4) οὐδ' ὅπλοις. » Καὶ ὑμεῖς δ' ἂν ἀμείνονι ταῦτα ψυχῇ φέροιτε· » καὶ γὰρ κἀμὲ διοικοῦσιν αἱ Μοῖραι, ἃς εἰ μεταβα- » λεῖν ἠδυνάμην, οὔτ' ἂν τὸν ἐμὸν Αἰακὸν ἔκαμψαν » προβεβηκότες ἐνιαυτοὶ, καὶ διηνεκὲς τῆς νεότητος » ἄνθος ὁ Ῥαδάμανθυς εἶχεν, ἅμα τῷ ἐμῷ Μίνωϊ, » ὃς, διά γε τὸ πικρὸν τοῦ γήρως βάρος, περιφρο- » νεῖται, καὶ ἥκιστα νῦν τῇ προτέρᾳ τάξει τῆς ἀρχῆς » ἔχεται. » Ἔκαμψε τοίνυν τὰ τοῦ Διὸς ῥήματα τοὺς θεοὺς, καὶ οὐκ ἔστιν ὅστις τούτων ἀγανακτῆσαι τολμᾷ, βλέποντες ἀπειρηκότας τῷ χρόνῳ Ῥαδάμανθυν, Αἰακόν τε καὶ Μίνωνα (5), ὃς, ἡνίκα (6) τελειοτέρας ἥπτετο

(1) Ovidius: *ô, nostri* si qua est reverentia. » Cespitat rursus bonus Planudes. Repone : Ὦ, εἴ τις ἡμῶν, vel ἡμετέρα, ἐστὶν αἰδώς.

(2) Statim lector verborum illorum notissimorum e Platonico Clitophonte meminit : ὑμεῖς Ποῖ φέρεσθε, ἄνθρωποι; Themistius Orat. XXVI, pag. 320 D: ἀνειπεῖν ὥσπερ θεὸν ἐκ τραγικῆς μηχανῆς· « Ποῖ » φέρεσθε, ὦ ἄνθρωποι, καὶ ἀγνοεῖτε » οὐδὲν τῶν δ.— » ad quæ quum commentarentur doctissimi homines Petavius et Harduinus, mirum est eos verum fontem non vidisse. Nec non hæc respiciebat Crates in Plutarcheo libello de Educ. c. 7, ubi veterum interpretum silentium quoque demiror; sed non tacuit Wyttenbach. et plena manu lucem affudit.

(3) Cod. ἀνηβῆναι : conferatur pag. 284.

(4) *Ambitione* aptius verteretur, φιλοτιμίᾳ.

(5) Melius fuerit Μίνω.

(6) Legitur in codice ἡλίκα.

ἡλικίας, ἔθνη καὶ μόνῳ τῷ ὀνόματι μεγάλα ἐξεδειμάτου. Τότε δ' ἦν ἀνίσχυος· καὶ δὴ τὸν Δηϊονίδην Μίλητον, τῇ τε (1) τῆς νεότητος ῥώμῃ καὶ τῷ Φοίβῳ παλαὶ ἐπαιρόμενον, ὑπερέδεισε, καὶ ὑποπλεύων αὐτὸν τῇ βασιλείᾳ ἐπαναστήσεσθαι, ὅμως οὐκ ἐτόλμησεν αὐτὸν καθεῖρξαι (2) τοῖς πατρῴοις οἰκήμασιν. Ἐθελοντὴς δὲ φεύγεις, ὦ Μίλητε, καὶ ταχείᾳ νηΐ τὸ Αἰγαῖον ἐκμέτρεῖς ὕδωρ, καὶ τῇ Ἀσιάδι γῇ πόλιν καθίστης, τὸ τοῦ οἰκιστοῦ φέρουσαν ὄνομα. Ἐνταῦθα δέ σοι, ταῖς πατρῴαις καμπαῖς ἐπὶ τῆς ὄχθης ἑπομένη, ἡ τοσαυτάκις εἰς ταυτὸ ἐπαναστρέφοντος Μαιάνδρου θυγάτηρ ἔγνωσται Κυανῇ, κάλλους ὑπερέχοντος Νύμφη. Καὶ δή σοι τὴν Βυβλίδα σὺν τῷ Καύνῳ δίδυμην γενὴν ἔτεκε. Βυβλὶς μὲν οὖν εἰς παράδειγμα κεῖται τοῦ τῶν συγκεχωρημένων τὰς παρθένους ἐρᾷν. Αὕτη γὰρ, τῷ ἔρωτι συναρπασθεῖσα τοῦ ἀδελφοῦ, οὐχ ὡς ἀδελφὸν ἀδελφή, οὐδ' ὡς χρεὼν ἦν, ἠγάπα. Τὸ μὲν οὖν πρῶτον οὐκ ἐνόει τὸν ἔρωτα, οὐδ' ἁμαρτάνειν ὤετο, ὅτι συχνὰ τούτῳ συνάπτει φιλήματα, ὅτι ταῖς χερσὶ τὸν ἀδελφοῦ τράχηλον περιβάλλει, καὶ ψευδομένη σοργῆς ἐπὶ μακρὸν ἀπατᾶται σκιᾷ· καὶ μικρὸν δὲ κατεισιν εἰς τὸν ἔρωτα (3), ἐρχείᾳ τε τὸν ἀδελφὸν ὀφομένη οὐκ ἄνευ τοῦ καλλωπίσασθαι (4), καὶ

(1) Codex τήν τε male exhibet.

(2) Imo, τῶν πατρῴων ἐκβάλλειν οἰκημάτων: lat. *arcere*.

(3) Ovidius: « Paulatim declinat amor. » Planudes intellexit bene, « declinat in amorem. » Locutio latina non est valde perspicua. Translatio facta fuit ab examine libræ; amor jam major, jam gravior, lancem prægravat et impellit; igitur amor declinat, vergit deorsum, seu lancium illa cui amor impositus est.

(4) Aristænet. 1, 27: καὶ τοῦτό γε τοῦ ἔρωτος ἴδιον, καὶ μάλα μέντοι καλόν, τὸ σφόδρα πείθειν τοὺς ἐρῶντας ἐπιμελῶς ἄγαν διακοσμεῖσθαι, καὶ εἰ φοβερὸν ἀπηχῶς ἑαυτῶν

ἐκτόπως σπεύδει περικαλλὴς φαίνεσθαι, καὶ, εἴ τίς ποτε ἐκεῖ περικαλλεστέρα, ταύτῃ φθονεῖ. Ἀλλ' οὔπωγε αὐτὴν φανεροῖ (1), οὐδέ τι νεῦμα τῷ πυρὶ συμβαῖνον ἐκείνῳ δείκνυσι (2) · πλὴν ἐντὸς πίμπραται, καὶ ἤδη δεσπότην (3) τὸν ἀδελφὸν ὀνομάζει, ἤδη τοὔνομα τῆς συγγενείας μισεῖ, ἤδη Βυβλίδα μᾶλλον αὐτὴν ὑπ' ἐκείνου καλεῖσθαι ἢ ἀδελφὴν ἐθέλει. Γρηγοροῦσα μὲν τοίνυν τὰς ἀσέμνους αὐτῆς ἐλπίδας ἀφεῖναι φέρεσθαι κατὰ νοῦν οὐκ ἐτόλμα · μαλακῷ δ' ὕπνῳ ἐκλελυμένη πολλάκις ὁρᾷ (4) τὸ ἐρώμενον, καὶ, τῷ ἀδελφῷ δοκοῦσα συνάπτεσθαι, ἠρυθρίασε, καὶ ταῦτα κατηνηνεγμένη πρὸς ὕπνον. Ἀπῆλθε τοίνυν ὁ ὕπνος · ἡ δ' ἐπιπολὺ σιωπᾷ, καὶ τὴν ἐν ὕπνοις ὄψιν ἀναπολεῖ, καὶ, ταλαντευομένη τὴν γνώμην, οὑτωσί φησιν · « Οἴ » μοι τῇ δυστήνῳ! Τί ποτε βούλεται τῆς ἡσύχου » ταύτης νυκτὸς ἡ ὄψις, ἣν οὐκ ἂν ἐθέλοιμι βεβαίαν » ὑπάρχειν; Τί ποτ' ἐγὼ ταῦτα τεθέαμαι τὰ ἐνύπνια; » Ἐκεῖνος μὲν εὐπρόσωπός ἐστιν, εἰ καὶ ὀφθαλμοῖς » ἀδίκοις ἐστὶ τοιοῦτος (5) καὶ ἀρέσκει, καὶ οἵα τ' ἦν, » εἴ γε μὴ ἀδελφὸς ὑπῆρχεν, ἐρᾷν ἂν αὐτοῦ · καὶ γὰρ

κατημέλουν : ubi cf. quæ notavi pag. 587.

(1) Latina, « Sed nondum ma» nifesta sibi est », male cepit. Repone, ἀλλ' οὔπωγε αὐτὴ φανερά ἐστιν ἑαυτῇ, vel simile quid.

(2) Nec hic latina, « nullum» que sub illo Igne facit votum », apte versa videntur. Sensus est: καὶ οὐδὲν ἐκείνῳ τῷ πυρὶ καιομένη ποθεῖν τολμᾷ. Similis hoc quidem respectu incesta Byblis candidissimo fuit Olindo, qui « Bra» ma assai, poco spera, e nulla » chiede. »

(3) *Dominus* et δεσπότης fuerunt inter amantium blanditias. Aristænetus, I, 24, ὦ ἐμὸν δεσποτίδιον : ubi vide not. p. 581.

(4) Cod. ἐρᾷ : hæc permutatio illustrata est ad Nicet. Eugen. pag. 83.

(5) « Est oculis quamvis formosus iniquis » in contextu legitur Ovidii, hoc sensu nempe a quo Planudes recessit : εὐπρό-

» ἦν ἂν ἄξιος ἐμοῦ· νῦν δ' ἐμποδὼν ἵσταται τὸ ἀδελ-
» φὴν εἶναί με. Ἀλλ' ἐπεὶ τοιοῦτον οὐδὲν γρηγορεῦσα
» τολμῆς ἐπιβάλλομαι, ἀλλά γε πολλάκις ἔξεστιν
» ὄψει τοιαύτῃ τὸν ὕπνον ἐπανιέναι. Καὶ δὴ καὶ μάρ-
» τυς ἄπεστι πᾶς ἐκ τοῦ ὕπνου, καὶ οὐκ ἄπεστιν ἡ
» τῆς ἡδονῆς φαντασία. Ἰὼ, Κύπρις, καὶ σὺν τῇ
» τρυφερᾷ μητρὶ πλησὲ Ἔρως, πόσην ἡδονὴν ἤνεγκα!
» πόσον μου φανερῶς ἡ τέρψις ἥψατο κοιμωμένης,
» ἐπὶ μυελόν μοι πάντα σχεδιασθεῖσα! ὡς καὶ τὸ
» μνημονεύειν αὐτῆς τερπνὸν εἶναι (1), εἰ καὶ τὰ μά-
» λιστα βεβαχεῖα ἡ ἡδονὴ ἐκείνη καὶ ἡ νὺξ ταχινὴ
» γέγονε (2) καὶ φθονήσασά μοι τῶν ὑπηργμένων! Ὡς
» εὐδαίμων ἐγὼ, εἴπερ ἐξῆν ἀμείψασαν τὸ τῆς
» ἀδελφῆς ὄνομα πρὸς τὴν σὴν ἐλθεῖν συζυγίαν!
» Πόσον εὖ ἠδυνάμην, Καῦνε, τῷ σῷ παλαὶ νύμφη
» γενέσθαι! πόσον εὖ ἠδύνω τῷ ἐμῷ παλαὶ γενέσθαι
» γαμβρός! Πάντ' ἐποίησαν ἂν οἱ θεοὶ, εἴπερ ἐν
» μόνοις τοῖς πάπποις ἦν ἡμῖν κοινωνία (3). Ηὐξάμην
» δ' ἂν σε καὶ εὐγενέστερον γεγονέναι μου. Νῦν δ'
» οὐκ οἶδα, κάλλιστε, τίνα μηλέαν ποιήσεις· ἐμοὶ
» δὲ τῇ καλῶς τοῖς αὐτοῖς χρησαμένῃ παλαίσιν,
» οἷς δὴ καὶ αὐτὸς, οὐδὲν ὅτι μὴ ἀδελφὸς ἔσῃ, καὶ
» ὅπερ ἡμῖν πρόσταλλαι, τοῦθ' ἕξομεν μόνον. Τί

ὕπνος ὀφθαλμοῖς κἂν ἀδίκοις, κἂν φθονεροῖς, ἐστίν. Mox, pro ἀλλ' ἐπεί, sententia melius processura videtur, si scripsisset ἀλλ' εἰ.

(1) Ovidius, « Ut meminisse *juvat* »! Videtur Planudes legisse *juvet*, sententiis continuatis, ni voluerit scribere πρατόν ἐστι et ipsi volenti non paruerit vel calamus vel negligens antiquarius.

(2) Frequens amantium querela. Aristænetus I, 10, οὔπω ἡμέραν ἐκείνης ἐνόμισε μακροτέραν ἑωρακέναι, οὔπω νύκτα βραχυτέραν τῆς νυκτὸς ἐκείνης: ubi vide notas.

(3) Ad sensum scribere debuit: εἴπερ πάντα ποιήσειαν οἱ θεοὶ ἡμῖν κοινὰ, πλὴν πάππων!

» μοι τοίνυν οἱ ἡμέτεροι προσημαίνουσιν ὄνειροι; Τί
» δὲ τοῖς ἐνυπνίοις ἀληθὲς προσέσται (1); Ἀλλὰ γὰρ
» οἱ θεοὶ ταῦτα κρεῖττον διαλιθέασιν (2). Καὶ γὰρ οὗ-
» τοι τὰς ἑαυτῶν ἀδελφὰς ἔσχον. Οὕτως ὁ Κρόνος
» τὴν Ῥέαν συνημμένην αὐτῷ καλὰ γένος ἠγάγετο,
» Ὠκεανὸς τὴν Τηθύν, τὴν δ' Ἥραν ὁ τοῦ οὐρανοῦ
» ἐπισπάτης. Ἀλλ' ἔστιν ἴδια νόμιμα τοῖς θεοῖς· τί
» δ' ἐγὼ τὰ τῶν ἀνθρώπων ἔθη πρὸς τοὺς οὐρανίους
» καὶ διαφέροντας θεσμοὺς (3) ἐξάγειν πειρῶμαι;
» Ἡ τοίνυν τῆς ἐμῆς ψυχῆς ὁ ἀπηγρευμένος ἔρως
» φυγαδευθήσεται, ἢ, εἰ τοῦτο μὴ δύναμαι, ἀπο-
» λοίμην, ἱκετεύω, καὶ προσθείην ἐπὶ κλίνης νεκρὰ,
» καὶ προσθείσῃ ὁ ἀδελφὸς φιλήματα δοίη. Ἀλλ'
» ὅμως τοῦτό τὸ πρᾶγμα τὴν ἐξ ἀμφοῖν ζητεῖ συγ-
» κατάθεσιν. Ὑπόθου γὰρ ἀρέσκειν μὲν ἐμοὶ, τῷ δ'
» ἀδελφῷ δοκεῖν ἄθεσμον. Ἀλλ' οὐχὶ καὶ οἱ Αἰολίδαι
» τοὺς (4) θαλάμους τῶν ἀδελφῶν ἔδεισαν. Ἀλλὰ
» πόθεν καὶ τούτους ἔγνων; Καὶ τί δήποτε ταῦτα
» τὰ παραδείγματα προὐθηκα; Ποῖ φέρομαι; Πόρρω
» ἐντεῦθεν ἄσεμνοι φλόγες ὑποχωρήσατε· οὐδὲ γὰρ
» φιληθήσεταί μοι τῇ ἀδελφῇ ὁ ἀδελφὸς, ὅτι μὴ
» ὅσον ἔστιν ἔνθεσμον. Εἰ δ' ὅμως αὐτὸς ἑάλω τῷ
» ἡμελέρῳ προτέρως ἔρωτι, τάχ' ἂν εἶχον τῇ ἐκείνου
» λύσῃ χαρίσασθαι. Τοιγαροῦν ἐγὼ, ἥτις οὐκ ἂν
» ὑπ' αὐτοῦ πεισθείην, τὸν μελελθόντα ἂν αὐτὸ με-

(1) Adde, quod latina suppeditant: ἆρ' ἀληθές τι τοῖς ἐνυπνίοις προσέσται; Vocabulorum paritas lacunam peperit.

(2) Formulam *Di melius!* non apte reddidit: nam est optandi et precandi. Debuit scribere, διαλιθεῖτον.

(3) Cod. θεοὺς, quod mutavi, ut latinum *jura* proprie verteretur. Permutatio notanda est.

(4) Codex vitiose exhibet τῶν.

» τελεύσομαι (1); Δυνήσῃ δ' ἄρα λαλῆσαι (2); βιάζε-
» ται (3) ὁ ἔρως· δυνήσομαι· εἰ δὲ καὶ αἰσχύνη τὸ στόμα
» καθέξει, γράμματα ἐν ἀπορρήτοις τὸ κεκρυμμένον
» δηλώσει πῦρ. » Τοῦτο δὴ οὖν ἀρέσκει· αὕτη ἡ ψῆφος
τὴν ἀμφιρρεπῆ νικᾷ γνώμην. Ἀνορθοῦται τοίνυν ἐπὶ
πλεύραν, κἀπὶ τοῦ λαιοῦ ἀγκῶνος ἐρειδομένη,
« Ὄψεται » εἶπεν « ὁ ἀδελφός· τοὺς ἀκαθέκτους
» ὁμολογήσωμεν ἔρωτας. Οἴ μοι! ποῖ ποτὲ κατασύ-
» ρομαι; ποῖόν τι τοῦτο πῦρ ἡ ἐμὴ διάνοια δέδεκται »;
Καὶ μελετηθέντα ῥήματα τρεμούσῃ χειρὶ συντίθησιν.
Ἡ μὲν οὖν δεξιὰ τὸ σιδήριον, ἡ δὲ λοιπὴ κενὸν τὸν
ἐπὶ τῆς πυξίδος (4) κηρὸν κατέχει. Ἄρχεται δὴ, καὶ
διστάζει· γράφει καὶ κολάζει τὸ πυξίον· καὶ σημειοῦ-
ται καὶ ἐξαλείφει, μεταβάλλει καὶ ἀποδοκιμάζει, καὶ
ἐπαινεῖ· καὶ παραλλὰξ τὸ πυξίον ἀναληφθὲν ἀποτί-
θεται, καὶ αὖθις ἀποτεθὲν ἀναλαμβάνει. Καὶ τί ποτε
βούλοιτ' ἂν ἀγνοεῖ· καὶ ὅτιπερ ἂν δοκῇ ποιήσειν
οὐκ ἀρεστὸν φαίνεται. Ἐπὶ δὲ τοῦ προσώπου τόλμη
συγκέκραται τῇ αἰδοῖ· Καὶ ἔγραψε μὲν « ἀδελφὴ »,
ἔδοξε δὲ πάλιν τὴν ἀδελφὴν ἐξαλεῖψαι, καὶ ῥήματα
τοίαδε ξύουσαν τὸν κηρὸν ἐγχάραξαι· « Ὃ χαίρειν,
» εἰ μὴ σὺ δοίης, οὐκ ἂν ἔγωγε σχοίην, τοῦτό σοι
» πέμπω (5) ἐρῶσα, ἣ αἰσχύνομαι, φεῦ! αἰσχύνομαι

(1) Latine: « Ergo ego, quæ » fueram non rejectura peten- » tem, Ipsa petam? » Vertendum fuit: τοιγ. ἐγὼ ἥτις οὐκ ἂν αὐτὸν μετελθόντα περιεῖδον, αὐτὴ μετελεύσομαι;

(2) Ovidius plenius: « poteris- » ne loqui? poterisne fateri? » Græca qui suppleantur, adde ad mentem latinorum: δυνήσῃ δ' ἄρα ὁμολογῆσαι;

(3) Legebat igitur *cogit*, non *coget*; illudque placet.

(4) Cod. πηξίδος: sic ad 435, Ῥαδάμανθης: ad 784, κλυδόνος pro κληδόνος.

(5) Ludit in voce *salus* Ovidius, ut Interpres in voce χαίρειν,

» τοὔνομα ἐκφῆναι. Ἀλλ', εἰ ζητοίης τίνος ἐφίεμαι,
» ἤθελον δίχα τοὐμαυτῆς ὀνόματος τὴν ἐμαυτῆς
» δίκην δύνασθαι διαιτηθῆναι, μηδὲ πρότερον ἡ Βου-
» βλὶς ἐγνώσθην, πρὶν τὰς ἐμὰς εὐχὰς κυρωθῆναι.
» Εἶναι μὲν γάρ σοι τῆς τέρψεως ψυχῆς ἡδύματος
» μηνυτὴς καὶ τὸ χρῶμα, καὶ ἡ τηκεδὼν, καὶ τὸ
» πρόσωπον, καὶ τὰ κάθυγρα διηνεκῶς βλέφαρα,
» καὶ οἱ ἐξ ἀδήλου αἰτίας κινούμενοι στεναγμοὶ, καὶ
» αἱ συνεχεῖς περιπλοκὴ, καὶ τὰ φιλήματα, ἅπερ,
» εἴ γ' ἴσως ἐσημειώθη, ἡδύματος φωραθῆναι μηδ'
» ὁτιοῦν ἀδελφικὴ πεφυκότα. Ἐγὼ δ' ὅμως, εἰ
» καὶ τὰ μάλιστα βαρὺ τραῦμα τῆς ψυχῆς ἔφε-
» ρον, καὶ ἐντὸς ἡ διάπυρος λύσσα, πάντα πεποίη-
» κα (μάρτυρες οἱ θεοὶ) ὡς ἂν σωφρονεστέρα γενοί-
» μην· καὶ ἐμαχεσάμην ἡ κακοδαίμων (1) μέχρις
» πολλοῦ τὰ βιαζόμενά με τοῦ Ἔρωτος ὅπλα δια-
» φυγεῖν· καὶ, πλέον ἢ κόρην οἰηθείης ἂν ἐνεγκεῖν δυ-
» νηθῆναι, ἔγωγε ἀπολόμως ἀντέστην. Καλαγωνισθεῖσα
» δὲ ὁμολογεῖν ἀναγκάζομαι, καὶ τὴν σὴν ἐπικουρίαν
» ταῖς ἐμαῖς δειλαῖς εὐχαῖς ἐξαιτεῖσθαι. Σὺ γὰρ μό-
» νος σῶσαι, σὺ μόνος ἀπολέσαι δύνασαι τὴν ἐρῶσαν.
» Ἕλοῦ· τοίνυν ὁπότερον ἂν ποιήσαις. Οὐκουν πολε-
» μία τοῦτό σου δεῖται, ἀλλ' ἥτις, οὖσά σοι συ-
» νημμένη, μᾶλλον προσδοκᾷ συναφθήσεσθαι, καὶ
» δεσμὸν οἰκειότερον συνδεθήσεσθαι. Τοὺς νόμους οἱ

et salutandi formulam et proprium sensum una miscens. Aristænetus 1, 22 : ταύτην ὁ Χαρίσιος ἰδὼν, « Χαίρεις » εἶπε, « φιλτάτη. » Ἡ δὲ, « Καὶ πόθεν ἂν » ἐμοί » φησὶν « γένοιτο χαίρειν » ; ubi multa congessi similia. — Mox pro ἡ, cod. ἧ.

(1) Aristænetus. 1, 6 : καί τις πρὸς τοῦ Ἔρωτος φλεγομένη δεινῶς, ἐσπούδακα σωφρονεῖν..... ἡττήθην, ὁμολογῶ, τῆς ἀνικήτου λαμπάδος.

» γέροντες γινωσκέτωσαν, καὶ τί μὲν ἔξεσθι, τί δὲ
» θεμιτὸν, ἢ ἀθέμιτόν ἐσθι, πολυπραγμονείτωσαν,
» καὶ τὰ τῶν νόμων μετρείτωσαν· τοῖς δ' ἡμετέ-
» ροις ἔτεσιν ἀπερίσκεπτος ἀφροδίτη καὶ ἄλληλός
» ἐσθι. Τί γὰρ ἂν ἐξείη οὔπω γε ἴσμεν, καὶ πάντα
» ἐξεῖναι πισθεύομεν, καὶ τοῖς ὑποδείγμασιν ἑπόμεθα
» τῶν μεγάλων θεῶν. Ἀλλ' οὐκ ἐμποδὼν ἡμῖν σήσε-
» ται οὔτε παίρος τραχύτης, οὔτ' εὐλάβεια φή-
» μης, οὔτε τις φόβος· ὅμως ἀπείη τὰ τοῦ φόβου
» αἴτια. Τὰς εὐκλαίας ἡδονὰς ὑπὸ τῷ ἀδελφικῷ ὀνό-
» ματι κρύψωμεν (1). Ἔσθι μοι ἄδεια κοινωνεῖν σοι
» τῶν ἀπορρήτων, καὶ δίδωμεν ἀλλήλοις περιπλο-
» κὰς καὶ συνάπλωμεν ἡδέα φιλήματα (2). Πόσον
» ἐστὶν ὅπερ ἐνδεῖ; Οἴκλειρον τὴν ὁμολογοῦσαν τὸν
» ἔρωτα, καὶ οὐκ ἔσθιν ὅτε ὁμολογήσασαν ἄν, εἰ μὴ
» ἀκρόταλος ἔρως ἠνάγκαζεν· μηδ' ἀξιώσῃς τῷ ἐμῷ
» τάφῳ αἴτιος τοὐμοῦ θανάτου ἐπιγραφῆναι. »
Τοιαῦτα μάτην χαρτλούσῃ πληρωθεὶς ὁ κηρὸς διε-
φθαρε τὴν χεῖρα (3), καὶ τὸ τελευταῖον ἔπος ἄκρῳ τῷ
λώματι τῆς πυξίδος ἐφήρμοσεν. Αὐτίκα δὲ σφρα-
γισθεῖσι λίθῳ τὸ ἑαυτῆς πληγμέλημα σφραγίζει
πέσασα, ὃν (4) δάκρυσιν ἔβρεξε· τὸ γὰρ τῆς γλώτ-

(1) Sic cod. Legebat interpres *tegamus* : ni fuerit permutatio facta de more literarum ω et ο, et voluerit ipse scribere κρύψομεν.

(2) « Jungimus oscula *coram*. » Legebat igitur Planudes *cara*. Verterim : καὶ ἡδία, πάντων ὁρώντων, συνάπλωμεν φιλήματα, vel πάντων ἐν ὀφθαλμοῖς.

(3) Ovidius : « Talia nequic-» quam perarantem plena reli-» quit Cera manum. » In his est enallage ; nam intelligenda sunt ceu esset scriptum : « manus talia » nequicquam perarans reliquit » plenam ceram. »

(4) Cod. ὅ, quod ad latina correxi. Tinxit enim lacrymis, non τὸ πληγμέλημα, sed τὸν λίθον.

της ὑγρὸν ἐξελελοίπει. Καὶ τῶν ἑαυτῆς οἰκείων αἰδουμένη κέκληκεν ἕνα, καὶ δεδοικότα σφόδρα ἐκμειλιξαμένη, « Φέρε ταῦτα » φησὶν, « πιλότατε (1), » τῷ ἐμῷ », καὶ ἐπήνεγκε μετὰ μικρὸν χρῆσιν « ἀδελφῷ. » Διδοῦσα δὲ τὸ πυξίον, ὀλισθῆσαν ἔπεσε τῆς χειρός· ἡ δὲ τῷ οἰωνῷ μὲν τέλα ἔσκλαι, πέμπει δ' ὅμως. Ὁ δ' ὑπηρέτης, δεξιῷ χρησάμενος καιρῷ, σφόδρα, καὶ ἐπιδίδωσι τὴν ἐν ἀπορρήτοις γραφήν. Ὁ δὲ Μαιάνδριος νεανίας, ἐμβριθυνθεὶς τῇ ἐξαπιναίᾳ ὀργῇ, ἔρριψε τὴν ληφθεῖσαν πυξίδα, βραχύ τι μέρος ταύτης ἀναγνούς, καὶ, μόλις τὰς χεῖρας ἐπέχων ἐκ τοῦ σφόδρα τοῦ ὑπηρέτου τρέμοντος (2), « Ἔκφευγε, μέχρις ἔξεστιν » εἶπεν, « ἀθέμιτε καὶ ἀνόσιε τοῦ ὁμοίου (3) ἔρωτος οἰκονόμε. » Εἰ γὰρ μὴ τὴν ἡμέραν εὐλάβειαν (4) ὁ σὸς θάνατος ἔμελλε σὺν σοὶ καθελκύσειν, δίκας ἂν μοι θανὼν ἔδωκας. » Ὁ μὲν οὖν ἔδεισε, καὶ τῇ δεσποίνῃ τὰς χαλεπὰς ἀποκρίσεις ἀναφέρει τοῦ Καύνου· σὺ δ', ὦ Βυβλὶς, ἀκούσασα τὴν ἀπόκρισιν, ὠχριᾷς, καί σοι τρέμει τὸ σῶμα ψύχει παγετώδει πολιορκούμενον. Ἐπεὶ δ' ὁ σφόδρα λογισμὸς ἐπανῆλθεν, ἐπίσης ἐπανῆλθον οἱ θυμοὶ, καὶ ἡ γλῶττα μόλις τοιαύτας ἐδίδου φωνὰς, σκληρομένου δὴ τοῦ ἀέρος· « Καὶ ἀξίως· τί γὰρ ἡ σφοδρὰ ἐποιοῦν τὴν

(1) Cod. habet σφόδρα. Modo δεδοικότα prava est latinæ vocis *pavidum* versio. Nam *pavidum* adverbiascit pro *pavide*. Malim, καὶ δεδοικυῖα ἐκμειλίσσεται, καὶ δειλῶς ἐκμειλιξαμένη: vel aliud quid, in hanc sententiam.

(2) Melius foret alio ordine, τοῦ τρέμοντος ὑπηρέτου.

(3) Ovidius: « vetitæ libidi- » nis. » Nescio quid Planudes legerit. Si *vetitæ* habuit, non verbum verbo curavit reddere.

(4) Velim *αἰσχύνην*, *pudorem*.

» δήλωσιν τοῦδε τοῦ τεραύματος; τί τὰ συγκαλυ-
» πτέα ῥήματα ταχέως οὕτω σπεύδουσα τῇ πυξίδι
» ἐπίστευσα; Πρόσθεν ἔδει σοφπειράν με λαβεῖν
» ἀμφιβόλοις ῥήμασιν τῆς τῶν λογισμῶν διαθέ-
» σεως. Ὡς ἂν ἡσυμένη μοι ἔπλαγ, μέρει τινὶ τῶν
» ἰσλίων ὤφειλον σημειώσασθαι πόλαπὸν ἂν εἴη τὸ
» πνεῦμα, καὶ οὕτως ἐπ' ἀσφαλοῦς θεῖν τῆς θα-
» λάσσης, ἣ νῦν ἀνέμοις ἔπλησα τὰ ἰσλία, μὴ
» πρότερον τούτους πειρισκοπήσασα. Ἐκφέρομαι
» τοίνυν ἐπὶ σκοπέλους, καὶ καλαποντιζομένη ὅλῳ
» βαπλίζομαι τῷ ὠκεανῷ· καί μοι τὰ ἰσλία οὐκ
» ἔχει ἐπάνοδον. Τί δ' ὅτι καὶ προδήλοις ἐκωλυό-
» μην οἰωνοῖς τῷ ἐμαυλῆς χαείζεσθαι ἐρωλι, ἡνίκα
» μοι διέπεσεν ὁ κηρὸς φέρειν αὐτὸν κελευούσῃ, καὶ
» ὀλισθηρὰς τὰς ἡμελέρας ἐλπίδας ἐποίησεν; Οὐκ
» ἄρ' ἐχρῆν ἢ τὴν ἡμέραν (1) ἐκείνην, ἢ πᾶσαν τὴν
» ἐπιθυμίαν, μᾶλλον μὲν οὖν τὴν ἡμέραν, ἀμεῖψαι
» καὶ ὑπερθέσθαι; Ὁ θεὸς αὐτὸς σαφήνει καὶ φανε-
» ρὸν ἐδίδου σημεῖον, εἰ μὴ κακῶς ἔγωγε εἶχον. Ἀλλ'
» ὅμως αὐτή γε ὁμιλεῖν ὤφειλον, μηδὲ καλαπιστεύειν
» ἐμαυλὴν τῷ κηρῷ, καὶ παροῦσα τὴν ἐμαυλῆς δια-
» νοῖξαι λύσσαν. Εἶδεν ἂν τὰ δάκρυα, εἶδε πρόσω-
» πον τῆς ἐρώσης. Πλείω λέγειν οἷα τ' ἦν ἡ ἐχώ-
» ρησεν ἡ πυξίς· ἠδυνάμην καὶ ἄκοντος πειάγειν τῷ
» τραχήλῳ τὰς χεῖρας, καὶ περιβάλλειν τοὺς πό-
» δας, καὶ περιχυθεῖσα τὴν ζωὴν αἰτεῖσθαι, κἂν,
» εἰ διεκρούσθην, εἶχον ὡς θανουμένη ἂν αὐτῷ δό-
» ξαι (2). Πάντ' ἂν ἐποίησα, ὧν ἕκαστον εἰ μὴ τὴν

(1) Codex ἡμελέραν, non ἡμέραν. E latinis correxi.

(2) In cod. sententiarum ordo temere fuit a librario turbatus,

» σκληρὸν κάμπτειν διάνοιαν, ὁμοῦ πάντ' ἂν ἠδυ-
» νήθη. Τάχα δέ τι καὶ σιλαῖσμα τοῦ πεμφθέντος
» ἐστὶν ὑπηρέτου. Οὐκ ἀστεῖος σεσῆλθεν, οὐκ ἐπε-
» λέξατο καιρὸν εὔθετον, οὐκ ἐπεζήτησεν ὥραν σχο-
» λαζούσης αὐτῷ τῆς ψυχῆς. Ταῦτά με ἔστρεψεν (1).
» Οὐδὲ γὰρ ἐκ τίγεώδους ἔφυ, οὐδὲ σκληρὸν δρῦν ἢ
» στερρὸν ἐν τοῖς στέρνοις σίδηρον ἢ ἀδάμαντα (2) φέ-
» ρει, οὐδὲ γάλα λεαίνης ἐκεῖνος πίνει (3). Νικηθή-
» σεται· ζητητέον αὐτὸν αὖθις. Μηδ' ὄκνον μηδένα
» λαβεῖν ἐπὶ τοῖς ὑπεργμένοις ἐξείη, μέχρις ἂν τοῦ-
» τό μοι τὸ πνεῦμα μένῃ. Καὶ γὰρ σεύτερον ἦν
» (εἴ μοι τὴν σαρελθοῦσαν ἀνακαλεῖν ἔξεστι (4) τύ-
» χην) μὴ ἄρξασθαι· ἑπόμενον δὲ ἐπικεῖσθαι τοῖς
» ὑπεργμένοις καὶ ἀπομάχεσθαι (5). Ἀλλ' οὐκ ἐκεῖνος
» ποιεῖν (6) δύναται ὡς ἂν αὐτὴ τὴν ἐμαυτῆς εὐχὴν
» ἐκτελέσαιμι· ἀλλ' ὅμως οὐκ ἀεὶ δόξω μνημονεύειν
» τῶν ἐμοὶ τολμηθέντων, καὶ, ὅτι γε παύσομαι, κού-
» φως τοῦτο τεθεληκέναι, ἢ καὶ πεπειρακέναι ἐκεῖ-
» νον, καὶ ὡς ἐνεδρεύουσα τοῦτον ἐζηλακέναι, ἢ ὡς
» ἀληθῶς οὐ τοῦτο, ἀλλὰ καλαγωνισθεῖσα πιστευ-
» θήσομαι τῷ θείῳ ἔρωτι, ὃς πολὺς ἐνέπρησε καὶ
» ἐμπιπρᾷ τοὐμὸν στέρνον. Ἐπὶ δὲ τούτοις ἤδη γε

quas aptius ad latinorum ductum collocavi.

(1) Codex ἔστεφεν habet.

(2) Vide supra not. pag. 267.

(3) Latinum *bibit* hic vertendum fuit πίπωκε, ἔπτε.

(4) Malim ἔξεστι aut ἐξείη.

(5) Pro ἀπομάχεσθαι velim νικᾶν, vel ἐπιτυχεῖν, vel τυχεῖν.

(6) Plane a sententia aberravit interpres, quam hanc esse puto: ἀλλ' οὐκ ἐκεῖνος δύναται (εἰ καὶ τὴν ἐμὴν ἐπιθυμίαν ἀπολείπω) μὴ ἀεὶ τῶν ἐμοὶ τολμηθέντων μνημονεύειν. Καὶ, ὅτι γε παύσομαι, κούφως δόξω — ἢ ὡς ἀληθῶς οὐ τούτῳ τῷ θεῷ ὃς πολὺς — στέρνον, ἀλλ' αἰσχρᾷ καταγωνισθεῖσα λύσσῃ πιστευθήσομαι. Confer latina, quae omitto brevitatis causa.

» οὔκουν δύναμαι δοκεῖν μηδὲν τετολμηκέναι ἀθέμι-
» τον· καὶ ἔγεφα καὶ ἐζήτησα, καὶ διεφθύσθη μου
» ἡ ἐπιθυμία (1). Εἰ δὲ μηδὲν πεφσθείην, οὐ δύνα-
» μαι ἀμεμπτος ὀνομάζεσθαι. Ὁ γὰρ οὖν ὑπόλοι-
» πον, πολὺ μὲν ὡς πρὸς εὐχὴν ἐστιν, ὡς δὲ πρὸς
» ἁμαρτίαν ἐλάχιστον. » Εἶπε· τοσαύτη δέ τις ἦν
630 τῶν ἀστάτων λογισμῶν ἡ διχόνοια, ὡς δυσχεραί-
νειν μὲν τὸ πεπειρακέναι, ἡδέως δ' ἂν αὖθις πει-
ράσαι. Καὶ δὴ τοῦ καθεστηκότος ἐξίσταται, τολμᾷ
τε ἡ κακοδαίμων τὸ πολλάκις ἀποφθυσθῆναι. Ἐπεὶ
δὲ τέλος ἀπῆν τοῦ τολμήματος, ἔφυγεν ὁ Καῦνος
καὶ τὴν παλαίδα καὶ τὸ ἀθέμιτον, καὶ ἐπ' ἀλλοδα-
πῆς γῆς νέον ἀνίστησι τεῖχος. Τότε δὴ τὴν Μιλητί-
635 δα φασὶν ὅλῃ διανοίᾳ πενθοῦσαν ἐκλελοιπέναι· τότε
δὴ τὴν ἐσθῆτα ἐκ τοῦ στήθους διέρρηξε, καὶ τοὺς
ἑαυτῆς μαινομένης (2) βοστρύχους ἐκόπτετο. Καὶ ἤδη γε
ἔκφρων ἐκ τοῦ φοφανοῦς καὶ τὰς ἐλπίδας τῆς
ἀπειρημένης ὁμολογεῖ μίξεως, ὧν ἄνευ τήν τε πα-
τρίδα καὶ τὸν μισθένια θάλαμον ἀπολείπει, καὶ
640 τοῖς τοῦ φυγάδος ἀδελφοῦ ἴχνεσιν ἕπεται. Ἥπερ
δὲ τῷ σῷ, Σεμέλης παῖ, θύρσῳ σοφθεῖσαι Ἰσμα-
ικαὶ Βάκχαι τὰς ἐκ πειτροπῆς ἐπανιούσας τριε-
τηρίδας ἑορτάζουσιν, οὔκουν ἑτέρως καὶ τὴν Βυβλίδα
διὰ τῶν εὐρυχώρων ἀγρῶν ὀλολύζουσαν αἱ Βουβα-
σίδες ἐθεάσαντο νύμφαι, ἃς ἐκείνη καταλιποῦσα,
τούς τε Κᾶρας καὶ τοὺς εὐόπλους Λέλεγας, καὶ
τὴν Λυκίαν περινοστεῖ.

(1) « Temerata est nostra vo- » luntas » : ἐμιάνθη μου ἡ διάνοια. Reperit *voluptas*: nam sic p. 111, 6, eodem modo eamdem vocem vertebat. Cf. ad XII, 177.

(2) Quis non malit, *μανομένη*?

Ἤδη μὲν οὖν Κράγον καὶ Λιμύρην (1), καὶ τὰ τοῦ Ξάνθου καλέλιπε ῥεύματα, καὶ τὴν Ἀκραν, ἐν ᾗπερ ἡ Χίμαιρα πῦρ μὲν ἐν τῷ μέσῳ, στέρνον δὲ λεαίνης καὶ πρόσωπον, καὶ οὐρὰν δράκοντος εἶχεν (2). Ἐξέλιπον τοίνυν αἱ λόχμαι, ὅτε σὺ, Βυβλὶς, ἀπαγρεύσασα ταῖς δώξεσι, καλαπίπλεις, καὶ, τοὺς πολυκάμους ἐπὶ ξηρᾶς ὑποθεῖσα γῆς, κεῖσαι (3), καὶ φυλλάδα πεσοῦσαν τῷ σαυΐῃς πιέζεις πρόσωπον. Πολλάκις ἐκείνην αἱ Λελεγίδες Νύμφαι τρυφερᾶΐς ὠλέναις αἴρειν ἐπιχειροῦσι· πολλάκις τὸν ἔρωτα πρανῦναι διακελεύονται, κωφῇ δὲ διανοίᾳ τὰς παραμυθίας παρέχονται. Ἄφωνος γὰρ κεῖται ἐκείνη, καὶ χλοερὰς βοτάνας ἐν τοῖς ὄνυξι φέρει (4), καὶ δακρύων ῥύακι τὴν πόαν ὑγραίνει. Τούτοις μέντοι τὰς Νύμφας ὑποθεῖναι φλέβα φασὶν, μηδέποτε ξηρανθῆναί γε δυναμένην (5). Αὐτίκα τοίνυν, ὡς, ἀποχασθέντος (6) φλοιοῦ, σταγόνες πίσσης (7), ἢ ὡς κολλῶδες θεῖον ἐκ γῆς ἐγκυμονούσης αὐτὸ ῥεῖ, καὶ τῇ τοῦ ζεφύρου ἐφόδῳ ὁμαλὸν δὴ πνέοντος αὖθις ὑπὸ τοῦ ἡλίου μαλάσσεται τὸ τῷ φύχει συσταὰν ὕδωρ·

(1) In latinis *Lymiren*. Oportuit, puto, *Limyren*. In græcis malim Λίμυρα, nam nomen est urbi τὰ Λίμυρα: cf. Strab. XIV, p. 666; Ruhnk. ad Paterc. II, 102.

(2) Locis de Chimæra addesis Basilii Cæsar. Schol. ad Gregor. Naz. in Notitiis MSS. t. XI, part. II, pag. 92.

(3) Legit *jaces*, non *taces*, nec id male.

(4) Legebat « *tenet* herbas », non *terit*.

(5) Addendum, nam vel Planudes omisit, vel librarius: τί γὰρ ἂν ἄλλο μεῖζον χαείζεσθαι εἶχον;

(6) Inserui ὡς, quod aberat.

(7) Ovidius: « ut secto *piceæ* » de cortice guttæ. » Planudes *piceæ* retulit ad *guttæ*, quum esse videatur genitivus *piceæ* arboris: unde fuerit rescribendum: ἀποχ. πίτυος φλοιοῦ σταγόνες. Sed et Planudis interpretatio defendi quodam modo posset.

οὕτως ἡ Φοιβεία Βυβλὶς τοῖς ἑαυτῆς καλαναλωθεῖσα δάκρυσιν εἰς πηγὴν μεταβάλλεται, ἣ καὶ νῦν ἐν ταῖς ὑπωρείαις ἐκείναις τὸ τῆς δεσποίνης ὄνομα φέρει, καὶ ὑπὸ μέλανι ῥεῖ σεύνῳ.

Ἡ φήμη τοίνυν τοῦ καινοῦ τέρατος τάχ' ἂν τὰς ἐκατὸν τῆς Κρήτης πόλεις ἐπλήρωσεν, εἰ μὴ νεωστὶ θαυμάσιον οἰκειότερον ἄλλο μεταπλασθείσης ἤνεγκεν ἡ Κρήτη τῆς Ἰφιδος. Ἡ γὰρ ἀγχιτέρμων πολὶ τῇ Κνωσιακῇ βασιλεία Φαιστία χώρα σεσήνεγκεν ἄνδρα ἄσημον ἐξ ἀγενοῦς (1) τινὸς δήμου, τοὔνομα Λύκιον, ᾧ χρήματα μὲν μείζω τοῦ γένους οὐκ ἦν, βιότη δὲ καὶ πίστις ἀμεμπτος γέγονε. Κυούσῃ δ' αὐτῷ τῇ γυναικὶ τοιαῦτά φησι ῥήματα, ἐπειδὰν ὁ τοκετὸς ἤδη παρῇ· « Ἅπερ ἂν εὐξαίμην δύο ταυτὶ » τυγχάνει, βαρυτέραις τέ σε κουφισθῆναι ὠδῖσι » καὶ ἄρσεν τεκεῖν. Ἡ γὰρ ἑτέρα μειὶς ἐπαχθεστέ- » ρα μοι, καὶ ἰσχὺν εἰς σεσῖκα τὰ τῆς τύχης » ἀρνεῖται. Ὅ γε ἀπορέπομαι, ἀμέλει, καὶ εἰ θῆλυ » τοῦ σοῦ τοκετοῦ σεσελθεῖν τύχοι (ἄκων ἐπισκή- » πτω· σὺ δ', Ἔλεος, σύγγνωθί μοι), ἀναιρεθήσε- » ται. » Εἶπε, καὶ δάκρυσι ῥεύσασι τὸ σεσόωπον ἔλουσαν ὅ, τε ταῦτ' ἐπισκήπτων καὶ ἥπερ αἱ ἐντολαὶ αὗται ἐδίδοντο. Ὅμως δ' οὖν ἡ Τελέθουσα τὸν ἑαυτῆς ἄνδρα μέχει δὴ σταδίου ἀνηνύτοις δεή-

(1) Ovidius, « *ingenua* de plebe », i. e. *libera*. Nostrum scripsisse affirmaverim εὐγενοῦς: sed, ut sæpius evenit, ευ et α fuere permutata ab incurioso descriptore; quod jam tetigi p. 215, et in aliis libris nonnusquam: adde Beck. in Varietate lect. Aristotelicæ pag. 8; Kuinoel. ad Demetr. pag. 9; Butler. ad Æsch. Prom. 717. Gregorius Nyss. in Macrinæ Vita pag. 179 B: ὅσα τῆς θεοπνεύστου γεαφῆς ἀληπλόπεα παῖς σρώταις ηλικίαις δοκεῖ: scrib. εὐληπλόπεα, quod jam vidit interpres latinus.

σεσι μέτεισι, τοῦ μὴ τὰς ἐλπίδας ἑαυτῷ ἐν σλενῷ πάνυ θεῖναι. Τῷ γε μὴν Λύκτῳ ἡ ψῆφος πάλαι κεκύρωτο. Ἡ δὲ γυνὴ φερομένη βαρεῖαν ἤδη τὴν νηδὺν πεπανθέντι τῷ φόρτῳ ἤφερεν· ἐν μέσῳ δὲ τῆς νυκτὸς διασκήμαλι, εἰς τύπον ἐνυπνίου, ἡ Ἰναχὶς, παρεμπεμπομένη τῇ τῶν ἱερῶν ἑταιρείᾳ, περὶ τῆς εὐνῆς ἣ ἔσται, ἢ σκῆναι ἔδοξε· καί οἱ τῷ μελάτρῳ μινοειδῆ κέρα ἐνῆσαν, σὺν σκάχυσι καθαρῷ χρυσῷ λάμπουσι, καὶ βασίλειος κόσμος· ταύτῃ δ' ἅμα παρῆν ὅ, τε ὑλακτικὸς Ἀνουβὶς, καὶ ἡ θεία Βουβασκὶς, καὶ ὁ ποικιλόχρους Ἆπις· σείσρά τε παρῆν (1), καὶ ὁ μήπω ἄλις ζηληθεὶς Ὄσιρις, ὅ, τε πιέζων τὴν φωνὴν Ἐφιάλτης βαρυχνᾶς καὶ τῷ δακτύλῳ σιωπὴν πείθων (2), καὶ δράκων περίφοιτος (3) σκήπτρης ὑπνώδους ἰοῦ. Τότε τοίνυν, ὡς ἀπολιναξαμένη τῇ Τελεθούσῃ τὸν ὕπνον καὶ ὕπαρ τὰ παόντα βλεπούσῃ (4), τοῦτον ἡ θεὸς προσεφώνει τὸν τρόπον· « Ὦ Τελέθουσα, τοῦ ἡμελέσου λάχους μερὶς, » ἀπόθου τὸ βαρὺ τῶν φροντίδων, καὶ σόφισαί μοι » τὰς τοῦ ἀνδρὸς ἐντολάς. Καὶ μηδ' ὁτιοῦν δίσλαζε· » ἐπειδὰν δέ σοι τὰς ὠδῖνας ἡ Εἰλείθυια κουφίσῃ, » αἶρέ μοι λαμβάνουσα πᾶν ὅ, τι πολ' οὖν ἔσλαι· » Θεός εἰμι σύμμαχος, καὶ βοήθειαν φέρω παρα- » κληθεῖσα. Καὶ οὐ μέμψῃ σαυτῇ ὡς θεὸν τιμησάσῃ » ἀχάρισλον. » Ταῦτα σαρήνεσε, καὶ ἀπεχώρησε

(1) Codex, σοὶ σλεάπ παρῆν.

(2) Transposuit Planudes versuum ordinem: leve quidem illud; sed, quod gravius, Ephialtem cum miro epitheto nescio unde invexit, Harpocratem innuente poeta. Codex, σιωπῆς.

(3) « Serpens peregrina » græce dicendum fuit ξένος δράκων.

(4) Malim : ὡς ἀπολιναξαμένην τὴν Τελέθουσαν — βλέπουσαν. Cod. βλέπουσα.

τοῦ Θαλάμου. Ἡ δὲ γυνὴ σὺν ἡδονῇ τῆς εὐνῆς ἐξανέστη, καὶ, καθαρὰς χεῖρας πρὸς τοὺς ἀστέρας ἄρασα, σὺν δεήσεσι βεβαίαν τὴν αὐτῆς ὄψιν ἐκέλευε γενέσθαι. Ἐπεὶ δ' αἱ ὠδῖνες ἐπέδωκαν καὶ ὁ φόρτος ἑαυτὸν εἴς τε φῶς ἐξέδωκε, καὶ ἐγεννήθη τῷ πατρὶ ἀγνοοῦντι θυγάτηρ, τρέφεσθαι ταύτην ἡ μήτηρ ἐκέλευσεν, υἱὸν ψευσαμένη γεννῆσαι, καὶ πίστιν ἔσχε τὸ πρᾶγμα. Καὶ γὰρ οὐδεὶς αὐτῇ συνῄδει τὸ ἔργον, ὅτι μὴ ἡ τροφὸς μόνη. Ὁ μέντοι παλὴρ τὰς εὐχὰς ἀποδίδωσι, καὶ παππῷον ἐπιτίθησιν ὄνομα δὴ τῷ τέκνῳ· Ἶφις γὰρ αὐτοῦ πάππος ἦν. Ἐχάρη δ' ἡ μήτηρ ἐπὶ τῷδε τῷ ὀνόματι, ὅτι δὴ κοινὸν ἦν ἄρρενί τε καὶ θήλει, καὶ οὐκ ἔστιν ὃν ἂν (1) ἀπαλήσειεν ἐν ἐκείνῳ. Καὶ ὑπὸ φιλανθρώπῳ ἀπάτῃ ἀνεπίληπτον ψεῦδος ἐκρύπτετο. Στολὴ μὲν οὖν ἦν ἄρρενος, πρόσωπον δὲ, ὅπερ εἴτε κόρῃ εἴτε νέῳ παιδὶ δοίης, ἐκπρεπέστατος ἂν ἑκάτερος εἴη. Μετὰ δὴ ταῦτα τρίτον ἐπὶ δεκάτῳ διεδέξατο ἔτος, καί σοι ὁ παλὴρ, Ἶφι (2), τὴν ξανθὴν καλεγύησεν Ἰάνθην. Καὶ περιβόητος ἐν ταῖς Φαιστιάσι (3) καὶ κάλλει γέγονε καὶ προικὶ παρθένος, τῷ Δικταίῳ γεννηθεῖσα Τελέστῃ. Ἄμφω δ' ἦσαν ἴσαι τὴν ἡλικίαν, ἴσαι τὸ κάλλος· καὶ τὰς πρώτας τέχνας, τὰ τῆς ἡλικίας στοιχεῖα, παρὰ τῶν αὐτῶν ἐδέξαντο διδασκάλων. Ἐντεῦθεν Ἔρως τῆς ἀπείρου καρδίας ἀμφοῖν ἥψατο, καὶ ἐκαλέσατο ἴσην πληγὴν ἔδωκεν. Ἡ μέντοι πρὸς ἀλλήλας ὑπόληψις ἄνισος ἦν. Οἱ δέ γε τεκόντες τήν γε τούτων συζυγίαν καὶ τὴν προθεσμίαν τοῦ καιροῦ τῶν γά-

(1) Cod. ὃν οὐκ ἄν. Addidit negationem, qua latina carent.

(2) Codex, Ἴφις, quod mutavi.

(3) Cod. φιστιάσι, errore solito.

μων ἐκδέχονται (1). Ἰάνθη δ', ὃν ᾤετο τυγχάνειν ἄνδρα, ἑαυτῆς (2) πείθεται εἶναι· ἡ δ' Ἶφις ἐρᾷ ταύτης ἧς δυνηθῆναι ἀπολαῦσαι ἀπογινώσκει, καὶ τοῦτ' αὐτὸ μᾶλλον ἀνάπτει τὴν φλόγα, καὶ παρθένος ἐπὶ παρθένῳ ἐκκαίεται. Καὶ, τὰ δάκρυα μόλις κατέχουσα, « Τίς με » φησὶν « ἔκβασις μένει; ἣν ἐμὲ » πᾶσιν ἄγνωστος, ἣν τερατώδης καὶ καινοτέρας » ἀφροδίτης φροντὶς κατέχει. Εἰ μὲν γὰρ οἱ θεοὶ » φείδεσθαί μου βεβούληντο, φείδεσθαι ὤφειλον· εἰ » δ' οὖν ἀλλ' ἐθέλουσιν ἀπολέσαι, φυσικὸν γοῦν κα- » κὸν καὶ ἐξ ἔθους ὤφειλον δεδωκέναι. Οὔτε γὰρ δά- » μαλιν δαμάλεως, οὔτε φορβάδα φορβάδος ἔρως » ἐμπίπρησιν· ἐμπίπρησι δ' ὄϊν κριὸς, καὶ τῷ ἐλά- » φῳ κεμὰς ἕπεται· οὕτω καὶ ὄρνεις συνίασιν, πρὸς » δὲ τούτοις καὶ ξύμπαντα ζῶα· γυνὴ δὲ γυναικείῳ » ἔρωτι οὐκ ἔστιν ἥτις ἐφθάρη. Ἤθελον μηδ' ἡτισ- » οῦν εἶναι. Ἵνα δὲ πάντα τέρατα Κρήτη ἐνέγκοι· » ἠράσθη ταύρου μὲν ἡ θυγάτηρ Ἡλίου, γυνὴ δ' » ὅμως ἄῤῥενος· ὁ δ' ἐμὸς ἔρως, εἰ τἀληθὲς ὁμο- » λογοίημεν, ἐκμανέστερός ἐστιν ἐκείνου. Ὅμως ἐκείνη » τῆς κατὰ τὴν Ἀφροδίτην ἐλπίδος ἔτυχεν, ὅμως » ἐκείνη δόλοις καὶ τύπῳ δαμάλεως τὸν ταυρὸν » ὑπέμεινε, καὶ παρῆν ὃς ἂν ἀπατηθείη μοιχός. Δεῦ- » ρο δὲ καὶ εἰ γῆς ἐκ πάσης μηχανὴ πᾶσα συῤῥεύ- » σειεν, εἰ καὶ αὖθις αὐτὸς ὁ Δαίδαλος κεκηρωμέ- » ναις πτέρυξιν ἐπιπταίη, τί ποτε ποιήσειεν ἄν; μὴ » παῖδά με (3) ἐκ παρθένου ταῖς εὐμηχάνοις αὐτοῦ

(1) Latina non habent hanc parentum mentionem. Ianthe ipsa dicitur exspectare tædæ tempora.

(2) Addidi ἑαυτῆς ad latinorum ductum.

(3) Codex μὲν, non με quod

» τέχναις ἀπολελέσει; ἢ σε μέλαπλάσει, Ἰάνθη;
» Ἀλλὰ τί δὴ πόλε μὴ τὴν ψυχήν, Ἶφι, κεφλύνεις,
» καὶ σαυλὴν συναθρίζεις; καὶ τὸ βουλῆς ἄμοιρον καὶ
» ἀνόπλον πῦρ ἀποσείῃ; Ὅρα τί δήποτε δὴ γεγέννησαι
» (εἰ μὴ καὶ σαυλὴν ἀπαλᾷς), καὶ ζήτει ὅ γε ἔξεσθι,
» καὶ ἔρα τοῦδε οὗ ὀφείλεις ἔρᾶν ὡς γυνή. Ἐλπὶς
» γάρ ἐσθιν ἣ δέχεται, καὶ ἐλπὶς ἣ τρέφει τὸν ἔρωτα·
» ταύτην δ' ἀφαιρεῖταί σου αὐτὸ τὸ πρᾶγμα. Οὐ
» γάρ σε φυλακή τις τῆς ἡδίστης εἴργει περιπλοκῆς,
» οὐδ' ἀνδρὸς ἀσφαλοῦς ἐπιμέλεια, οὐ παλεὸς τρα-
» χύτης, ἀλλ' οὐδ' ἐκείνη δεομένη σοι ἀνανεύει· ὅμως
» οὐδέ πο' αὐτῆς ἀπολαύσεις, οὐδ', εἰ καὶ πάντα
» πρᾶγμαθ' γένοιτο, εὐδαίμων εἶναι δυνήσῃ, οὐδ'
» εἰ (1) θεοὶ διὰ τοῦτο ταλαιπωρεῖν καὶ ἄνθρωποι.
» Καὶ νῦν δὴ τῶν ἐμῶν εὐχῶν μία μερίς τις οὐθέν
» ἐστιν· οἱ θεοὶ δέ μοι εὐχερῶς ὅ, τιπερ ἠδυνήθησαν
» ἔδωκαν. Ὃ γὰρ ἐγὼ θέλω καὶ ὁ παλὴρ θέλει καὶ
» αὐτὴ θέλει καὶ ὁ μέλλων δὴ πενθερός· ἀλλ' ἡ τού-
» των πάντων ἰσχυροτέρα φύσις οὐδαμῶς θέλει, ἥ
» με μόνον λυπεῖ. Ἥκει γὰρ ἤδη καιρὸς εὐκλαῖος, καὶ
» γαμήλιον φῶς πάρεστι, καὶ ἤδη ἐμὴ γενήσεται
» Ἰάνθη· ἀλλ' οὐδὲν ἐμοὶ ταύτης μελέσται, ἐν μέσοις
» δὲ διψήσομεν ὕδασι. Τί τοίνυν, Ἥρα νυμφοστόλε,
» τί πρὸς ταῦτα τὰ ἱερὰ ἥκεις, Τμέναιε (2); ἐν

omnino fuit reponendum. Μὲν inferetur non importune ap. Dionem Chrys. Orat. LXI, pag. 316, sic editum: καὶ τὸν ἄλλον χρόνον παρέμενε ἴσως σλέργουσα τὸν Ἀγαμέμνονα, ὅπ δὲ—Cod. Reg. 2958, καὶ τὸν μὲν ἄλλον—Demosthenes adv. Aristocr. t. III, p. 19 T: ὁ νόμος οὐ μόνον οὐκ ἐλαύνειν τῶν ὅρων πέρα, ἀλλ' οὐδ' ἄγειν, ἐᾷ· ἐκ δὲ τοῦ σοῦ ψηφίσματος ὁ βουλόμενος ἄξει—Si legeretur, ὁ νόμος μὲν οὐ μόνον—sententiæ concinnius librarii viderentur.

(1) In codice est tantum οὐδέ.

(2) Eadem numina junget sub

» οἷς ὁ μὲν τὴν νύμφην ἀγόμενος ἄπεσθιν, ἀμφότεραι
» δὲ νυμφευόμεθα. » Μετὰ δὲ ταῦτα τὴν φωνὴν ἐπέ-
σχεν· ἡ δ' ἑτέρα παρθένος οὐδ' ὁτιοῦν δὴ κουφο-
τέρως φλέγεται, δεῖται δ' ὡς ἂν ταχὺς ἔλθοις,
765 Ὑμέναιε. Ὁ δ' οὖν ἥδε ζητεῖ ἡ Τελέθουσα δεδοικυῖα,
νῦν μὲν τὸν καιρὸν ὑπερλίθεται, νῦν δὲ πεπλασμένη
νόσῳ τὸν χρόνον τείβει, ἔστι δ' ὅτε οἰωνοὺς καὶ
ὄψιν ὀνείρων αἰτιᾶται. Ἀλλ' ἤδη πᾶσαν τῶν πλα-
σμάτων ὕλην ἐκένωσε, καὶ ὃν παρῆκε καιρὸν τῶν
γάμων ἐνέστη, καὶ ἡμέρα μία ὑπόλοιπος ἦν. Ἡ δὲ
770 τὴν κόμης ταινίαν τῆς τε οἰκείας κεφαλῆς καὶ τῆς
θυγατρὸς ἀφαιρεῖται, καὶ λελυμένοις πλοκάμοις
τὸν βωμὸν περιλαβοῦσα, « Ἶσις » φησὶν, « ἡ τὸ
» Παραιτόνιον καὶ τὰ Μαρεωτικὰ πεδία καὶ τὴν Φάρον
» οἰκοῦσα, καὶ τὸν εἰς ἑπτὰ χέρα σχιζόμενον Νεῖλον,
» ὄρεξον βοήθειαν, ἱκετεύω, καὶ τὸν ἡμέτερον φόβον
775 » θεράπευσον. Σὲ, θεὰ, σὲ πάλαι πρόσθεν καὶ τὰ
» σὰ ταυτὶ συνθήματα εἶδον καὶ ἔγνων πάντα, τόν τε
» φερόμενον ἦχον καὶ τὸν τῶν κρουομένων σείστρων
» χαλκὸν, καὶ ψυχῇ μνήμονι τὰς σὰς ἐντολὰς ἐσπ-
» μειωσάμην· ὅτι τε τὸ φῶς ἥδε βλέπει, καὶ οὐκ
» ἀνεῖλον ταύτην ἐγὼ, ὑμελέρα (1) βουλή τε καὶ δῶρόν

libri finem; junxit et VI, 428, in Procnes et Terei connubio: « non » Pronuba Juno, Non Hymenæus » adest »: quæ poteram conferre cum Thalli Epigr. inter Sepulcralia 188: Δύσδαιμον Κλεάνασσα... ποῖς θαλάμοισι γαμοστόλος οὐχ Ὑμέναιος, Οὐδ' Ἥρης Ζυγίης λαμπάδες ἠντίασαν· Πένθιμος ἀλλ' Ἀΐδης ἐπικώμασιν, ἀμφὶ δ' Ἐρινὺς Φοίνιος ἐκ στομάτων μάρσιμον ἧκεν ὄπα: ubi Jacobs. conferendus est.

(1) In latinis *tuum* græcum σὴ poscebat. Planudes forte τῷ ὑμετέρᾳ imprudens est usus, forte non imprudens: nam nonnusquam ὑμέτερος aut *vester* invenitur, oratione tamen ad unum hominem directa: de quo disertius egi in Notitiis codicum manuscriptorum, t. XI, part. II, pag. 90.

» ἐστιν. Ὤκλασεν ἡμᾶς ἄμφω, καὶ βοηθείας παράσχε
» χεῖρα. » Αὐτίκα δὲ καὶ δάκρυα τοῖς ῥήμασιν ἠκολούθησαν. Ἡ θεὸς (1) τοίνυν ἔδοξε κεκινηκέναι καὶ ἐκίνησε τὸν βωμὸν ἑαυτῆς, καὶ αἱ πύλαι τοῦ νεὼ τρόμον ἔσχον, καὶ μιμούμενα τὴν σελήνην κέρα διέλαμψαν, καὶ τὰ σεῖστρα βομβήσαντα ἤχησαν. Ἡ δὲ μήτηρ οὐκ ἀσφαλὴς μέν, χαίρουσα δ' ὅμως τῷ τῆς κληδόνος αἴσίῳ, ἀπεχώρησε τοῦ νεώ. Ἡ δ' Ἶφις ἀπιούσῃ συνείπετο μείζονι βήματι ἢπερ εἰώθει, οὐδὲ συμμένει ἡ λευκότης ἔτι ἐν τῷ προσώπῳ, καὶ ἡ ἰσχὺς ἐπιδίδωσι, καὶ ἰταμώτερον αὐτὸ τὸ πρόσωπον γίνεται, καὶ βραχύτερον τῇ κόμῃ τὸ μέτρον καὶ ἀτημέλητον, καὶ πλέον τῆς ῥώμης πάρεστιν ἢπερ εἶχεν οὖσα γυνή. Καὶ γὰρ ἡ γυνὴ μικρῷ πρόσθεν ἦς, Ἶφι, παῖς εἶ. Δῶρα δὲ πρόσαγε τοῖς ναοῖς, μηδὲ δειλιώσῃ χαίρε πίστει. Δῶρα δὲ πρόσαγουσι τοῖς ναοῖς, καὶ ἐπιγραφὴν δὴ προσεπάγουσιν. Ἡ δ' ἐπιγραφὴ βραχὺ τὸ ἔπος εἶχε·

Κοῦρος δῶρ' ἀπέδωκε, κόρη τύπτερ νύξαλο Ἶφις.

Μετὰ δὴ ταῦτα (2) ταῖς ἀκτῖσιν ἡ ἡμέρα τὸν εὐρὺν ἠνέ-

(1) Legitur ὁ θεὸς in codice.

(2) In latinis « postera lux. » Jam p. 272, hoc epithetum eodem modo nec recte reddidit.

Notis brevioribus supplementum assuam Ænigmata quinque, ni fallor, inedita, saltem in libris, qui mihi sunt ad manum, non reperta. Codex Regius 2877, pag. 29, illa mihi aliud quærenti exhibuit.

I.

Αἴνιγμα εἰς πλοῖον.

Ζῷόν τι πιζὸν, ἀλλὰ πηκτὸν εὑρέθη,
Ἔμψυχον, ἀλλ' ἄψυχον, ἔμπνουν, ἀλλ' ἄπνουν, Ἕρπον, βαδίζον, καὶ πλεῦσις καχρημένον. Ἄκουε καὶ θαύμαζε, καὶ δίδου λύσιν.

795 ῳξε κόσμον· Ἀφροδίτη δὲ καὶ Ἥρα καὶ συνὼν αὐταῖς ὁ Ὑμέναιος πρὸς τὸ γαμήλιον συνίασι πῦρ, καὶ ὁ παῖς Ἶφις τῆς ἑαυτοῦ ἀπολαύει Ἰάνθης.

Versu 1, cod. ἀλλ' ἀνοικτὸν, quod mutavi: ℣. 3, βαδίζων καὶ πτεραῖς.

II.

Τοῦ μυὸς τὸ ὄνομα.

Ζῶόν τι μικρὸν εἰμὶ, οὐκ εἰμὶ τῶν βρωσίμων. Τρία γράμματα τῇ κλίσει φέρω. Ὁ ἐν ἐμοὶ ἀριθμὸς ἑξακόσια σὺν τετάρτης δεκάδος.

Codex, τ' ὄνομα—βρωσήμων—δεκάδοις. Si τετάρτης poscit δεκάδος, ἡ σὺν genitivos respuit. Metrum prorsus est pessumdatum. Non τῇ κλίσει, sed πρὸ τῆς κλίσεως, sensus postulare videtur; nam genitivo μυὸς non tres sunt literæ. De mure nitidius est Symposii ænigma. Sed his nugulis diutius hærendum non est.

III.

Εἰς τοῦ προβάτου τὸ δέρμα.

Ἔζων ὅτ' ἔζων, πλὴν λόγου παντὸς δίχα· Νῦν δ' εἰμὶ νεκρὸς, καὶ γέμω παντὸς λόγου.

IV.

Τῆς θηριακῆς.

Ὁ ζῶν φονευτὴς, καὶ θανὼν εὐεργέτης, Ἐνταῦθα λαθὼν τεχνικῶς ὑπεκρύβη, Καὶ, ψυχρὸς ὢν, ζῶν νεκρὸς εὑρέθη μόνος Καὶ φίλος ἐχθρὸς καὶ παρὼν ἀποστάτης.

Codex. θυριακῆς—ὑπεκρύβει.

V.

Τοῦ ζυγοῦ.

Δίκαιος εἰμὶ καὶ δικαίων ἀκρότης. Ἐξ τὰ σκέλη μου, κἂν καὶ οἱ πόδες δύο.

Codex, ἀκρόπης—σκέλει.

De syllabarum quantitate in his versibus lector non esse debet auctore ipso curiosior. Iambici sunt; sed in quibus numerus syllabarum dodecasyllabus et ultimi pedis barytonia duntaxat observantur. Versus hic brevior, et longior alius, quindecim syllabis constans, passim fuerunt a recentioribus usurpati.

ARGUMENTUM

LIBRI X

EX CANTERI NOVIS LECTIONIBUS.

Iphis nuptiis qui interfuerat Hymenæus ad *Orpheum* inde se contulit, sed malo omine, quandoquidem mox obiit *Eurydice*, neque ad superos reduci potuit. Mœrore igitur perculsus Orpheus montes solitarios petiit, quò, sono lyræ ejus impulsæ, accurrerunt arbores, et inter cæteras *pinus* ex *Aty*, atque *cupressus* e *Cyparisso* mutata. Canebat autem ille de raptu *Ganymedis*, de *Hyacinthi*, ab Apolline amati et interfecti, in *hyacinthum* florem, de *Cerastarum* in *tauros*, de *Propœtidarum* in *lapides*, de Pygmalionis *statua* in *mulierem vivam* (unde natus *Paphus*), de *Myrrha*, propter incestum cum patre concubitum, in *myrrham* arborem, atque de *Adonidis*, cui Venus *Hippomenis* et *Atalantæ* in templo concumbentium in *leones* transformationes narraverat, in *anemonem* mutatione.

ΟΒΙΔΙΟΥ

ΜΕΤΑΜΟΡΦΩΣΕΙΣ.

ΒΙΒΛΙΟΝ ΔΕΚΑΤΟΝ.

Ἐντεῦθεν διὰ τοῦ ἀπείρου ἀέρος ἐσθῆτι πορφυρᾷ κεκαλυμμένος ὁ Ὑμέναιος πρὸς τὴν τῶν Κικόνων συντείνει χώραν. Καὶ γὰρ ὑπὸ τῆς Ὀρφείας φωνῆς μάτην δέ γε καλεῖται. Καὶ παρεγένετο μὲν, ἀλλ' οὔτε ἑορτῆς ῥήματα, οὔτε φαιδρὸν πρόσωπον, οὔτ' αἰσίαν ἐπήγετο τὴν κληδόνα. Ἀλλὰ καὶ ἡ λαμπὰς ἣν εἶχε δακρυώδει καπνῷ τετριγυῖα (1) μέχρις παντὸς διαγέγονε, καὶ οὐδ' ὁτιοῦν πυρὸς ἐπεσπάσατο κινουμένη. Ἥ γε μὴν τοῦ πράγματος ἔκβασις βαρυτέρα τοῦ οἰωνίσματος. Ἡ γὰρ νύμφη (2) Εὐρυδίκη, συνόμιλος τῷ τῶν Νηϊάδων ὄχλῳ διὰ τῶν λειμώνων περινοστοῦσα, τέθνηκεν, ὄφεως ὀδόντα ἐν τῷ ταρσῷ τοῦ ποδὸς δεξαμένη. Ἣν ἐπειδήπερ ἅλις ὁ Ῥοδόπειος μάντις ἐπὶ τοῦ ὑπὲρ γῆς ἀέρος ἐπένθησεν, ἵνα καὶ τῶν Ἅδου ψυχῶν πειράσαιτο, πρὸς τὴν Στύγα διὰ τῆς Ταιναρίας ἐτόλμησε πύλης κατελθεῖν· καὶ διὰ λεπτοτάτων καὶ ἰσχνοτάτων δήμων καὶ εἰδώλων τάφοις χρωμένων, πρόσεισι (3) τῇ τε Περσεφόνῃ καὶ τῷ τὴν ἀηδῆ βασιλείαν κατέ-

(1) Codex, τετρηγυῖα : conf. p. 383, et infra not. ad XII, 276. Eadem variatione vocalium ι et η, infra ad 184, codex, ἀνακοντήσασα : ad 435, codex, κεγχρήης : ad 575, codex, ἑκάθετο : ad 673, codex, δεσπότης ita pro δεσπότις.

(2) Velim νεονύμφη, *nupta nova*.

(3) Cod. χρωμάτων πρόσεται. Permutantur χρωμάτων et χρωμένων in Procli codice ad Alcib. t. III, pag. 198, ed. Cusin.

χοντι τῶν σκιῶν δεσπότῃ· καὶ, πρὸς ᾠδὴν τὰς νεύρας πλήξας, οὕτως εἰρήκει· « Ὦ τοῦ ὑπὸ γῆν κειμένου » κόσμου θεοὶ, εἰς ὃν καταπίπτομεν (1) ὅ, τι ποτὲ θνη- » τὸν γιγνόμεθα, εἴπερ ἔξεστι καὶ ἐᾶται, τὰ τοῦ ψευ- » δοῦς στόματος ἀποθέμενον αἰνίγματα, τἀληθῆ λέγειν, » οὐχ ὥστε τὸν συνηρεφῆ Τάρταρον ἰδεῖν κατελήλυθα (2) » δεῦρο, οὐδ' ὥστε τοὺς κομῶντας ὄφεσι τρεῖς φά- » ρυγγας τοῦ Μεδουσαίου συνδῆσαι τέρατος· ἡ σύζυγος » δέ μοι τῆς πορείας αἰτία, εἰς ἣν ἔχιδνα πατηθεῖσα » τὸν ἰὸν διεσκέδασε, καὶ τὴν ἐπιδιδοῦσαν ἡλικίαν » ἀφείλετο. Ἠθέλησα μὲν γὰρ δυνηθῆναι ὑπομεῖναι » τὸ πάθος· οὐ γὰρ ἀρνήσομαι ἐμαυτὸν μὴ δεδοκι- » μακέναι· ἀλλ' ὁ Ἔρως ἐνίκησε. Θεὸς οὗτος εὖ μάλα » γνωστὸς κατὰ τὸν ἄνω κόσμον· εἰ δὲ καὶ ἐνταῦθα » εἴη ἀμφιγνοῶ, ἀλλὰ γὰρ καὶ ἐνταῦθα μαντεύομαι » εἶναι, ἥ τε φήμη τῆς παλαιᾶς ἁρπαγῆς εἰ μὴ ψεύ- » δεται (3), καὶ ὑμᾶς Ἔρως συνῆψεν. Ἀλλ' ἐγὼ πρὸς » τῶν τόπων τουτωνὶ τῶν μεστῶν δεούς, πρὸς τοῦ » Χάους τοῦδε τοῦ ἀμυθήτου, καὶ τῆς σιγῆς τῆς » ἀπείρου ταυτησὶ βασιλείας, τῆς Εὐρυδίκης, ἱκετεύω, » τὸ ταχῦναν ἀνακλώσατε νῆμα. Πάντα γὰρ ὑμῖν » ὀφείλομεν (4), κἂν μικρόν τι χρονίσωμεν, ἢ θᾶττον » ἢ βράδιον πρὸς τὴν αὐτὴν πάντες οἰκίαν σπεύδο-

(1) Legit suo in codice, *decidimus*.

(2) Codex, κατεληλυθότα.

(3) Legit Planudes : « Famaque si *veteris* non est mentita » *rapinæ* » ; sed non ideo, quod putavit Burmannus, *mentita* erit passive capiendum.

(4) Pessimam habuit lectionem *debemus* pro optima *debemur*. Repone, ὀφειλόμεθα. Parilis Palladæ sententia Ep. 29 : Πᾶσι θανεῖν μερόπεσσιν ὀφείλεται, οὐδέ τίς ἐστιν Αὔριον εἰ ζήσει θνητὸς ἐπιστάμενος : iterum Ep. 130 : Πάντες τῷ θανάτῳ τηρούμεθα καὶ τρεφόμεσθα, Ὡς ἀγέλη χοίρων σφαζομένων ἀλόγως.

» μεν· δεῦρο πάντες συντείνομεν· οὗτος ἡμῖν ἔσχατος
» οἶκος, καὶ ὑμεῖς δὲ τοῦ ἀνθρωπείου γένους ἐπὶ
» μήκιστον τὴν βασιλείαν καλέχέλε. Καὶ δὴ καὶ αὕτη,
» ἐπειδὰν, τοὺς ἀνήκοντας ἐνιαυτοὺς διανύσασα, πί-
» πτειρος γένηται, τῆς ὑμῶν ἐξουσίας ἔσται. Ἀντὶ δωρεᾶς
» αἰτούμεθα τὴν ταύτης ζωήν (1). Ὡσ', εἴπερ ἀνα-
» νεύουσιν αἱ Μοῖραι, ἐλεύσομαι αὐτὸς ἀντὶ τῆς γυ-
» ναικός (2)· κεκύρωταί μοι τὸ μηδαμῶς ἐθελῆσαι ὑπο-
» στρέψαι. Τῷ τῶν δυεῖν θανάτῳ ἐφήσθηλε. » Τοιαῦτα
λέγοντι καὶ πρὸς ᾠδὴν τὰς χεῖρας (3) κινοῦντι αἱ ἀσώ-
ματοι ἐθρήνουν ψυχαί. Ἀμέλει γοῦν οὔτε Τάνταλος
τὸ ὑποφεῦγον ὕδωρ ἐπόθει, καὶ ὁ τοῦ Ἰξίονος τροχὸς
ἀκίνητος ἔμεινεν, οὐδὲ τοῦ Τιτύου ἧπαλος οἱ ὄρνεις ἤ-
πλοντο, καὶ αἱ Βηλίδες σχολὴν ἐκ τοῦ πίθου εἶχον,
καὶ σὺ δ', ὦ Σίσυφε, ἐπὶ τοῦ λίθου σαυτὸν κεκά-
θικας (4). Τότε δὴ πρῶτον τὰς τῶν Εὐμενίδων παρειὰς
ἠτιμωθεισῶν τῆς ᾠδῆς φήμη φέρεται διαβρόχους γενέσθαι.
Οὐδ' ἡ τοῦ βασιλέως σύζυγος, οὔτε μὴν αὐτὸς ὁ
τῶν ὑποχθονίων ἀρχῶν ἀνανεύειν ἰκετεύοντι ὑπομένει.
Καλοῦσι τοίνυν τὴν Εὐρυδίκην. Ἡ δὲ μεταξὺ τῶν πρω-
σφάτων ὑπῆρχε ψυχῶν. Καὶ προσῆλθε δὴ βραδυτέρῳ

(1) Latine: « pro munere pos-
» cimus usum. » Id est, ἀντὶ δω-
ρεᾶς χρῆσιν αἰτούμεθα, οὐ δωρεὰν,
ἀλλὰ χρῆσιν μόνον, καὶ ταῦτα προ-
σκαίρων. Planudes sensum non
vidisse videtur.

(2) Ovidius : « Quod si fata ne-
» gant *veniam* pro conjuge... »
Hic *veniam* nomen est, non ver-
bum. Vertas ergo : Εἴπερ ἀνανεύ-
ουσιν ταύτην ἀμφὶ τὴν γυναῖκα χά-
ριν αἱ Μοῖραι, κεκύρ. In eumdem
errorem et Glareanus inciderat.

(3) Ovidius : « nervosque ad
» verba moventem. » *Nervos*, qui
sunt lyræ, putavit esse manuum
Planudes, errore non ignoscen-
do.

(4) Hinc profecit Popius in
ode nobilissima : « Thy stone,
» o Sisyphus, stands still; Ixion
» rests upon his wheel, And the
» pale spectres dance; The Fu-
» ries sink upon their iron beds. »



οὐ πόῤῥω τῆς ἄκρας ἐπιφανείας ...
ὁ δὲ, τοῦ τε μὴ τὴν Εὐρυδίκην ἐκλιπεῖν
ἰδεῖν αὐτὴν ἐφιέμενος, ἔτρεψεν ὑπὸ φ
ὀφθαλμούς· ἡ δ' ἐκ τοῦ παραχρῆμα πά
καὶ δὴ, τὰς χεῖρας ἐκτείνουσα, ληφθῆνα
βεῖν πειρωμένη, οὐδενὸς ὅτι μὴ εὐενδότου
τέλο ἡ ταλαίπωρος. Ἤδη δ' αὖθις θν
ὁτιοῦν κατεμέμψατο τοῦ ἀνδρός· τί δήπο
τοῦτ', ἐγκαλεῖν εἶχεν αὐτῷ, ὅτι δὴ τα
καὶ « Χαίροις ὕστατ' » εἶπεν, ὃ μόλ
ἀκοὴν ἐδέξατο ἤδη, καὶ εἰς τὸν αὐτὸν αὖθ
τόπον. Οὔκουν ἄλλως ἀπηνεώθη τῷ τῆς
θανάτῳ Ὀρφεὺς, ἢ ὁ μετὰ δεούς ἰδὼν
κυνὸς τραχήλους, ὧν ὁ μέσος ἁλύσ
ὃν οὐ πρότερον τὸ δέος ἀπέλιπεν ἢ ἡ
λίθου διὰ παντὸς τοῦ σώματος ἀνατε
δὴ καὶ ὁ τὴν ἁμαρτίαν εἰς ἑαυτὸν ἑλκύ
θελήσας λυπηρὸς δοκεῖν εἶναι, καὶ
στηνε Ληθαία, ἡ τῷ σαυτῆς κάλλει
φέστατον μὲν τὸ πρόσθεν ἔχουσα στε
θος ἱσταμένη, ὃν ἡ πολύυδρος Ἴδη φ

μὴν αὐτὸν ἱκετεύοντα καὶ αὖθις εἰσελθεῖν ἐθέλοντα ἀπεῖρξεν ὁ πυλωρός· ὁ δ' ὅμως ἡμέρας ἑπτὰ τηκόμενος, δίχα Δήμητρος δώρου (1), ἐπὶ πέτρας ἐκάθητο· τροφὴ δ' αὐτῷ γέγονεν ἡ φροντὶς καὶ ὀδύνη τῆς ψυχῆς καὶ τὰ δάκρυα, καὶ τῶν τοῦ Ἐρέβους θεων ὡς ἀσπλάγχνων δὴ κατηγόρει. Ἐντεῦθεν δ' εἰς τὴν ὑψηλὴν Ῥοδόπην ἀνέλαβεν ἑαυτὸν, καὶ πρὸς τὸν τοῖς βορέαις τυπτόμενον Αἷμον. Τρίτος ἥλιος μετὰ τοῦτο τὸν ἐνιαυτὸν συνεπέραινε (2) τὸν τοῖς θαλαττίοις ἰχθῦσι συγκεκλεισμένον, καὶ πᾶσαν γυναικείαν ἀφροδίτην ἀπέφευγεν ὁ Ὀρφεὺς, εἴθ' ὅτι κακῶς αὐτῷ τοῦτο συμβέβηκεν, εἴθ' ὅτι τῇ γυναικὶ πίστιν ἐτήρει. Πολλὰς δ' ὅμως ἔρως ἐξέκαυσε συναφθῆναι τῷ μάντει· πολλαὶ δ' ὠδυνήθησαν ἀποκρουσθεῖσαι (3). Ἐκεῖνος καὶ τοῖς τῶν Θρᾳκῶν δήμοις ἡγήσατο πρὸς τοὺς ἁπαλοὺς ἄρρενας μεταφέρειν τὸν ἔρωτα, δεῖν παραινῶν ἐντὸς τοῦ τῆς νεότητος χρόνου τὸ βραχὺ ἔαρ καὶ τὰ πρῶτα δρέπεσθαι ἄνθη.

Ἦν δέ τις λόφος, ὑπὲρ δὲ τὸν λόφον λειοτάτη τις πεδιάδος ἅλως, ἣν χλοάζειν ἡ τῆς ἀγρώστεως (4) πόα παρεῖχε· σκιὰ δὲ πᾶσα τοῦ χώρου ἀπῆν. Ἔνθα καθίσας ὁ θεοῖς γεννηθεὶς μάντις τὰς πολυφθόγγους ἐκίνει χορδάς. Αὐτίκα δὲ σκιὰ τῷ χώρῳ ἐπῆλθε. Καὶ

» thine, if 'tis no crime to love. »

(1) Glossa est in codice, σίτου.

(2) Cod. συνεπαίρενε. Simili literarum ε et αι variatione, cod. habet ad 182, πεδιᾶς pro παιδιᾶς: ad 642, προσήνεγκαι.

(3) Cod. ἀποκρουσθῆσαι. Eadem variatione, infra ad 285, cod. συνεχῆ pro συνεχεῖ: ad 661, cod. εἴη pro ᾔει (cf. pag. 82, 331), ut et ad 663, προειη pro προῄει.

(4) Anonymus ad Canticum Moysis e Deuteron. in Catena Corderiana: ἡ ἄγρωστις καὶ ὁ χόρτος βοτάναι εἰσὶν ἄκαρποι, καὶ ὥς φησιν ὁ Σωτὴρ, εἰς κλίβανον βαλλόμεναι· ἄνεισι δὲ μάλιστα εἰς κεχηρσωμένα καὶ ἀγεώργητα χωρία.



95 βαλανοις ...
μόδιος (2), καὶ σφένδαμνος διάφορος
φίλυδρος ἰτέα, καὶ ἐν ὕδασι διαιτωμ
ἀειθαλὴς πύξος, καὶ λεπταὶ μυρῖκαι,
μύρτος, καὶ ἐλαία γλαυκή (3). καὶ σὺ
100 ἦλθες, κιτρὲ, ἅμα γε δὲ καὶ ἑλικώδη
κλήμασι πεπειλημμένοι πτελεοὶ, καὶ
ἐλάται, καὶ μήλοις ἐρυθροῖς βεβομέν
νικηθοῦ γέρας εὐκαμπὴς φοίνιξ, καὶ τ
ἐχινώδης δὲ τὴν κορυφὴν πίτυς, καὶ

(1) Arborum nomina, πλατύφυλλος, φίλυρα, πεύκαι καρύαι, μελία, σφένδαμνος, addidi, quibus explerem relictas ab interprete lacunas, qui synonymas non invenerat voces quibus *æsculus*, *tilia*, *coryli*, *fraxinus*, *acer*, græce signarentur. Atque mox pariter, lacunulas alias ut implerem, inserui nomina arborum aliarum alia, πτελεοὶ (scripsissem πτελεαὶ usitatius, ni Planudeum πεπειλημμένοι servare voluissem), καὶ βουμελίαι, καὶ πεῦκαι, et jam Ovidianæ *ulmi*, *ornique et piceæ* πρὸς ἡδυπάτ

(3) Hab
nus, aut c
quid esset
borem sul
aut Heins
men novi
bere cred
baccis; p
minatur.

(4) Co
prio su
latinum
tus græc
λέα, sed
natur.

μηλεὶ τῶν θεῶν· καὶ γὰρ ὁ Κυβέλειος Ἄττις ἐν αὐτῇ τὸν ἄνθρωπον ἐξεδύθη, καὶ τῷ σελέχει ἐκείνῳ ἐσκληρύνθη.

Προσελθὼν τῷ τούτων ὁμίλῳ καὶ ἡ τὰ τέρμαλα καὶ τοὺς καμπῆρας μιμουμένη κυπάρισσος, νῦν μὲν δένδρον, πρόσθεν δὲ παῖς ἐξ ἐκείνου ἐρώμενος τοῦ θεοῦ, ὃς νευρᾶς τὴν κιθάραν, νευρᾷ (1) καὶ τὸ τόξον ἁρμόζει. Ἱερὸς γὰρ ταῖς ἐχούσαις Καρχαῖα (2) πεδία Νύμφαις μέγας ἔλαφος ἦν· βαθεῖαν (3) δ' ἐδίδου σκιὰν τοῖς εἰς πλάτος ἠνεφῳόσιν ἐν ἑαυτοῦ κεφαλῇ κέρασιν· καὶ χρυσῷ τὰ κέρα ἐλάμπετο, καὶ περιδέραια εἰς ἁρμοὺς συμβεβλημένα καὶ περικείμενα τῷ ἀπαλῷ τραχήλῳ καθεῖντο· καὶ ἀργυροῦν πέταλον ὑπὲρ τοῦ μετώπου λεπτοῖς ἱμᾶσι συνδεδεμένον ὑπεκινεῖτο· ἴσοι τε τὸ μέγεθος λίθοι περὶ τοὺς κοίλους κροτάφους ἐκ τῶν ὤτων ἀμφοῖν ἀπέστιλβον. Οὗτος δή, φόβου παντὸς ἔρημος ὤν, καὶ τὴν ἔμφυλον ἀπολεθειμένος δειλίαν, εἰς οἰκίας ἐνδιαιτᾶσθαι, καὶ παρέχειν εἰώθει τὸν τράχηλον καὶ ἀγνώστοις χερσὶ καταψᾶν. Περί γε μὴν πάντων σοὶ, περικαλλέστατε τῶν Κώων ἐθνους (4), Κυπάρισσε, χαρίεις ἐτύγχανεν ὤν. Σὺ γὰρ αὐτὸν πρὸς νέας νομὰς, σὺ πρὸς διαφανοῦς πηγῆς ἐκόμιζες ὕδωρ·

(1) Cod. *νευρά*. Velim bis *νευρᾶς*. Nimis fuit timidus Planudes, et, quum uno arcus nervo temperetur, cithara autem pluribus, arcui non ausus est uni plures, post Ovidium, tribuere nervos.

(2) Jam lapsus est circa hoc nomen, malam secutus lectionem : cf. pag. 287. Oportuit Καρθαῖα.

(3) Cod. *βαρεῖαν*. Notam permutationem illustravi ad Eunapii Sophistarum Vitas. Mox, ut efficeretur sensus, debuit saltem scribere : *βαθεῖαν δὲ τῇ ἑαυτοῦ κεφαλῇ σκιὰν ἐδίδου τοῖς εἰς πλάτος ἠνεῳγόσι κέρασι*.

(4) Num invenit *Coæ*, pro eo quod habemus, *Ceæ*? Repone, Κείων. Hæc nomina sæpe variari docet Verheykii nota ad Antonin. Liberalem, p. 4.



ὁ δ' ἔλαφος κοπωθεὶς ἐν πραζούσῃ γῇ
καὶ ὑπὸ δένδρου σκιὰν ἀνέψυχεν ἑαυτ
ρισκέπτως ὁ παῖς Κυπάρισσος ὄξει δ
ἰδὼν δ' ἔπειτα τῷ δεινῷ τραύματι
λεσθαι καὶ αὐτὸς ἀποθανεῖν ἔστησε κ
γε μὴν ὁ Φοῖβος οὐκ ἤνεγκε τούτῳ
κουφότερον ἀλγεῖν, καὶ ὅσον γε ἡ
ἀπῄτει, παρῄνεσεν· ὁ δ' ὅμως ἔ
δῶρον ὕστατον αἰτεῖται πρὸς τῶν
χρόνον πενθεῖν. Καὶ δὴ, διὰ τῶν ἀμυ
κριθέντος τοῦ αἵματος, εἰς χλωρὰν
τὰ μέλη τρέπεσθαι· καὶ ἡ μικρῷ π
τοῦ χιονώδους μετώπου κόμη φρίσσο
γίνεσθαι, καὶ, δεξαμένη σκληρότητα,
ἄστρα (4) λεπτῇ κορυφῇ βλέπειν ἀρ
ναξε τοίνυν ὁ θεὸς, καὶ « Πενθήσῃ
« ταλαίπωρε, πενθήσεις δ' αὐτὸς ἀ
» ὀδυνωμένοις παρέσῃ. »

(1) Scripsi αἱ pro τῇ, quod reperi in codice.

(2) Codex, τὸν θεόν. Hæc per- ... et ω sæpissime su-

ticanus, τῶν φόνω malim.

(3) Co

Τοιοῦτον ὁ μάντις ἐφειλκύσατο νέμος. Καὶ μέσος δὴ τοῦ τε θηρῶν συνεδρίου, καὶ τῆς ὁμηγύρεως τῶν ὀρνίθων καθῆστο. Ἐπεὶ δ' ἅλις τῷ λιχανῷ τὰς χορδὰς πλήκτλων ἐπείρασε, καὶ ἡσθέλο τῶν ποικίλων φθόγγων, εἰ καὶ τὰ μάλιστα διάφορα ἠχοῖεν, συμφωνούντων, τήνδε τὴν φωνὴν ἀΐδων ἐκίνησε· « Θύγαλερ Διός, Μοῦσα μῆτερ (καὶ γὰρ τῇ τοῦ Διὸς » ἀρχῇ πάνθ' ὑπείκει), τὴν ἡμελέραν ᾠδὴν αὐτὴ » κίνει (1). Πολλάκις μέν μοι σεσθεν ἡ τοῦ Διὸς » βασίλεια ὑμνήθη, καὶ ἦσα ϛαρυλέρῳ πλήκλρῳ τοὺς » Γίγαντας, καὶ τοὺς διασπαρέντας τοῦ νικήσαντος » Διὸς ἐν τοῖς Φλεγραίοις πεδίοις κεραυνούς· νῦν » δὲ κουφολέρας δεῖ λύρας (2). Καὶ δὴ παῖδας ἀσω» μεν τοῖς θεοῖς ἐρωμένους, καὶ κόρας ἀπειρημένῳ » πυρὶ ἔρωλος ἐκμανείσας, καὶ δίκην ὑποσχούσας » ταυλησὶ τῆς ἐπιθυμίας. Ὁ τῶν θεῶν βασιλεὺς τῷ » τοῦ Φρυγίου Γανυμήδους ἔρωτί πολε ἐξεκαύθη, καὶ » εὗρέ τι γενέσθαι ὃ Ζεὺς ὃ μᾶλλον ἂν ἦ ὅπερ ἦν » εἶναι ἐθέλοι. Οὐ μὴν εἰς ἕτερον ὄρνιν μελαμεῖψαι » ἑαυλὸν ἠξίωσεν, ὅτι μὴ εἰς τοῦτον ὃς ἐπὶ γῆν κο» μίζει τοὺς αὐτοῦ κεραυνούς, ἀελὸν λέγω. Αὐτί» κα δὲ (3), ψευδομέναις πλέρυξι πλήξας δὴ τὸν » ἀέρα, ἀναρπάζει τὸν Ἰλιάδην, ὃς καὶ νῦν τὸ πό» μα κιρνᾷ, καὶ τῷ Διὶ τὸ νέκλαρ, καὶ τῆς Ἥρας » μὴ βουλομένης, οἰνοχοεῖ (4).

» Καὶ σὲ δ', Ἀμυκλείδη, ἔθελο ἂν εἰς αἰθέρα ὃ

(1) Cod. κιτῖ. Ovidius, *move*.

(2) Eodem sensu Basilius inter Anacreontea: Δότε μοι λύρην Ὁμήρου Φοίνιξ ἄπευθε χορδῆς.

(3) Cod. δὴ, quod mutavi ob sequens δὴ, ne esset iteratio adverbii molesta. Tam sæpe δὲ et δὴ legimus permutata, ut nihil temere nunc fecisse videar.

(4) Cf. not. ad Aristæn. p. 721.

» Φοῖβος, εἴ γε αἱ χαλεπαὶ Μοῖραι χρόνον ἐδεδώ-
» κεισαν (1) εἰς τὸ θεῖναι. Ὅμως δ' ὅσον ἐξεγένετο,
» ἀθάνατος εἶ, καὶ ὁσάκις ἀπωθεῖται τὸν χειμῶνα
» τὸ ἔαρ καὶ τοὺς φιλύδρους Ἰχθῦς ὁ Κριὸς δια-
» δέχεται, καὶ σὺ τοσάκις ἀνίσχεις, καὶ ἐν ῥίζῃ χλοα-
» ζούσῃ ἀνθεῖς. Σοῦ γὰρ οὐμὸς ὑπὲρ πάντας παλὴρ
» ἠράσθη. Καὶ τηνικαῦτα οἱ κείμενοι κατὰ τὸ μέ-
» σον τῆς οἰκουμένης Δελφοὶ (2) τοῦ ἡγεμόνος ἐστέ-
» φοντο, τοῦ θεοῦ περὶ τὸν Εὐρώταν καὶ τὴν ἀτεί-
» χιστον Σπάρτην (3) συχνὰ φοιτῶντος. Ἀμέλει καὶ
» οὔθ' ἡ κιθάρα, οὔτε τὰ βέλη διὰ τιμῆς αὐτῷ
» γίνεται· ἀλλὰ καὶ αὐτοῦ ἐπελάθετο· καὶ γὰρ οὔτε
» δ'κλυα φέρειν ἀπαναίνεται, οὔτε κύνας καθέχειν,

(1) Codex, *χρόνον ἐδεδώκεσαν.*

(2) Ovidius rursus xv, 630: « mediamque tenentes Orbis hu-» mum Delphos adeunt » : ubi Heins. Epigramma 78, inter Priapeia : « Pallas Cecropias » tuetur arces, Delphos Pythius » orbis umbilicum » : ubi Burmann. Euripidi Iph. T. 1258, Apollo dicitur *μέσον γᾶς ἔχων μέλαθρον* : Sophocli, Œd. T. 479, sicarius qui Laium interfecit, *τὰ μεσόμφαλα γᾶς ἀπροσφίζων μαντεῖα.* Adde schol. ad Eurip. Phœn. 237; ad Orest. 321; Stanl. ad Æsch. Eum. 40; Heyn. ad Pindari Fragm. pag. 56; et Millin. in Monumentis Ineditis t. I, p. 278, ubi vas pictum exhibet et illustrat, in quo visitur ipsius umbilici prope sacrum tripodem locus. Error fuit parilis Judæorum, qui, verbis Ezechielis 5, 5, egregie abusi, Judæam in medio terrarum orbis meditullio sitam esse putabant : cf. Relandi Palæstina c. 10.

(3) Notæ de Sparta immunita Gierigianæ paululum jejunæ adde quæ Jacobus A Cruce et Burmannus hic adposuerunt, et, supra ad VI, 414, Ciofanus. Claudianus Cons. Mallii Theodori 154 : « Civibus et vetitis ignavo » credere muro Tutius objecit » nudam Lacedæmona bellis » Lycurgus : ubi vide Barthium. Lysias in Oratione Olympiaca p. 914, de Spartanis : *μόνοι δὲ οἰκοῦντες ἀπόρθητοι, καὶ ἀπίχθοι.* Scholiastes Philostrati Heroic. pag. 499 : *Σπαρτιᾶται ἐρωτηθέντες ποῦ τὸ ἑαυτῶν πῖχος ἐν ᾧ φυλαχθήσονται, εἶπον δεῖσαι, πὰς λόγχας αὐτῶν εἶδιξαν* : ubi et alia indicavi.

» οὔτε μὴν καλὰ τὰς ἀκρας τῶν ὀρῶν ἰέναι συνέμ-
» πορος. Καὶ δὴ τῇ μακρᾷ συνηθείᾳ τὸ πῦρ τοῦ
» ἔρωτος τρέφει. Ἤδη μὲν οὖν ὁ ἥλιος μέσος ἦν
» τῆς τε ἐπιούσης καὶ παρελθούσης νυκτὸς, καὶ ἴσῳ
» ἑκατέρωθεν διέστατο διαστήματι· ἀμφότεροι δὲ τὰ
» σώματα τῆς ἐσθῆτος κουφίζουσι, καὶ λιπαρᾶς
» ἐλαίας χυμῷ στιλβοῦνται (1), καὶ πρὸς ἀγῶνα τοῦ
» παλαίστου δίσκου συνίασιν· ὃν πρότερος ὁ Φοῖβος
» περιδινήσας εἰς τὰς ἀερίας αὔρας ἀφῆκε, καὶ τὰς
» ἐπιπρησθούσας νεφέλας τῷ βάρει διέρρηξε· μετὰ
» δὲ μακρὸν χρόνον εἰς τὴν στερεὰν αὖθις γῆν τὸ βά-
» ρος καταέπεσε, καὶ ἐπεδείξατο τέχνην συνημμένην
» τῇ ῥώμῃ. Αὐτίκα δ' ὁ νηπιώδης Ταιναρίδης τῇ ἐπι-
» θυμίᾳ τῆς τέχνης τε καὶ παιδιᾶς τὸν δίσκον ἐσπευ-
» δεν αἴρειν. Τὸν δὴ (2) σκληρὰ γῆ, πάλιν ἀνταναχον-
» τίσασα πρὸς ἀέρα, πρὸς τὸ σὸν εὐθὺς ὑπέθηκεν,
» Τάχιν θε, πρόσωπον. Ὠχρίασαν δ' ἐπίσης ὅ, τε
» παῖς καὶ αὐτὸς ὁ θεός. Καὶ τὰ μέλη τοῦ παι-
» δὸς ὁ θεὸς παρεθέντα ἀναλαμβάνει, καὶ νῦν μὲν
» περιθάλπει, νῦν δὲ τὰς ἀθλίας πληγὰς ἀπομόρ-
» ξυσι, νῦν δὲ τὴν ψυχὴν φεύγουσαν, ἐνιεὶς βολάνας,
» παρακαλέχει. Οὐδὲν μέντοι λυσιτελοῦσιν αἱ τέ-
» χναι· καὶ γὰρ ἀθεράπευτον ἦν τὸ τραῦμα. Ὡς δ'
» εἴ τις ἴα ἢ μήκωνας ἐν εὐθαλεῖ λειμῶνι ἢ καὶ κρί-
» να καλάξοι, τοῖς ξανθοῖς (3) ξύλοις αὐτῶν προσισχό-

(1) Codex, στιλβοῦντα. Sæpe corrumpi vocum fines notum est: sic ad 215, cod. αὐτοὺς pro αὐτός: ad 277, cod. ἑαυτᾶις pro ἑαυτῆς: ad 350, cod. χαλεπὰς pro χαλεπαῖς: ad 476, cod. ἀλαμπῆς pro ἀλαμπεῖς: ad 589, cod. δεξάσας pro δεξάσης: ad 676, cod. δεῖν pro δεῖ.

(2) Et hic malim δ': conf. pag. 429.

(3) Cod. ξ. ἔπ: ἔπ quasi deleto.

» μενα, τὰ δ' εὐθὺς μαραινθέντα τὴν κεφαλὴν βα-
» ρυνθεῖσαι κλαφέῃσι, οὐδ' ὑπανέχοι ἑαυτὰ, τῇ δὲ
» κορυφῇ πρὸς τὴν γῆν βλέποι· οὕτω τὸ πρόσω-
» που ἐκείνου ἐκπνέοντος κεῖται, καὶ ἡ κεφαλὴ, τῆς
» ζωτικῆς δυνάμεως αὐτὴν ἐκλιπούσης, αὐτή τε
» ἑαυτῇ πρὸς βάρους ἐστὶ καὶ ἀνακλίνεται γε ἐπὶ
» τῶν ὤμων. Πέπλωκας τοίνυν, ὁ Φοῖβος εἶπεν, Οἰ-
» βαλίδη, κατὰ τὴν πρώτην νεότητα φθονηθείς (1)·
» ἐγὼ δ' ἐμαυτοῦ πλαῖσμα τὸ σὸν ὁρῶ τραῦμα.
» Ἄλγος δὲ καὶ ἄλγος (2) ὁ αὐτὸς ἐμοὶ γέγονας, καὶ ἡ
» ἐμὴ δεξιὰ τῷ σῷ θανάτῳ ἐπιγραφήσεται. Ἐγὼ
» γὰρ εἰμί σοι τῆς τελευτῆς αὐτουργός. Τί δ' ὅμως
» τοὐμὸν πλαῖσμα; εἰ μή που τὸ παῖξαι πλαῖσμα
» πρᾶγμα εὑρεῖν δύναται, εἰ μή που δύναται
» πλαῖσμα τὸ ἐμὸν θῆναι πρᾶγμα εὑρεῖν. Ἀλλὰ
» γὰρ εἴθε μοι ἐξῆν ἀντὶ σοῦ τὴν ζωὴν ἢ καὶ σὺν
» σοὶ ἀποδοῦναι! οὗπερ ἐπειδὴ πρὸς τοῦ νόμου τῶν
» Μοιρῶν ἐπέχομεθα, ἀεὶ δήπου σὺν ἐμοὶ ἔσῃ, καὶ
» ἐν μνήμονί μοι τῷ σώματι κοληθήσῃ. Σὲ δὲ
» πλητομένη τῇ χειρὶ λύρα καὶ αἱ ἡμέτεραι ᾠδαὶ
» ᾄσονται, καὶ νέον γενόμενος ἄνθος γράμμασι μι-
» μήσῃ τοὺς ἐμοὺς σπεναγμούς. Ἔσται γε μὴν κἀ-
» κεῖνος ὁ χρόνος, καθ' ὃν ἑαυτὸν ὁ κραταιότατος
» ἥρως Αἴας εἰς τόδε πρόσθησει τὸ ἄνθος, καὶ τῷ
» αὐτῷ φύλλῳ ἀναγνωσθήσεται. Τούτων διαμνημο-

(1) Facilis foret mutatio φονηθείς, et quæ posset iis adstrui quæ de permutatione vocum φθόνος et φόνος notavi ad Nicetam. Nolis tamen mutare quod scriptum est. Nam Ovidiana « prima » *fraudate* juventa » sic, nec male, verti potuerunt. Et φθονηθείς firmari potest alia mea ibidem observatione de invidia deorum.

(2) In alliteratione lusit.

» νευομένων τῷ σλόμαλι τοῦ Ἀπόλλωνος, ἰδοὺ τὸ αἷ-
» μα, ὃ χυθὲν καλὰ γῆς τὴν πόαν ἐπέχρωσεν, ἔληξε
» μὲν αἵμά γε εἶναι, Τυείας δὲ κοσχύλης τηλαυγέ-
» σλεργον ἄνθος ἀπέσχε, καὶ μορφὴν δέχεσλαι ἣν καὶ τὰ
» κείνα, εἰ μὴ τούτοις (1) μὲν πορφυρῆν ἦν τὸ χρῶ-
» μα, λευκὸν δὲ ἐκείνοις. Ἀλλ' οὐκ ἀπέχρησε τοῦτο
» τῷ Φοίβῳ· αὐτὸς γὰρ αὐτόχειρ τῆς τιμῆς γέ-
» νεσις, αὐτὸς τοὺς οἰκείους σλεναγμοὺς τοῖς φύλλοις
» ἐπέγεγραφε, καὶ AI AI τὸ ἄνθος ἔχει δὴ γεγραμ-
» μένον, καὶ γεφύμαλα ἐν αὐτῷ διῆλαι θανάσιμα.
» Ἀμέλει γοῦν οὐ περὶς αἰσχύνης τῇ Σπάρτῃ γίνε-
» ται τὸ περσενεγκεῖν Ὑάκινθον· καὶ ἐς τόδε γὰρ
» τοῦ αἰῶνος αἱ τιμαὶ διαρκοῦσι, καὶ τελούμενα τὰ
» Ὑακίνθια τῷ τῶν περγόνων ἔθει ἐτησίως ἐπάνει-
» σιν ἐξηρημένη πομπῆ.

» Ἀλλ' εἴπερ ἴσως ἔρριο τὴν γνιμωλάτην μετάλ-
» λων Ἀμαθοῦντα πότερον αἱρεῖτο γεγεννηκυῖα εἶναι
» τὰς Πρωπήτιδας ἢ μή, ἀνανεύσει, καλὰ ταυλὰ
» δὴ (2) κἀκείνοις οἷς πολὲ διπλῷ κέρασι τραχὺ γέ-
» γονε μέτωπον· ὅθεν δὴ καὶ τοὔνομα ἐπεσπάσαντο
» Κεράσλαι. Περὶ γὰρ τῶν θυρῶν τούτων Ξενίου βω-
» μὸς ἑσλήκει Διὸς (3), πολυσλόνου τολμήμαλος (4)·

(1) Melius esset *πύτῳ*: habuit *his*, non *huic*, suo in codice Planudes. In Diario Imperii, ad d. 17 Maii 1812, Celsii viri in botanica doctrina consummatissimi opinionem protuli qui hyacinthum classicum lilium martagonem esse putabat; atque addere me memini, quum duos flores sæpe confuderint Veteres, unum e sanguine Hyacinthi natum, alterum ex Ajacis sanguine, videri mihi lilium martagonem florem esse Ajacis, delphinium autem Ajacis Hyacinthi florem.

(2) Mutavi codicis lectionem *δή*: cf. pag. 429.

(3) De Jove *Ξενίῳ* notavit Creuzer. in Meletem. part. 1, pag. 16.

(4) Legit, quod plerique legunt, *lugubris sceleris*. Variantes loci

» ὃν εἴ τις νέηλυς βεβαμμένον φοινεῖδεν αἵματι,
» ἐπίστευσεν ἂν Ξηλάζοντας ἐκεῖ μόσχους ἐσφαγιά-
» σθαι καὶ Ἀμαθουσιακὰς ὄϊς· ἐπεφόνευτο δ' ἄρα
» ξένος. Ἡ θεία δ' Ἀφροδίτη τὸ ἀνόσιον δυσα-
» νασχετήσασα ἱερεῖον, αὐτὴ τὰς ἑαυτῆς πόλεις καὶ
» τὰ Ὀφιούσια πεδία ἐν παρασκευαῖς ἦν ἐκλιπεῖν.
» Ἀλλ' οὖν, εἶπε, τί δή ποτε οἱ ἡδεῖς ἐμοῦ τόποι,
» τί δ' αἱ ἐμαὶ πόλεις ἐξήμαρτον; τίς ἐν ἐκείνοις
» καλλιγενεία; Ὑπερφερία μᾶλλον τὸ ἀσεβὲς ἔθνος
» τοῦτο τὰς δίκας τίσει ἢ θανάτῳ, ἢ εἴ τί που
» μέσον ἐστὶ φυγῆς καὶ θανάτου. Τοῦτο δὲ τί πού
» ἂν εἶναι δύναιτο; εἰ μὴ τιμωρία τὴν μορφὴν αὐ-
» τῶν μεταβάλλουσα. Διστάζουσα τοιγαροῦν φρὸς
» ὅ, τι που ἂν αὐτοὺς μεταμείψειε, φρὸς τὰ τού-
» των χέρα σπρέφει τὴν ὄψιν, καὶ εἰς νοῦν ἦλθε
» ταῦτα (1) αὐτοῖς οἷόν τ' εἶναι καλαλειφθῆναι, καὶ
» τὰ ὑπέρογκα τούτων σώματα εἰς μόσχους βλο-
» συρὸς μεταβάλλει.

» Ἀλλ' ὅμως ἀσχήμονες Πρωπήτιδες τολμῶσιν
» ἀρνεῖσθαι τὴν Ἀφροδίτην μὴ εἶναι θεόν· ὑπὲρ οὗ,
» τῇ τῆς θεᾶς ὀργῇ, τὰ ἑαυτῶν σώματα φρῶτον
» γυμνὰ λέγονται θεραμβεῦσαι (2). Αἱ δ', ὡς αἰσχύ-

conclamati lectiones adposuere interpretes « lugubris sceleris, » sceleri, celeri, celeris. » Sic autem editus fuit ab omnibus: « stabat Jovis Hospitis ara, Lu- » gubris sceleris, quam si quis » sanguine tinctam Advena vi- » disset » ..... Miror neminem adhuc vidisse in *sceleris* vel *celeri* quærendum esse epithetum cum *advena* vel *sanguine* jungendum. Propono interea, dum melius quid afferatur: « stabat » Jovis Hospitis ara Lugubris; » *calido* quam si quis sanguine » tinctam Advena vidisset. »

(1) Legitur in codice, ταῦπά π.

(2) Ovidius: « corpora cum » forma », i. e. corpora et for-

» νη ἔληξε πᾶσα καὶ τὸ ἐν τῷ προσώπῳ αἷμα
» ἐσκλήρυνται, εἰς ἀντίτυπον λίθον βραχεῖ τινὶ τῷ
» διαλλάττοντι μεταβέβληνται.

» Ταύτας ὁ Πυγμαλίων ἰδὼν δι' ἀσχημοσύνης
» τὸν οἰκεῖον διαγιγνομένας αἰῶνα, καὶ ταῖς τούτων
» προσοχθίσας κακοηθείαις, ἃς πλείστας ἡ φύσις
» τοῖς γυναικείοις λογισμοῖς δέδωκε, γυναικὸς χωρίς
» διῆγε, μηδ' ὁτιοῦν προσαπτόμενος γάμου, καὶ μέ-
» χρις πολλοῦ κοινωνοῦ τοῦ λέχους ἄμοιρος ἦν. Μετὰ
» δὲ ταῦτα, χιονώδη ἐλέφαντα θαυμαστῇ τινὶ τέ-
» χνῃ καὶ εὐφυῶς ἔγλυψε, καὶ τούτῳ μορφὴν δέδωκε,
» μεθ' οἵας οὐδὲ μία γυνὴ δύναται γεννηθῆναι. Καὶ
» δὴ τοῦ οἰκείου ἔργου συνείληφεν ἔρωτα. Παρθένου
» γὰρ ἦν ὄντως τὸ εἶδος, ἣν ἐμπνεῖν ἂν πιστεύσαις,
» κἂν, εἰ μὴ ἀνθίστατο ἡ αἰδὼς, καὶ κινεῖσθαι δὴ βού-
» λεσθαι. Διὰ δὴ ταῦτα καὶ ἡ τέχνη λανθάνει. Ὁ
» δὲ Πυγμαλίων τήν τε ἑαυτοῦ τέχνην θαυμάζει (1),
» κἂν τῇ ψυχῇ τὸν τοῦ πεπλασμένου σώματος
» εἰσδέχεται ἔρωτα. Καὶ πολλάκις πειρώμενος ἐπι-
» βάλλει τῷ ἔργῳ τὰς χεῖρας, πότερον ἂν εἴη σῶμα
» ἢ ὁ ἐλέφας ἐκεῖνο (2)· καὶ οὐκέτι ἐλέφαντα πεί-

mam, corpora formosa. Planudes omisit verba *cum forma*. Poteris vertere: λέγονται σὺν τῇ καλλοσύνῃ θρ. vel λέγ. καὶ τὴν ὡραιότητα θρ. Illustrando verbo θριαμβεῦσαι facit apprime Suidas, cui Θριαμβεύσας vertitur δημοσιεύσας. Cf. Ducæus in Jo. Chrysost. de Juliano.

(1) Ovidius: « Ars adeo latet arte sua; miratur » — Male lecta verba male vertit. Legisse enim videtur, « Ars *ab eo* latet; » *artem suam* miratur. » Repone: οὕτως ἡ τέχνη τὴν τέχνην ἀπέκρυψ! Ὁ δὲ Πυγμ. θαυμάζει.—

(2) Cod. ἐκεῖνος. Ovidius: « Sæpe manus *operi* tentantes admovet, an sit Corpus, an *illud* ebur. » Putavit interpres *illud* ab *ebur* pendere, quod a *corpore* pendet. Mendum correxi; nimia in talibus diligentia parum utilis esset. Mox Planudes legit: « nec *adhuc* ebur esse fatetur. »

» θέται εἶναι, φιλήματά τε δίδωσι καὶ λαμβάνειν
» οἴεται, προσφθέγγεταί τε καὶ περιέχεται, καὶ πι-
» στεύει τοὺς δακτύλους ἁπτομένων τῶν μελῶν συ-
» νιζάνειν, καὶ ἐδεδοίκει μή πως πελιδνότης τις τοῖς
» θλιβομένοις ἐπιγένηται μέλεσι. Καὶ νῦν μὲν κολα-
» κείας προσάγει ταύτῃ· νῦν δὲ δῶρα φέρει κεχα-
» ρισμένα ταῖς κόραις, κόγχας τε καὶ σφαιροειδῆ
» λιθίδια, καὶ σμικρὰς ὄρνεις, ἄνθη τε μυριόχροα,
» καὶ κρίνα, καὶ καταγράπτους σφαίρας, καὶ τὸ
» ἐκ δένδρου τῶν Ἡλιάδων καταῤῥυὲν δάκρυον· κο-
» σμεῖ τε τὸ σῶμα ἐσθῆσι, δίδωσί τε δακτυλίους
» τοῖς δακτύλοις διαλίθους, καὶ μακρὰ περιδέραια
» τῷ τραχήλῳ (1)· καὶ κοῦφα μὲν ἐνώτια τῶν ὤτων,
» ταινίαι δὲ τῶν στέρνων ᾐώρηνται. Πάντα μὲν οὖν
» αὐτῇ πρέπει. Ἀλλὰ μὴν οὐδὲ γυμνὴ ἧττόν τι εὐει-
» δὴς φαίνεται. Κατακλίνει δ' αὐτὴν ἐπὶ στρωμνῆς (2)
» Σιδωνίᾳ κογχύλῃ βεβαμμένης, καὶ κοινωνὸν ὀνομάζει
» τοῦ λέχους, καὶ τὸν κατακλιθέντα τράχηλον, ὡσὰν
» αἰσθησόμενον, μαλακῷ κατατίθησι καὶ ὑποπτέρῳ
» προσκεφαλαίῳ. Ἡμέρα δ' ἑόρτιος τῆς Ἀφροδί-
» της, τιμωμένη πάσῃ τῇ Κύπρῳ, ἐνέστη, κἀν τοῖς
» ἡμέροις (3) κέρασι χρυσὸν περικεχυμέναι δαμάλεις

(1) Legit Planudes, « et *longa* » monilia collo » ; non, quod, post Heinsium, scripsit Gierigius, « *longo*que monilia collo. » Non nego *longum* collum in partibus esse pulchritudinis ; sed nunc agitur de ipsis donis, eaque laudantur : sunt munera *grata* puellis, lapilli *teretes*, *parvæ* volucres, *multicolores* flores, et pilæ *pictæ*, et *leves* baccæ, et *longa* monilia : epitheta rebus datis tribuit, non ornatis partibus ; *artus*, *digiti*, *aures*, *pectus*, carent epitheto, et *collum* carere potest.

(2) Ut Philopinax Aristæneteus pictæ a se puellæ imaginem efflictim amans : ἐπέθηκα, inquit τῇ κλίνῃ, ἠγκαλισάμην, ἐπεβέβληκ τῶ στήθει, ἵνα τυχὸν τὸν ἔνδον ἔρω' θεραπεύσω.

(3) Cod. ἡμετέροις. Vertere

» ἐπιπλον, τὸν χιονώδη παλπτόμενα τέχνην καὶ
» τὰ θυμιάματα καπνὸν ἀνεδίδου. Καὶ δεόμενος ὁ Πυγ-
» μαλίων χρησάμενος τῷ βωμῷ ἐπέστη, καὶ σὺν
» δειλία ταῦτα εἶπεν· Εἰ πάντ', ὦ θεοὶ, δίδοναι δύ-
» νασθε, γένοιτο, εὔχομαι, ἡ παρθενικὴ ἐλέ-
» φαντι (1) παρθένος (οὐδὲ γὰρ ἐτόλμησεν εἰπεῖν ἐλε-
» φαντίνη) ἡμελέγη σύνευνος. Ἠθέλησε τοίνυν ἡ χρυσῆ
» Ἀφροδίτη (καὶ γὰρ αὐτὴ ταῖς ἑαυτῆς παρῆν ἑορ-
» ταῖς) τί δή ποτ' ἂν ἐκείναι αἱ εὐχαὶ βούλοιντο·
» καὶ κληδὼν τῆς φιλτάτης θεοῦ φλοὶξ ἀνήφθη (2),
» καὶ γεγαμμένην διὰ τοῦ ἀέρος διήγαγεν. Ἐπεὶ δ' ἐπα-
» νῆκεν ἐκεῖνος, πρὸς τὸ τῆς ἑαυτοῦ κόρης ἄπει-
» σιν ἄγαλμα, καὶ, ἀνακλιθεὶς ἐπὶ τῆς κλίνης, ἐδί-
» δου φιλήματα· ἡ δ' ὑποθερμαίνεσθαι ἔδοξεν· ὁ δ'
» αὖθις ἐπιβάλλει τὸ στόμα, καὶ χερσὶ τοῦ σήθους
» ἀποπειρᾶται· ὁ δ' ἐλέφας ψηλαφηθεὶς ἀπαλύνε-
» ται, καὶ, τὴν ἀντιτυπίαν ἀποτιθέμενος, ὑφιζάνει
» τοῖς δακτύλοις καὶ εἴκει, ὥσπερ Ὑμήττιος κηρὸς
» ἡλίῳ μαλθάσσεται, ὃς, τοῖς δακτύλοις τειρόμε-
» νος, εἰς πολλοὺς κάμπτεται τύπους, καὶ αὐτῇ τῇ
» συνεχεῖ χρήσει λυσιτελέστερος γίνεται. Ὁ δὲ Πυγ-
» μαλίων, ἐκπεπληγμένος καὶ σὺν ἀμφιβολίᾳ χαί-

luit Planudes codicis sui lectionem *blandis* : inde correxi.

(1) Ovidius : « Sit conjux opto » (non ausus eburnea virgo Dicere Pygmalion) similis mea, » dixit, eburnæ » : i. e. « Sit conjux mea, si unquam uxorem » duco, similis eburnæ illi virgini quam mira feliciter arte » sculpsi ; etenim non ausus est » diserte quod cupiebat dicere, » optare se ut illa ipsa eburna » statua sibi fieret conjux. » Planudes erravit, quem sic possis corrigere : γένοιτο, εὔχομαι, παρθενικὴ ἐλεφαντίνη (οὐδὲ γὰρ ἐτόλμησεν εἰπεῖν, αὐτὴ γένοιτο ἡ ἐλεφαντίνη παρθένος) σύνευνος ἡμελέγη.

(2) Scribendum τοῖς ἀνήφθη, ut fidus fiat interpres.

» γάγῃ τῇ Ἀφροδίτῃ. Καὶ τέλος στομα
» σμένον τῷ οἰκείῳ πιέζει στόματι·
» παρθένος τῶν διδομένων αὐτῇ φιλημ
» θείασε (1), καὶ, δεδοικότας τοὺς ὀφθαλ
» τοῦ Πυγμαλίωνος ὀφθαλμοὺς ἀρα
» τῷ οὐρανῷ καὶ τὸν ἐρῶντα (2) εἶδεν.
» ἡ θεὸς τῇ συζυγίᾳ ἣν ἀπετέλεσε. Κ
» τῶν σεληνιακῶν κεράτων εἰς πλή
» ριελθόντων, ἐκείνη τὸν Πάφον ἔτεκ
» νῆσος τοὔνομα φέρει.

» Ἀνέσχεν ἐκ ταύτης τῆς νήσου χ
» ὃς, εἴ γε δίχα γονῆς διαγέγονεν, εἶ
» τάζεσθαι τοῖς εὐδαίμοσι. Χαλεπά
» πόῤῥω ἐνθένδε, πατέρες, πόῤῥω, θυγ

(1) Ovidius: «sensit, et *erubuit.*» Melius stupefactam virginem ab Ovidio inductam fuisse putat Gierigius, cui merito Editor noster contradicit, vir acutissimo ejus quod in literis verum et pulcrum est sensu præditus. Etenim *erubuit* virgo, quod sit ut

(3) Cons
scriptura q
bendum f
recte, *Cin*

(4) Non
versum, q
caret: «A
» cebunt
teris supp

» ἀπείη μοι ἐν τούτῳ τῷ μέρει πίστις, μηδὲ πι-
» στεύετε ὡς γέγονε τὸ ἔργον, ἢ, εἰ πιστεύετε, καὶ
» τὴν εὐθύνην τοῦ ἔργου πιστεύετε. Εἰ καὶ τέως ἡ
» φύσις ἀφίησι τοῦτ' οἴεσθαι τὸ τόλμημα γεγονέναι,
» ὡς ἥδομαι (1) τοῖς Ἰσμαηλικοῖς ἔθνεσι καὶ τῷ ἡμε-
» τέρῳ κλίματι! ὡς ἥδομαι τῇδε τῇ γῇ, ὅτι τῶν χω-
» ρῶν ἐκείνων διίσταμαι, αἳ τὴν τοσαύτην ἀῤῥητουργίαν
» τεθήνεκαν! Ἔστω πλούσιος ὁ χῶρος ἐκεῖνος ἀμώ-
» μῳ· καὶ κίνναμα, καὶ τὸν ἑαυτῆς κόστον, καὶ
» θυμιάματα, ξύλων ἱδρῶτας φερέτω, καὶ ἄλλ'
» ἄττα ἄνθη ἡ Παγχαία γῆ (2), ὁπότε καὶ μύῤῥαν
» φέρει (3)· οὐδὲ γὰρ ἂν τοσούτου τιμησαίμην τὸ νέον
» δένδρον, ὡς καὶ τῇ χώρᾳ χαίρειν (4). Αὐτὸς, Μύῤῥα,
» ὁ Ἔρως ἔξαρνος γίνεται μὴ βλαβῆναί σε τοῖς αὐ-
» τοῦ βέλεσι, καὶ τὰς ἑαυτοῦ λαμπάδας ἀφίστησι
» τοῦδε τοῦ πλημμελήματος. Δαλῷ δέ σοι Στυ-
» γίῳ καὶ ἰοβόλοις ἐχίδναις ἐνέπνευσε μία τῶν
» τειῶν ἀδελφῶν. Ἀνόσιον μὲν γάρ ἐστι καὶ τὸ μι-
» σῆσαι τὸν γεννησάμενον· ὁ δ' ἔρως οὗτος καὶ τοῦ
» μίσους μεῖζον ἀνοσιούργημα. Ἔρωσι μὲν δή σου
» πανταχόθεν μνησῖῆρες ἐπίλεκτοι, καὶ ἐκ πάσης τῆς

(1) Non Ovidius, quod putat Burmannus, sed Orpheus loquitur.

(2) De Panchæa disseruit in Memoriis Acad. Inscript., t. XV, Furmontius. Quum sit in mari Rubro insula adhucdum ab Arabibus vocata *Pank*, vel *Phanik*, vel *Phank*, putat Evhemeri Panchæam tractum esse Arabiæ, e regione hujus insulæ situm. Alia est Gossellini viri doct. opinio, nempe Panchæam insulam esse in litore Arabiæ orientali, vulgo Parvam Maceiram : cf. Mem. Acad. Inscr. t. XLIX, p. 776.

(3) « Dum *ferat* et myrrham » ! forsan, « Dum *feret* et m. »

(4) Latina, « tanti nova non » fuit arbos », simplicius potuit vertere : οὐδὲ γὰρ ἂν τοσούτου πημπίον νέον π δένδρον ἦν· nempe ut propter illam horrendum perpetraretur flagitium.

„ Ἕω πάρεστιν ἡ νεότης πρὸς ἅμιλλαν τοῦ σοῦ γά-
„ μου. Ἐπίλεξαί μοι, Μύῤῥα, σύνευνον ἕνα ἐκ πάν-
„ των, ὁπότε δὲ μὴ ἐκ πάντων εἷς ὁ πατὴρ εἴη. Ἡ
„ μὲν οὖν αἰσθάνεται τοῦ κακοῦ, καὶ τῷ αἰσχρῷ αντι-
„ καθίσταται ἔρωτι. Καὶ δὴ πρὸς ἑαυτήν φησι· Ποῖ
„ ποτὲ τοῖς λογισμοῖς φέρομαι; τίσιν ἐπιβάλλομαι
„ πράγμασιν; Ὦ θεοὶ, καὶ Εὐσέβεια, καὶ ἱερὰ τῶν
„ γεννησαμένων θεσμὰ, κωλύσατε, ἱκετεύω, τουτὶ τὸ
„ ἐξάγιστον, καὶ ἀντίστητε τῷ ἡμετέρῳ τολμήματι·
„ εἰ καὶ τέως τόλμημα τοῦτ' ἐστί. Καὶ γὰρ ἀπα-
„ ναίνεται τῆσδε τῆς ἀφροδίτης καταψηφίζεσθαι ἡ
„ εὐσέβεια· καὶ συνίασι πάντα τὰ ζῶα σὺν οὐδενὶ
„ ἁμαρτήματι· οὐδ' αἰσχρὸν δοκεῖ τῇ δαμάλει τὸν
„ πατέρα φέρειν ἐπὶ τῶν νώτων· γίνεται καὶ τῷ ἵππῳ
„ σύζυγος ἡ τούτου θυγάτηρ, καὶ τράγος πρὸς ἣν
„ ἐγέννησεν ἔριφον εἶσι, καὶ αὐτὴ δ' ὄρνις, οὗπερ ἐκ
„ τοῦ σπέρματος συνελήφθη, ἐξ αὐτοῦ συλλαμβά-
„ νει. Εὐδαίμονες, οἷς ταῦτά γε ἔξεστιν! Ἡ δὲ τῶν
„ ἀνθρώπων πολυπραγμοσύνη πονηροὺς δέδωκε νό-
„ μους· καὶ ὅπερ ἡ φύσις συγχωρεῖ ὁ βάσκανος νό-
„ μος ἀπαγορεύει. Ἔθνη δ' ὅμως εἶναι λέγονται ἐν
„ οἷς καὶ μήτηρ τῷ υἱῷ καὶ θυγάτηρ συνάπτεται τῷ
„ πατρὶ, καὶ ἡ στοργὴ αὐξάνει διπλασιασθέντος τοῦ
„ ἔρωτος. Οἴμοι τῇ δυστήνῳ, ὅτι μὴ ἐκεῖ με συμβέ-
„ βηκε γεννηθῆναι, τῇ δὲ τύχῃ τοῦ τόπου βλάπτο-
„ μαι. Ἀλλὰ τί στρέφομαι περὶ ταῦτα; Ὦ μεταξὺ
„ ῥηθεῖσαι (1) ἐλπίδες, ἀποχωρήσατε. Ἄξιος ἐκεῖνος
„ ἐρᾶσθαι, ἀλλ' ὡς πατήρ. Ἆρ' οὖν, εἰ μὴ θυγάτηρ

(1) Latinum *interdictæ* mire vertit. Scribe, ἀπαγορευθεῖσαι. Dissolvebat verbum, et vertebat seorsim *inter* et *dictæ*.

» ἦν τοῦ μεγάλου Κινάρα, οἷα τ' (1) ἦν τούτῳ συ-
» νέρχεσθαι· νῦν δ' ὃς ἐμός ἐστιν ἤδη, ἐμὸς οὐκ ἔστι,
» καί μοι περὶς ζημίας αὐτὴ γίγνεται ἡ οἰκείωσις,
» ἀλλοτρία δ' οὖσα ἦν ἐπιτυχεστέρα. Ὡς ἥδιστ' ἂν
» πόρρω ἐνθένδε ἀπέλθοιμι, καὶ τὰ τῆς παλείδος
» ὄρια καλαλίποιμι, εἰ μέλλοιμι τὸ τόλμημα φεύ-
» ξεσθαι! Ἀλλά με δεινὸν πῦρ ἐρῶσαν ἐπέχει, ὡς ἂν
» παρῶσα (2) βλέποιμι τὸν Κινάραν καὶ περιφαύοι-
» μι, καὶ ὁμιλοίην, καὶ περισπιτθοῖμι φιλήμαλα,
» καὶ εἰ μηδὲν ἐπέκεινα συγχωρεῖται. Ἐπέκεινα δὲ τί
» τούτων περιδοκᾷν δύνῃ (3), παρθένε; καὶ διανοῇ
» συγχέαι (4) πάντα καὶ θεσμὰ καὶ ὀνόματα; ἆρα δὲ
» τῆς μητρὸς ἀντίζηλος ἔσῃ (5); οὐ δέδοικας τὰς κα-
» ταδοσίρυχους ἰταμοῖς ὄφεσιν ἀδελφὰς, ἃς, χαλε-
» παῖς λαμπάσιν ἅμα καὶ περισώπῳ, καὶ ὀφθαλμοῖς
» ἐπιούσας, ἡ ὑπεύθυνος βλέπει ψυχή; Ἀλλὰ σύ γε,
» ἐν ὅσῳ μήπω τὸ ἀθέμιτον ὑπέμεινας σώματι, μηδ'
» ἐπὶ νοῦν λάμβανε, μηδ' ἀπηγρευμένῃ μίξει τὸν
» τῆς ἰσχυρᾶς φύσεως δεσμὸν (6) μόλυνε. Ὑπόθου δὴ
» τοῦτο κἀκεῖνον ἐθέλειν· αὐτὸ τὸ περᾶσμα κωλύει.
» Εὐσεβὴς γὰρ ὁ παλὴρ καὶ τῶν τῆς φύσεως νόμων

(1) Codex οἷά τ' ut et infra *N.* 462, et in præcedentibus libris sæpissime.

(2) Codex habet παρῶσα.

(3) De hac forma conf. p. 266.

(4) Legebat, « Et quod con-» fundas et jura et nomina sen-» tis? » Sensus fuerit: καὶ καλαλαμ-βάνεις, ὡς πάντα τὰ θεσμὰ συγχῆς καὶ ὀνόματα; De hac nominum vi recte a Gierigio animadversa consulesis et Merceri notam ad Aristænet. II, 8, pag. 675 meæ.

(5) Ovidius: « et adultera pa-» tris? Tune soror gnati gene-» trixque vocabere fratris? » Ista, quæ Planudes omisit, vel librarius, sic verti possunt: καὶ παλεὸς παλλακή; ἆρα σὺ τοῦ υἱοῦ ἀδελφὴ ὀνομασθήσῃ, καὶ τοῦ ἀδελφοῦ μήτηρ;

(6) Velim θεσμόν, *fœdus*. Soni similitudo inter literas δ et θ permutationem harum vocum facile parere potest. Cf. p. 326.

» Ἕω πάρεστιν ἡ νεότης πρὸς ἅμιλλαν τοῦ σοῦ γά-
» μου. Ἐπίλεξαί μοι, Μύῤῥα, σύνευνον ἕνα ἐκ πάν-
» των, ὁπότε δὲ μὴ ἐκ πάντων εἷς ὁ πατὴρ εἴη. Ἡ
» μὲν οὖν αἰσθάνεται τοῦ κακοῦ, καὶ τῷ αἰσχρῷ αντι-
» καθίσταται ἔρωτι. Καὶ δὴ πρὸς ἑαυτήν φησι· Ποῖ
» ποτὲ τοῖς λογισμοῖς φέρομαι; τίσιν ἐπιβάλλομαι
» πράγμασιν; Ὦ θεοὶ, καὶ Εὐσέβεια, καὶ ἱερὰ τῶν
» γεννησαμένων θεσμὰ, κωλύσατε, ἱκετεύω, τουτὶ τὸ
» ἐξάγιστον, καὶ ἀντίστητε τῷ ἡμετέρῳ τολμήματι·
» εἰ καὶ τέως τόλμημα τοῦτ' ἐστί. Καὶ γὰρ ἀπα-
» ναίνεται τῆσδε τῆς ἀφροδίτης καταψηφίζεσθαι ἡ
» εὐσέβεια· καὶ συνίασι πάντα τὰ ζῶα σὺν οὐδενὶ
» ἁμαρτήματι· οὐδ' αἰσχρὸν δοκεῖ τῇ δαμάλει τὸν
» πατέρα φέρειν ἐπὶ τῶν νώτων· γίνεται καὶ τῷ ἵππῳ
» σύζυγος ἡ τούτου θυγάτηρ, καὶ τράγος πρὸς ἣν
» ἐγέννησεν ἔριφον εἶσι, καὶ αὐτὴ δ' ὄρνις, οὗπερ ἐκ
» τοῦ σπέρματος συνελήφθη, ἐξ αὐτοῦ συλλαμβά-
» νει. Εὐδαίμονες, οἷς ταῦτά γε ἔξεστιν! Ἡ δὲ τῶν
» ἀνθρώπων πολυπραγμοσύνη πονηροὺς δέδωκε νό-
» μους· καὶ ὅπερ ἡ φύσις συγχωρεῖ ὁ βάσκανος νό-
» μος ἀπαγορεύει. Ἔθνη δ' ὅμως εἶναι λέγονται ἐν
» οἷς καὶ μήτηρ τῷ υἱῷ καὶ θυγάτηρ συνάπτεται τῷ
» πατρὶ, καὶ ἡ στοργὴ αὐξάνει διπλασιασθέντος τοῦ
» ἔρωτος. Οἴμοι τῇ δυστήνῳ, ὅτι μὴ ἐκεῖ με συμβέ-
» βηκε γεννηθῆναι, τῇ δὲ τύχῃ τοῦ τόπου βλάπτο-
» μαι. Ἀλλὰ τί στρέφομαι περὶ ταῦτα; Ὦ μεταξὺ
» ῥηθεῖσαι (1) ἐλπίδες, ἀποχωρήσατε. Ἄξιος ἐκεῖνος
» ἐρᾶσθαι, ἀλλ' ὡς πατήρ. Ἆρ' οὖν, εἰ μὴ θυγάτηρ

(1) Latinum *interdictæ* mire vertit. Scribe, ἀπαγορευθεῖσαι. Dissolvebat verbum, et vertebat seorsim *inter* et *dictæ*.

» ἦν τοῦ μεγάλου Κινάρα, οἷα τ' (1) ἦν τούτῳ συ-
» νέρχεσθαι· νῦν δ' ὃς ἐμός ἐστιν ἤδη, ἐμὸς οὐκ ἔστι,
» καί μοι σὺς ζημίας αὐτὴ γίνεται ἡ οἰκείωσις,
» ἀλλοτρία δ' οὖσα ἦν ἐπιτυχεστέρα. Ὡς ἥδιστ' ἂν
» πόρρω ἐνθένδε ἀπέλθοιμι, καὶ τὰ τῆς παλαίδος
» ὅρια καλαλίποιμι, εἰ μέλλοιμι τὸ τόλμημα φεύ-
» ξεσθαι! Ἀλλά με δεινὸν πῦρ ἐρῶσαν ἐπέχει, ὡς ἂν
» παροῦσα (2) βλέποιμι τὸν Κινάραν καὶ προσφαύοι-
» μι, καὶ ὁμιλοίην, καὶ προσεπιτιθοῖμι φιλήματα,
» καὶ εἰ μηδὲν ἐπέκεινα συγχωρεῖται. Ἐπέκεινα δὲ τί
» τούτων προσδοκᾷν δύνῃ (3), παρθένε; καὶ διανοῇ
» συγχέαι (4) πάντα καὶ θεσμὰ καὶ ὀνόματα; ἆρα δὲ
» τῆς μητρὸς ἀντίζηλος ἔσῃ (5); οὐ δέδοικας τὰς κα-
» ταδοσίρυχους ἰταμοῖς ὄφεσιν ἀδελφάς, ἃς, χαλε-
» παῖς λαμπάσιν ἅμα καὶ προσώπῳ, καὶ ὀφθαλμοῖς
» ἐπιούσας, ἡ ὑπεύθυνος βλέπει ψυχή; Ἀλλὰ σύ γε,
» ἐν ὅσῳ μήπω τὸ ἀθέμιτον ὑπέμεινας σώματι, μηδ'
» ἐπὶ νοῦν λάμβανε, μηδ' ἀπηγρευμένῃ μίξει τὸν
» τῆς ἰσχυρᾶς φύσεως δεσμὸν (6) μόλυνε. Ὑπόθου δὴ
» τοῦτο κἀκεῖνον ἐθέλειν· αὐτὸ τὸ πρᾶγμα κωλύει.
» Εὐσεβὴς γὰρ ὁ παὴρ καὶ τῶν τῆς φύσεως νόμων

(1) Codex οἷά τ' ut et infra *N.* 462, et in præcedentibus libris sæpissime.

(2) Codex habet παρῶσα.

(3) De hac forma conf. p. 266.

(4) Legebat, « Et quod con» fundas et jura et nomina sen» tis? » Sensus fuerit: καὶ καλαλαμβάνεις, ὡς πάντα τὰ θεσμὰ συγχεῖς καὶ ὀνόματα; De hac nominum vi recte a Gierigio animadversa consulesis et Merceri notam ad Aristænet. II, 8, pag. 675 meæ.

(5) Ovidius: « et adultera pa» tris? Tune soror gnati gene» trixque vocabere fratris? » Ista, quæ Planudes omisit, vel librarius, sic verti possunt: καὶ παλαιὸς παλλακή; ἆρα σὺ τοῦ υἱοῦ ἀδελφὴ ὀνομασθήσῃ, καὶ τοῦ ἀδελφοῦ μήτηρ;

(6) Velim θεσμόν, *fœdus*. Soni similitudo inter literas δ et θ permutationem harum vocum facile parere potest. Cf. p. 326.

» οὐκ ἐπιλήσμων. Ἀλλὰ γὰρ πυχόμην, ὦ Ζεῦ, τὴν
» αὐτὴν λύσσαν εἶναι κἀκείνῳ. Εἶπεν. Ὁ δὲ Κινύρας,
» ὃν τὸ πολύ τε καὶ ἐπάξιον τῶν μνησιήρων πλῆθος
» τί ποτ' ἂν ποιήσειε διελάζειν ποιεῖ, πυνθάνεται τῆς
» παιδὸς, τὰ ὀνόματα καταλέξας, τίνος αἰροῖτ' ἂν ἀν-
» δρὸς (1) εἶναι. Ἡ δὲ σιωπῇ, καὶ τῷ προσώπῳ τοῦ
» παλλὸς ἐμφῦσα, διαθερμαίνεται, καὶ θερμοῖς δά-
» κρυσι κατακαπλίζει τοὺς ὀφθαλμούς. Ὁ δὲ Κινύ-
» ρας, παρθενικοῦ φόβου ταῦτά γε οἰόμενος εἶναι,
» κλαίειν ἀπείργει, καὶ τὰς παρειὰς ἀπομόργνυσι,
» καὶ συνάπτει φιλήματα. Ἡ δὲ Μύρρα, διδομένων
» τῶν φιλημάτων, ὑπερφυῶς ἥδεται, καὶ, ἐρωτηθεῖσα
» ὁποῖόν τινα ἄνδρα σχεῖν εὔξαιτ' ἄν, Σοί γε
» ὅμοιον, εἶπε. Ὁ δὲ, μηδ' ὁτιοῦν τοῦ λόγου συνεὶς,
» ἐπῄνεσε ταύτην, καὶ, Αἰεὶ οὕτως εὐσεβὴς, εἶπεν,
» ἔσῃ (2). Ἡ δὲ παρθένος, τὸ τῆς εὐσεβείας ἀκού-
» σασα ὄνομα, τὸ πρόσωπον ἐσκυθρώπασεν, ἑαυτῇ
» συνειδυῖα τὸ ἄθεσμον. Νὺξ μὲν οὖν ἐπιγέγονε μέση,
» φρεντίδας δὲ καὶ σώματα ὁ ὕπνος ἐξέλυσεν. Ἡ
» δὲ παρθένος ἐγρηγορυῖα πυρὶ τήκεται ἀδαμάστῳ,
» καὶ οἰστρηθεῖσα τὴν ἐπιθυμίαν ἐπὶ νοῦν ἀνελίττει,
» καὶ νῦν μὲν ἀπογνώσκει, νῦν δὲ πειρᾷν βούλεται,
» καὶ αἰσχύνεται καὶ ἐπιθυμεῖ, καὶ τί ποτ' ἂν ποιή-
» σειεν οὐκ εὑρίσκει. Ὡς δὲ μέγα δένδρον πελεκε-

(1) Codex, αἱρεῖτ' ἀνδρός. In latinis, «cujus velit esse mariti», putat Gierig. deesse *conjux*, in quo non ipsi obsequar. Sensus est ad quem velit pertinere, quem velit posse dicere Myrrham esse *suam*, non suam conjugem, sed *rem suam*. *Sum* et εἰμὶ sæpe genitivum in sensu possessionis adsciscunt. Diogenes Laertius VI, 82, de Monimo, εὐθέως Διογένους ἦν: ubi frustra, puto, subaudiretur, μαθητὴς, vel ἑταῖρος, vel aliud hujus sensus nomen.

(2) Imo, ἔσῃ, quod latino *esto* respondeat, vel ἴσθι, vel εἶης.

» χαραγμένον ἀξίνῃ, ἐπειδὰν ἡ ὑστάτη πληγὴ ὑπό-
» λοιπος ᾖ, ἄδηλον γίνεται ποῖ ποτ' ἂν πέσῃ (1), καὶ
» δεὸς ἐπικρέμαται πανταχόθεν· οὕτω καὶ κούφη
» ψυχὴ, ποικίλαις πληγαῖς διασεισθεῖσα, δεῦρο
» κἀκεῖσε νεύει, καὶ ὁρμὴν ἐφ' ἑκάτερα δέχεται.
» Οὐδ' ἔτι μέτρον οὐδ' ἄνεσις τοῦ ἔρωτος, ὅτι μὴ
» θάνατος ἐφευρίσκεται. Ἀρέσκει τοίνυν ὁ θάνατος.
» Καὶ ἀνίσταται, καὶ βρόχῳ τὸν τράχηλον ἐξαρτᾷν
» γνώμην ἵστησι, καὶ, τὴν ζώνην ἀπ' ἄκρας τῆς
» φλιᾶς ἁψαμένη, Χαίροις, εἶπε, φίλε Κινάρα, καὶ
» σύνες δὴ τὴν τοῦ θανάτου αἰτίαν. Καὶ ὠχριῶντι
» δὴ τῷ τραχήλῳ τὸν βρόχον ηὐτρέπιζε. Τὸ δέ
» τοι ψιθύρισμα τῶν ῥημάτων εἰς τὰ τῆς πιστῆς
» ὦτα τροφοῦ φθάσαι φασὶ, τὸν τῆς τροφίμου
» φρουρούσης οὐδόν. Ἐξεγείρεται τοίνυν ἡ γραῦς,
» καὶ τὰς θύρας ἀνοίγνυσι, καὶ, τὰ τοῦ θανάτου
» ὄργανα θεασαμένη ἑτοιμασθέντα, παραχρῆμα
» ἀνολολύζει, καὶ ἑαυτὴν παίει, καὶ διαῤῥήγνυσι τὴν
» ἐσθῆτα, καὶ διαρπάσασα τοῦ τραχήλου τὸν
» βρόχον διασπαράττει. Τότε δὴ τέλος τοῦ θρη-
» νεῖν ταύτην ἀνέστελλε (2), καὶ περιβάλλειν ἤρξατο,
» καὶ τὴν τῆς ἀγχόνης αἰτίαν ἐρευνᾷν. Ἡ δὲ παρ-
» θένος ἄφωνος ἦν, καὶ πρὸς τὴν γῆν ἀμετακίνητος
» ἐνητένιζε, καὶ ἄχθεται ὡς φωραθέντος τοῦ ἐπιχει-
» ρήματος τοῦ βραδέος θανάτου. Ἡ δὲ γραῦς ἔγκει-
» ται, καὶ τὰς τε πολιὰς καὶ τοὺς μαστοὺς τηνάλ-

(1) Cod. πέσοι. Hæ vocales, η, οι, sæpe permutantur. Libanius Epist. 1585 : οὐκ ἦν, οἶμαι, σὸν ἀδικῆσαι τὴν ἀλήθειαν· ἠδίκητο δ' ἄν, γράφοντος ἐξεπίτηδες φαυλότερα : cod. Reg. 3002, ἠδικοῖτο : male; saltem ἀδικοῖτο : cod. 2991 A, bene, ἠδικεῖτο.

(2) Planudes invenit, « tum » denique flere vetavit. »

» λως (1) γυμνοῦσα, πρός τε τῶν βρεφικῶν αὐτῆς
» λίκνων καὶ τῆς πρώτης (2) τροφῆς ἱκετεύει ὡς ἂν
» ταύτης γ' ἂν αἴσθοιτο τί ποτ' ἐστὶν ἐφ' ᾧπερ
» ἀλγεῖ. Ἡ δ', ἱκετεύουσαν ταύτην ἀποστραφεῖσα,
» στενάζει. Ἡ μέντοι τροφὸς ἰσχυρογνώμων ἦν ἐξε-
» ρευνῆσαι τὸ πᾶν. Καὶ μὴ μόνον πίστιν, ἀλλὰ καὶ
» συνέργειαν δὴ ἐπαγγείλασθαι εἶπε, καί, με, φησὶν,
» ἔασον συνέργειαν εἰσενέγκαι σοι. Οὐ γάρ τοι νω-
» θρὸν τουμὸν τουτὶ γῆρας. Εἰ μὲν γὰρ μανία τίς
» ἐστιν, ἔχω δὴ καὶ ἐπῳδὰς καὶ βοτάνας, αἷς, αὕτη
» θεραπευθήσεται· εἰ δέ τις ἐβάσκηνε, τῷ μαγικῷ
» ἔθει περιοδευθήσῃ· εἰ δὲ θεομηνία τίς ἐστιν, ἱερείοις
» ἐξιλασόμεθα τὴν ὀργήν. Τί δεῖ πλείω ὑποπτεύειν (3);
» Σαφῶς δή σοι καὶ ἡ τύχη καὶ ὁ οἶκος σῶς ἐκ πά-
» σης ἐπιδρομῆς (4)· ζῇ καὶ ἡ μήτηρ καὶ ὁ πατήρ.
» Ἡ τοίνυν Μύῤῥα, τὸν πατέρα ἀκούσασα, στεναγ-
» μὸν ἐκ βάθους τοῦ στέρνου ἀνήγαγεν. Ἀλλὰ καὶ ἡ
» τροφὸς οὐδέπω καὶ νῦν ἐπὶ νοῦν λαμβάνει τὸ τοιοῦ-
» τον ἀθέμιτον· πλὴν ἔρωτά τινα συναισθάνεται.
» Καὶ, τῆς προθέσεως ἐχομένη (5), ὅ, τι ποτ' ἐστὶ
» δεῖται ταύτῃ (6) μηνύειν, κἀπὶ τοῦ γηραίου δα-

(1) Male omnino « *inania* nu- » dans ubera » cepit pro « *fru-* » *stra* nudans ubera. » Repone : καὶ τοὺς κενοὺς γυμνοῦσα μαστούς·

(2) Inserui adjectivum πρώτης, jubente textu latino.

(3) Habuit bonam et vulgatam lectionem, « quid rear *ulterius?* »

(4) Hic habuit veterem lectionem, « certe fortuna domusque » sospes *ab incursu* est. » Nunc melius editur, « Sospes et in cursu est » : i. e. ... ὁ οἶκος σῶς ἐστὶ καὶ εὐροεῖ.

(5) Legitur in cod. ἐρχομένη.

(6) Velim ἑαυτῇ, saltem αὐτῇ. Sic peccantem Planudem non semel deprehendimus. Similis Tzetzæ ad Lyc. 355 lapsus : Πάλλαντα τὸν ἴδιον πατέρα, πτερωτὸν ὑπάρχοντα..... ἀνεῖλε, καὶ τὸ δέρμα αὐτοῦ ὡς αἰγίδα περιεβάλλετο, καὶ τὰ πτερὰ τούτου τοῖς ποσὶ ταύτης προσήρμοσεν : imo ἑαυτῆς.

» χρύουσαν ἀνέλαβε κόλπου, καὶ, χερσὶν ἀσθενέσιν
» οὕτωσὶ τὰ ταύτης περιβάλλουσα μέλη, Ἠσθό-
» μεθα, εἶπεν· ἐρᾷς. Ἀλλ' εἰς τοῦτό σοι ἡ ἐμὴ ἐπι-
» μέλεια (μόνον ἀπόθου τὸ δέος) ἐπιδέξιος ἔσται,
» οὐδ' αἰσθήσεται τούτου γε οὐδαμῶς ὁ πατήρ. Ἡ
» δ' ἀπεπήδησε τῶν τῆς τροφοῦ κόλπων φλεγμαί-
» νουσα, καὶ, τὴν εὐνὴν τῷ προσώπῳ πιέσασα, Ἀπο-
» χώρησον, εἶπεν, ἀντιβολῶ, καὶ φεῖσαι τῆς δει-
» λαίας. Αἰσχύνη γάρ μοι ἐπίκειται. Ἀποχώρησον, ἢ
» παῦσαι ζητεῖν τί πολέ με λυπεῖ. Ἀθέμιτόν ἐστιν ὃ
» γνῶναι ταλαιπωρεῖς. Ἔφειξε τοίνυν ἡ γραῦς καὶ
» τὰς τρομερὰς χεῖρας τῷ τε χρόνῳ καὶ φόβῳ ἐξέ-
» τεινε, καὶ περὶ τῶν ποδῶν τῆς τροφίμου ἑαυτὴν
» καταβάλλει. Καὶ νῦν μὲν λόγοις αὐτὴν τιθασσεύει,
» νῦν δ', εἰ μὴ συνίσωρ γένοιτο, μορμολύττεται,
» καὶ φανερώσειν ἀπειλεῖ τόν τε βρόχον καὶ τὸν
» φωραθέντα θάνατον, καὶ ὑπουργήσειν ὑπισχνεῖται
» τῷ ἔρωτι. Ἀνήνεγκεν ἐκείνη τὴν κεφαλὴν, καὶ δα-
» κρύων ἀναδοθέντων τὸ στέρνον ἐπλήρωσε τῆς τρο-
» φοῦ, καὶ, πολλάκις ἐκφαίνειν ἐπιχειροῦσα, πολλά-
» κις ἐπέσχε τὸν λόγον. Αἰσχυνομένη δὲ τῇ ἐσθῆτι
» τὸ πρόσωπον συνεκάλυψε, καὶ, Ὦ τῆς εὐδαίμο-
» νος τῷ συζύγῳ μητρός! εἶπε μέχει δὴ τούτου,
» καὶ ἐστέναξε. Τὰ δέ γε τῆς τροφοῦ ψυχρὰ μέλη
» καὶ τὰ ὀστᾶ πάντα (καὶ γὰρ ᾔσθετο) ὁ φόβος
» δίεισι, καὶ αἱ λευκαὶ πολιαὶ, ἀνὰ πᾶσαν τὴν κεφα-
» λὴν φείξασαι, ὀρθαὶ ἔστησαν. Καὶ πολλὰ δὴ προ-
» σέθηκεν ἡ γραῦς τὸν χαλεπὸν ἔρωτα εἰ οἷόν τ' ἐκ-
» κρούσασθαι. Ἡ δὲ παρθένος ᾔδει μὲν καὶ αὐτὴ
» μὴ ψευδῆ τινὰ καὶ ἀπαλὰ νουθετουμένη· δήλη

» δ' ὅμως ἦν θανουμένη, εἰ μὴ τοῦ ἔρωτος ἀπο-
» λαύσῃ. Ἡ δὲ γεφῦς, Ζῆθι τοιγαροῦν, εἶπε, καὶ
» ἀπόλαυε τοῦ σαυτῆς—Καὶ οὐκ ἐτόλμησε περι-
» σθεῖναι, παλερός. Ἐσίγησε δὲ, καὶ θεῶν ὄρκῳ τὰς
» ὑποσχέσεις ἐπικυροῖ. Ἦ γὰρ δ' ὅσαι μητέρες ἦσαν
» τὴν τῆς Δήμητρος ἐτήσιον ἑορτὴν εὐσεβῶς, καθ'
» ἣν, χιονώδει (1) ἐσθῆτι τὰ σώματα καλυψάμεναι,
» καρπῶν ἀπαρχὰς καὶ στέμματα στάχυων ἀνατι-
» θέασι, καὶ δι' ἐννέα νυκτῶν ἀπειρημένην ἀριθμοῦσι
» πᾶσάν τε μίξιν καὶ ἀνδρείαν (2) ἀφήν. Συνῆν (3) δὲ
» τῷ τῶν γυναικῶν ἐκείνῳ συστήματι σύζυγος Κε-
» χρητὶς, καὶ τὰ ἱερὰ ἐτελεῖτο μυστήρια. Ἀμέλει καὶ
» τῆς εὐνῆς τοῦ Κινύρου κενῆς οὔσης τῆς καλὰ νό-
» μον συζύγου, ἀπολαβοῦσα (4) τοῦτον ἡ τροφὸς τῇ
» φαύλῃ παροινίᾳ βεβαρημένον τῷ οἴνῳ, τὸ τῆς
» ἐρώσης ὄνομα ψευσαμένη, ἀληθινὸν διέξεισιν ἔρω-
» τα, καὶ τὸ κάλλος ἐκείνης θαυμάζει. Τοῦ δὲ τοὺς
» τῆς κόρης ἐνιαυτοὺς ἐρωτήσαντος, Ἡλίξ ἐστι τῇ
» Μύρρᾳ, εἶπεν (5). Ἐπεὶ δὲ ταύτην παραγαλεῖν
» ἐκεῖνος ἐκέλευσεν, ἐπάνεισι πρὸς τὸν παρθενῶνα,
» καὶ, Χαῖρε, φησὶν, ἡ ἐμὴ τροφιμος (6)· νενικήκαμεν.
» Ἡ δὲ δείλαιος παρθένος ἤκουσα διὰ πάσης τῆς
» ψυχῆς αἴσθησιν τῆς ἡδονῆς ἔλαβεν, ἀλλ' ἐν μέρει
» πενθεῖ, τὸ κακὸν προμαντευομένη. Ἀλλὰ καὶ ὡς
» χαίρει· τοσαύτη τις ἡ τῶν λογισμῶν διαμάχη.

(1) Inserui χιονώδει, *niveæ*.

(2) Cod. ἀνδρίαν. Eadem variatione, ad ν. 712, πλαγία: ad 713, ἀπλειπόξαλο: cujus verbi corruptelam jam notavi p. 228.

(3) Legit *adest*, non *abest*.

(4) Cod. ἀπολανοῦ. Deficiebat ultima syllaba. Nam υ est, ut sexcenties, pro β: cf. pp. 57, 105.

(5) Inserui verbum εἶπεν.

(6) De nominativo cum articulo pro vocativo cf. ad Aristæn. p. 596.

» Καιρὸς δ' ἐνέσλη καθ' ὃν τὰ πάντα σιγᾷ, καὶ ὁ
» Βοώτης (1) ἐν ταῖς Ἄρκλοις λοξῷ ῥυμῷ τὴν Ἅμαξαν
» ἔκαμψεν. Ἡ δὲ πρὸς τὸ ἑαυλῆς εἶσι τόλμημα.
» Ἔφυγε δ' ἐκ τοῦ οὐρανοῦ ἡ χρυσῆ παρθενικὴ
» σελήνη, καὶ τοὺς ἀστέρας κρυβέντας μέλαιναι νε-
» φέλαι καλύπλουσιν. Ἀλλὰ καὶ ἡ νὺξ τοῦ οἰκείου
» φωτὸς στέρεται. Ἐν τοῖς πρώτοις, Ἴκαρε, καλύ-
» πλεις τὸ πρόσωπον, καὶ σὺ, Ἠριγόνη, τῷ τοῦ
» παλιὸς εὐσεβεῖ ἔρωλι καθιερωθεῖσα. Ἡ δὲ, τεὶς τὸν
» πόδα προσπλαίσασα, εἰς τοὐπίσω τῷ συμβόλῳ
» ἀνεκαλεῖτο· τεὶς δὲ καὶ βύας (2) ἀπαίσιος ᾠδῇ θα-
» νασίμῳ οἰώνισμα δέδωκεν. Ἡ δ' ὅμως εἶσι, μειοῦσι
» δὲ τὴν αἰσχύνην ἥ τε νὺξ καὶ τὸ σκότος. Καὶ τῇ
» λαιᾷ τὴν τῆς τροφοῦ χεῖρα καλέχει· ἡ δ' ἑτέρᾳ
» περιφερομένη τὴν σκολεινὴν καλασκοπεύει ὁδόν. Ἡ-
» δὴ δὲ τῆς τοῦ θαλάμου φλιᾶς ἥψαλο, καὶ
» ἤδη τὰς θύρας ανοίγνυσι, καὶ ἤδη εἴσω φέρεται.
» Τῇ δὲ, τῆς ἰγνύης ὑποχαλασθείσης, τὰ γόνατα
» τρέμει· φεύγει δὲ τό, τε χρῶμα καὶ τὸ αἷμα,
» καὶ ἡ ψυχὴ προϊοῦσαν ἀφίησι. Καὶ ὅσῳ μᾶλλον
» προσήγγιζε τῷ τολμήματι, τοσούτῳ καὶ μᾶλλον
» φείτεται, καὶ μελαμέλει τοῦ τολμηθέντος αὐτῇ;
» καὶ ἤθελεν οἷα τ' εἶναι μηδαμῶς γνωσθεῖσά γ' ὑπο-
» στρέφειν. Τὴν δὲ διστάζουσαν ἡ πολυέλης τροφὸς τῇ
» χειρὶ προὔπεμψε, καὶ, πρὸς τὴν ὑφηλὴν εὐνὴν
» συνωσθεῖσαν παραδιδοῦσα, Δέξαι, εἶπεν· σή ἐστιν
» ἥδε, Κινάρα· Καὶ ἀπευκλῶς τὰ ἀμφοῖν στέρνα
» συνῆψε. Δέχεται τοίνυν ὁ παλὴρ τῇ μιαρᾷ κοίτῃ

(1) Noctem mediam pariter Anacreon significavit: Στρέφεται ὅτ' Ἄρκλος ἤδη Καλὰ χεῖρα τὴν Βοώτου.

(2) Vide de βύᾳ, pag. 248.

» τὰ ἑαυτοῦ σπλάγχνα, καὶ τὸν παρθενικὸν φόβον
» κουφίζει, καὶ δεδοικυῖαν παραθαῤῥύνει. Τάχα δὲ καὶ
» τῷ τῆς ἡλικίας ὀνόματι, Θύγατερ, εἶπεν, εἶπε κά-
» κείνη, Πάτερ, ὡς ἂν μηδὲ τὰ ὀνόματα τῆς ἀθεμι-
» τουργίας ἀπεῖη. Ἡ δὲ τοῦ πατρῴου θαλάμου καὶ τὰ
» γαστρὸς ἔχουσα ἐκχωρεῖ, κἂν τοῖς πονηροῖς ἐγκά-
» τοις ἀσεβὲς φέρει σπέρμα, καὶ συλληφθεῖσαν τὴν
» ἁμαρτίαν ἔχει. Δεύτερα νὺξ καὶ τὴν ἀνομίαν αὖθις
» ποιεῖ· καὶ οὐδ' ἐν ἐκείνῃ τὸ πέρας ἴσχει. Τέλος γε
» μὴν ἐφιέμενος ὁ Κινύρας γνῶναι τὴν ἐρῶσαν μετὰ
» τοσαύτας μίξεις, φῶς εἰσαγαγὼν εἶδε τὴν θυγα-
» τέρα καὶ τὸ ἀθέμιτον, καὶ, τῆς φωνῆς τῇ λύ-
» πῃ ἐπισχεθείσης, τὸ ξίφος ἐκ τοῦ κολεοῦ ἑκεῖ
» που ἀπηρτημένου ἁρπάζει. Ἡ δὲ Μύῤῥα φεύγει·
» τῷ σκότῳ δὲ καὶ τῇ τῆς ἀλαμποῦς νυκτὸς χά-
» ριτι τοῦ θανάτου ἐῤῥύσθη. Καὶ διὰ μακρῶν πλα-
» νηθεῖσα πεδίων, τούς τε φοινικηφόρους Ἄραβας (1)
» καὶ τοὺς Παγχαίους ἀγροὺς ἀπέλιπε, καὶ δι' ἐν-
» νέα σεληνῶν εἰς ταυτὸ κέρας ἐπανιουσῶν περιε-
» νόσει· καὶ τέλος ἀπειρηκυῖα ἐπὶ τῆς Σαβαίας
» καθέπαυσε γῆς, καὶ μόλις τῇ νηδύϊ τὸν φόρτον
» ἀνεῖχε. Τότε δὴ καὶ ἀγνοοῦσα τί ποτ' ἂν εὐξαι-
» το, καὶ μεταξὺ τοῦ τε θανάτου φόβου (2) καὶ
» τοῦ τῆς ζωῆς μίσους καθισταμένη, τοιαύτην ἱκε-
» σίαν συνέπλεξεν· Ὦ, εἴ τινες ἐπακούετε τῶν ὁμο-
» λογηθέντων (3), θεοὶ, ὄφλω δίκην ἔγωγε, οὐδὲ πα-
» ραιτοῦμαι δεινήν τινα τιμωρίαν. Αλλ', ἵνα μὴ
» περιοῦσα μὲν τοὺς ζῶντας μολύναιμι, θανοῦσα

(1) Codex, ἄρα, sic, omissa extrema syllaba.

(2) Codex, θανάτου καὶ φόβου.

(3) Imo, τῶν ὁμολογησάντων.

» δὲ τοὺς ἀποιχομένους, ἐξ ἀμφοτέρας με τῆς τού-
» των ἀρχῆς ἀποπέμψατε, καὶ, μεταμείψαντές με,
» καὶ ζωὴν καὶ θάνατον ἀνανεύσατέ μοι. Θεὸς δέ τις
» ὁμολογούσης ἐπήκουσε, καὶ τὸ τῆς εὐχῆς ἔσχα-
» τον θεοῦ τινὸς κατανεύοντος ἔτυχε (1). Καὶ γὰρ
» ἔτι λαλούσης ἐπὶ τὰς κνήμας ἀνέδραμε γῆ· κἀκ
» τῶν ὀνύχων διαιρεθέντων σκολιαὶ ῥίζαι ἐκτείνον-
» ται τοῦ μακροῦ βάθρα στελέχους· τὰ δ' ὀστᾶ
» ξύλον γίγνεται· καὶ, τοῦ κατὰ μέσον μυελοῦ εἰς
» ἐντεριώνην μετατραπέντος, πρὸς χυλὸν εἶσι τὸ
» αἷμα, εἰς μακροὺς δ' οἱ βραχίονες κλάδους, εἰς
» δὲ πρέμνους οἱ δάκτυλοι, καὶ εἰς φλοιὸν τὸ δέρμα
» σκληρύνεται. Ἤδη μὲν οὖν καὶ τὴν γαστέρα ἐγκυ-
» μονοῦσαν αὐξανόμενον τὸ δένδρον περιέζωσε, καὶ τὸ
» στῆθος ἔκρυψε, καὶ τὸν τράχηλον καλύψον προ-
» σῄει· ἡ δ' οὐκ ἠνείχετο θανεῖν (2), ἀλλὰ, τῷ ἀνιόντι
» συναντήσασα ξύλῳ, ὑφίζησε, καὶ τὸ πρόσωπον
» τῷ φλοιῷ κατεβάπτισεν. Αὕτη δ' οὖν εἰς τὰ μά-
» λιστα τὴν προτέραν αἴσθησιν ἀπεβάλετο σὺν τῷ
» σώματι· ὅμως γε μὴν κλαίει, καὶ χλιαραὶ τοῦ
» δένδρου σταγόνες ῥεοῦσιν. Ἔστι δὲ τιμὴ καὶ τοῖς
» δάκρυσι, καὶ κατάστακτος τῶν φλοιῶν (3) ἡ μύῤῥα
» τὸ τῆς δεσποίνης ὄνομα φέρει, καὶ οὐδένα σιγη-
» θήσεται χρόνον.

» Τὸ δὲ δὴ κακῶς συλληφθὲν βρέφος ὑπὸ τῷ ξύλῳ
» ηὐξήθη, καὶ ἔξοδον ἐζήτει, δι' ἧς, τὴν μητέρα κα-
» ταλεῖπον (4) ἐξέλθοι. Ἡ δ' ἐγκύμων γαστὴρ ἐν μέ-

(1) Cod. ἤκυχε. Nescio an apte emendaverim.

(2) Male legit *mori* pro *moram*. Repone, ἠνείχ. τὴν μέλλησιν.

(3) Cod. κατάστικτος τὸν φλοιόν.

(4) Codex, καλεῖπον.

» σφ τῷ δένδρῳ ἐξοιδεῖ, διαλείνει δ' ὁ φόρτος τὴν
» μηλέαν, καὶ αἱ ὀδύναι ῥήμασιν οὐκ ἔχουσι χρῆ-
» σθαι, ἀλλ' οὐδὲ τὴν Εἰλείθυιαν ἐνὸν ταῖς τῆς τι-
» κτούσης φωναῖς ἐπικαλεῖσθαι. Ὠδινούσῃ δ' ὅμως
» ἐώκει τὸ δένδρον, καὶ κυρτωθὲν συνεχεῖς δίδωσι
» σπασμοὺς καὶ δάκρυσι καταῤῥέουσι βρέχεται. Ἐπέ-
» σπη τοίνυν ἐπὶ τοὺς ὀδυνωμένους ἡ Εἰλείθυια κλά-
» δους, καὶ τὰς χεῖρας ἐπέθηκε, καὶ παιδιόκα ῥή-
» ματα εἶπεν. Ἀμυχὰς τοιγαροῦν ποιεῖται τὸ δέν-
» δρον, καὶ τοῦ φλοιοῦ σχισθέντος ζῶν ἔξεισι τὸ
» φορτίον. Καὶ κλαυθμυρίζει (1) τὸ βρέφος δή. Τοῦ-
» το δ' αἱ Νηίδες ἐν μαλακῇ πόᾳ θεῖσαι τοῖς τῆς
» μηλέας ἤλειψαν δάκρυσιν. Ἐπήνεσεν ἂν καὶ αὐτὸς
» ὁ Φθόνος τὸ τούτου κάλλος. Οἷα γὰρ ἐν πί-
» ναξι (2) τὰ σώματα τῶν Ἐρώτων γυμνὰ γεγράφθαι,
» τοιοῦτος καὶ ὁ παῖς ἦν Ἄδωνις· ἀλλ', ἵνα μηδὲ μίαν
» ἡ σκευὴ τούτοις παραλλαγὴν ἐμποιῇ, ἢ καὶ τούτῳ
» φαρέτραν πάρεστιν κούφην, ἢ καὶ τοῦ Ἔρωτος
» ἄφελε. Ἀλλὰ γὰρ ὁ πλησμονὴς χρόνος ἀδήλως ὑπολι-
» σθαίνει καὶ λανθάνων ὑποῤῥεῖ, καὶ οὐδέν ἐστι τούτου
» ταχύτερον. Οὗτος γάρ, ὃς ἐκ τῆς ἀδελφῆς καὶ
» τοῦ οἰκείου πάππου γεγέννηται, ὁ περὶ μικροῦ κε-
» χρυμμένος ἐν δένδρῳ, ἄρτι μὲν εἰς φῶς περῆλθεν,
» ἄρτι δὲ περικαλλέστατον ἦν βρέφος, νῦν μεῖραξ,
» νῦν ἀνήρ, ἤδη περικαλλέστερος αὐτὸς αὑτοῦ γίνε-

(1) Codex, κλαυθμηείζει: notata sæpissime permutatione.

(2) A pictis quoque imaginibus sumit comparationem et amati citharœdi encomium Parthenis Aristænetea (II, 5): εἰ μὴ ποιοῦτος ἦν ὁ Ἀχιλεὺς οὗ ἔμαθον ἐκ τῶν οἰκοπιπάκων, οὐκ ἦν ὄντως καλός. Atque pariliter Aristæneti Philopinax: ἐκ τῶν πινάκων ἐπίσταμαι Φαῖδραν, Νάρκισσον, Πασιφάην: cf. ibi notata.

» ται, ἤδη καὶ τὴν Ἀφροδίτην ἀρέσκει, καὶ τῷ τῆς
» μητρὸς ἔρωτι ἐπαμύνει. Ὁ γὰρ φαρετροφόρος παῖς
» Ἔρως, φιλήματα διδοὺς τῇ μητρὶ, ἐξέχοντι βέλει
» τὸ στέρνον αὐτῆς ἀγνοῶν ἔτρωσεν (1). Ἡ δὲ θεὸς
» πληγεῖσα χειρὶ τὸν υἱὸν ἀπώσατο. Τὸ δὲ τραῦμα
» βαθύτερον γέγονεν ἢ ἐδόκει, κἂν τοῖς πρώτοις ταύ-
» την ἠπάτησεν. Ἁλοῦσα δὲ τῷ τοῦ ἀνδρὸς κάλλει,
» οὐκ ἔτι τῶν Κυθερείων ἠϊόνων φροντίζει, οὐ πρὸς
» τὴν (2) Πάφον ἐπάνεισι τὴν βαθείᾳ περιεζωσμένην
» θαλάττῃ, ἢ τὴν πολύϊχθυν Κνίδον, ἢ τὴν μετάλλων
» ἐγκύμονα Ἀμαθοῦντα· ἀπέχεται καὶ τοῦ οὐρανοῦ·
» τοῦ γὰρ οὐρανοῦ προτιμότερος Ἄδωνις. Τοῦτον
» κατέχει, τούτῳ ξυμπορεύεται. Καί τοι διὰ παντὸς
» εἰωθυῖα σκιατραφεῖσθαι, καὶ δι' ἐπιμελείας τὸ κάλ-
» λος αὔξειν, δι' ὀρῶν, διὰ δρυμῶν καὶ πέτρων τρα-
» χυτάτων πλανᾶται, καὶ, μέχρις γονάτων, τῷ τῆς
» Ἀρτέμιδος ἔθει, τὴν ἐσθῆτα ἀνεζωσμένη, τοὺς κύνας
» ἐπήλειφε, καὶ τὰ τῆς ἀσφαλοῦς κυνηγεσίας ζῶα
» διώκει, ἢ κατωμάδιον (3) λαγωὸν ἢ ὑψηλὸν τοῖς κέ-
» ρασιν ἔλαφον, ἢ αἶγας ἀγρίας· ἀπέχεται μέντοι
» τῶν ἰσχυρῶν κάπρων, καὶ τῶν ἁρπάγων λύκων, καὶ
» τῶν ὡπλισμένων τοῖς ὄνυξιν ἄρκτων· φυλάττεται
» δὲ καὶ τοὺς ἀγέλης φόνῳ κορεννυμένους λέοντας, καὶ
» σοὶ δὲ, Ἄδωνις (εἴ τί σε ἀνύσειν οἷά τέ ἐστι πα-
» ραινοῦσα), ὡς ἂν φοβοῖο παραινεῖ. Καί φησιν· Ἐρ-
» ρωμένος μὲν ἔσο κατὰ τῶν φευγόντων, κατὰ δὲ τῶν
» τολμηρῶν οὐκ ἀσφαλὲς τὸ τῆς τόλμης. Φείδου τοῦ

(1) Aristænetus I, 8, de Amoribus: καὶ τὴν ἑαυτῶν ἔτρωσαν ἐκεῖνοι μητέρα: ubi cf. interpretes.

(2) Cod. οὐ τὴν πρὸς, inverso ordine.

(3) Imo ταχὺν, *pronos lepores.*

» θεσσὺς εἰς ἐμὸν κίνδυνον, νεανία, τυγχάνειν· μηδὲ
» τοῦς θῆρας, οἷς ἡ φύσις ὅπλα δέδωκε, θέλε φο-
» νεύειν, ὡς ἂν μή μοι μεγάλης τιμηθεὶς ζημίας ἦς
» σὴ δόξα. Οὐ κάμπλει καὶ γὰρ οὐχ ἥλικία, οὐ κάλ-
» λος, οὐχ ἃ (1) τὴν Ἀφροδίτην ἐμὲ ἔκαμψεν, οὐ
» λέοντας, οὐ τοὺς τὴν χαίτην φέσσοντας χοίρους,
» οὐ τοὺς τῶν ἄλλων θηρῶν ὀφθαλμούς τε καὶ γνώμας.
» Πῦρ μὲν γὰρ οἱ ὀξεῖς κάπροι ἐν τοις καμπύλοις
» ὀδοῦσιν ἔχουσιν· ὁρμὴ δὲ καὶ θυμὸς τοῖς ξανθοῖς
» πρόσεσθι λέουσι, καί μοι τὸ τούτων γένος ἐσύγηλαι.
» Τῷ δὲ τίς ἡ αἰτία τοῦ μίσους ἐρωτῶντι, Λέγειμ'
» ἄν, εἶπε· καὶ τὸ τῆς παλαιᾶς ἁμαρτίας φράσαι
» μοι θαυμάσιον (2) τέρας. Ἀλλ' ὁ πόνος, οὐκ εἰ-
» ωθὼς ὤν, ἤδη μοι παρεῖσθαι πεποίηκε τὴν ἰσχύν.
» Ἀλλ' ἰδοὺ καὶ λευκὴ (3) εὐκαίρως τῇ σκιᾷ πάρεσθι
» δεξιουμένη, καὶ ἡ πόα εὐνὴν δίδωσιν· ἡδέως δ' ἂν ἐπὶ
» ταύτης ἀνακλιθείην. Καὶ ἀνεκλίθη καὶ τῆς γῆς (4),
» καὶ τὴν πόαν ἐπίεσε. Κἀν τῷ κόλπῳ τοῦ νέου θεῖσα
» τὴν κεφαλήν, οὕτως ἔλεγεν ὑπλία κειμένη, μέλαξὺ
» δὲ τῶν λεγομένων καὶ φιλήμαλα παρεμίγνυ.
» Τάχα ἤκουσας κόρην τινὰ τῷ τοῦ δρόμου ἀγῶνι
» ταχινῶν ἀνδρῶν περιγενομένην. Ἔστι δ' οὐ μῦθος,

(1) Codex, οὐ ἄ. Quod sequitur, τὴν Ἀφροδίτην ἐμὲ, conferri potest cum parilis structuræ sententiis apud Porphyrium Vita Plotini : ἔσχε δὲ καὶ ἐμὲ Πορφύριον, Τύριον ὄντα, ἐν τοῖς μάλιστα ἐπαῖρον. Rursus : Βασιλεὺς δὲ πύρωμα τῷ Πορφυρίῳ ἐμοὶ πρέπων.

(2) Pro *mirabere* puto eum male legisse *mirabile*.

(3) Inserui λευκὴ, ut lacunam ab interprete relictam implerem, redderemque græca voce latinum *populus*. Mox rescribendum mihi fuit δεξιουμένη pro scripto δεξιούμενος.

(4) Ovidius : « Iibet hac re-» quiescere tecum (Et requievit) » humo. » Planudes *humo* vertit ceu invenisset *humi*.

» ἀλλ' ἀληθὴς φήμη τοῦτο· καὶ γάρ τοι πελεγίνετο.
» Οὐδ' ἂν εἶχες εἰπεῖν πότερον τῷ τῶν ποδῶν θαύματι
» ἢ τῷ κάλλει τῆς μορφῆς ἦν διαπρεπεστέρα. Ταύτῃ
» περὶ ἀνδρὸς χρωμένῃ ὁ θεὸς ἀπεῖπεν οὕτως εἰπών·

» Οὔ σοι δῖ πόσις· γάμον ἀνδρὸς φεῦγε, Ἀταλάντη.
» Ἔμπης (1) δ' οὐ φεύξῃ· σαυτὴν δὲ ζῶσ' ἀπολέσσεις.

» Ἡ δὲ, τὸν τοῦ θεοῦ καταπλαγεῖσα χρησμὸν,
» ἄγαμος ἐπὶ τῶν κατασκίων δρυμῶν διεγίνετο, καὶ
» τὴν ἐγκειμένην τῶν μνηστήρων φυλὴν ἀπολόμως δὴ
» φυγαδεύει (2). Καὶ, Οὐδείς μου ἀπολαύσεται, ἔλεγεν,
» ὅτι μὴ πρόσθεν νικηθείσης τῷ δρόμῳ. Τοιγαροῦν
» διαμιλλήσασθέ μοι, καὶ τῷ ταχυτέρῳ μέν μου
» αὐτή τε γυνὴ καὶ οὐμὸς δοθήσεται θάλαμος ἆθλον·
» τοῖς δὲ βραδυτέροις (3) πρόσιμον ἔσται θάνατος.
» Οὗτος ἔσται τοῦ ἀγῶνος ὁ νόμος. Ἡ μὲν οὖν ἀπάν-
» θρωπος ἦν· ἀλλὰ (τοσαύτη τίς ἐστιν ἡ τοῦ κάλλους
» ἰσχύς!) ἦκει πρὸς τὸν νόμον τοῦτον ἀπερίσκεπτος
» τῶν μνηστήρων πληθύς. Ἐκάθητο δ' Ἱππομένης τοῦ
» ἀποστου θεατὴς δρόμου, καὶ, Ἄρα, φησὶ, σύζυγὸς
» τινι διὰ τοσοῦδε κινδύνου ζητεῖται; καὶ τοὺς σφε-
» δροὺς ἐρωτᾶς τῶν νέων ἐμέμφετο. Ὡς δ' εἶδεν, ἀποθε-
» μένης τὴν ἐσθῆτα, τό, τε πρόσωπον καὶ τὸ λοιπὸν
» σῶμα, ὁποῖον τοὐμὸν, ἢ ὁποῖον τὸ σὸν, εἴπερ ἦσθα

(1) Cod. ἔμπης—σῶς ἀπολέσεις.

(2) Ovidius: « instantem turbam violenta procorum Conditione fugat. » Codex, φυγὴν, quod in φυλὴν mutavi: importunum φυγὴν calami lapsus esse videtur. Nemini veniat in mentem Tan. Fabri conjecturam *violente* versione Planudis firmari: Planudes *violenta conditione* junxit, etsi non jungenda, et vertit, ut potuit, paulo liberius.

(3) Codex, βαθυτέροις.

» Καὶ δὴ θέουσα καὶ ἐρύθημα καλὰ τὸ σῶμα περὶς
» τῇ παιδικῇ λευκότητι ἐπεσπάσατο, οὕτουν ἑτέρως
» ἢ ὡς ὑπὲρ σκηνῆς λευκῆς βῆλος (1) πορφυρᾶς ὁμοίαν
» ἀποδίδωσι καὶ διαχρώννυσιν ἐξ ἡλίου σκιάν. Ἐν ὅσῳ
» δὲ ταῦθ' ὁ ξένος ἐσημειοῦτο, καὶ ὁ ἔσχατος δρόμος
» ἐπὶ τοῦ τέρματος δινύσθη. Καὶ φαιδρὸν μὲν ἡ Ἀτα-
» λάντη νικήσασα στέφανον ἀναδεῖται· στεναγμοὺς
» δ' οἱ λειφθέντες ἀναδιδόασι, καὶ τὰς δίκας ἐξ ὁμο-
» λογίας ὑπέχουσιν (2). Ὅ γε μὴν νεανίας, οὐδαμῶς τῇ
» τούτων τύχῃ καλασειοθεὶς τὴν ψυχὴν, ἔστη ἐπὶ
» τοῦ μέσου, καὶ, τὴν ὄψιν εἰς τὴν παρθένον ἐρείσας,
» Τί πόλε, φησὶ, γέρας καὶ ἐπίσημμα φαῦλον ζηλεῖς
» τῷ τοιούσὶ τοὺς νωθροὺς παιδέναι; Ἐμοὶ συνε-
» νέχθηι (3). Κἂν μέν με κρατεῖν ἡ τύχη ποιήσῃ, οὐκ
» ἂν ἀπαξιώσαις ὑπὸ τοιούτου μειονεκτεῖν· καὶ γάρ
» μοι πατὴρ Μακαρεὺς, ἐκείνῳ δ' Ἀχέστιος, πάππος
» δὲ Ποσειδῶν· ἀπέγγονος (4) δ' ἐγὼ τοῦ τῶν ὑδάτων
» δεσπόζοντος· οὐδέ μοι ἡ ῥώμη ἐπὶ τάδε τοῦ γένους
» ἐστίν· ἂν δ' ἐλατίου σχῶ, ἔχεις, καλὰ τοῦ Ἱπο-

v. 642; et ad XI, 474; XII, 517. Cf. pag. 311.

(1) Jam monui, pag. 204, de barbara hac voce qua latinam *velum* reddit Planudes. Ibi et accentus in ultima male erat collocatus; nunc locum tenet legitimum, et qui latinæ prosodiæ consonet. Mox habuit Planudes, «similem dat etinficit umbram», quod retinendum est. *Simulatas*, mendum, puto, typorum in Burmanniana, Gierigium, ab Editore nostro, viro diligentissimo, merito notatum, in errorem traxisse videtur. Fischeriana *similatas* exhibet.

(2) In codice est ὑπίσχουσιν.

(3) «Mecum confer, ait»: ita editus Ovidius, quod editores merito impedire videtur. Planudea verba me ad id inducunt, ut putem ipsum legisse, quod, et si non invenerit, lectu non erit pessimum: «mecum confer» tor.» Rarum illud tempus immutaverunt forsan antiquarii.

(4) Cod. ἀπίσωος. Cf. p. 478.

» χυνὴ, ἐνεὸς ἔμεινε. Καὶ, τὰς χεῖρας ἐπάρας, Σύγ-
» γνωθέ, εἶπεν, ὑμεῖς ὧν νυνὶ κεκλεγένωσκον. Οὔπω δι'
» εὐχῆς ἦν (1), ἃ γε ζηλεῖτε, τὰ ἆθλα. Καὶ ἐπαινῶν
» ἔρωτα συλλαμβάνει, καὶ τὸν Φθόνον φοβεῖται (2).
» Ἀλλὰ τί δή ποτε, φησὶ, τοῦδε ἀγῶνος (καὶ εὐχεταί
» μηδένα τῶν νέων θᾶττον ἐκείνης δραμεῖν) ἀπεί-
» ργομαι ἔμοιγ' ἡ τύχη καταλιμπάνεται; Τοῖς τολ-
» μῶσι θεὸς αὐτὸς συνεργεῖ. Τοιαῦτα πρὸς ἑαυτὸν
» Ἱππομένης διεξιών, ὁρᾷ τὴν ἀντιάνειραν ἐκείνην
» πλανῷ βήματι ἱπταμένην. Τῆς δὲ καί τοι μὴ βρά-
» διον Σκυθικοῦ βέλους ἰέναι τῷ Ἀονίῳ δοξάσης νέῳ,
» ὅμως ἐκεῖνος μᾶλλον τὸ κάλλος ἐθαύμαζε· καὶ
» γὰρ οὖν αὐτὸς ὁ δρόμος ἐνεποίει τὴν χάριν μᾶλ-
» λον. Αὔρᾳ (3) μὲν οὖν φέρει τὴν τῆς ἐσθῆτος ὥραν
» τοῖς ταχινοῖς τινασσομένην σφυρῖς· οἱ πλόκαμοι
» δὲ οἷα τῶν ἐλεφαντίνων ῥίπτονται νώτων, καὶ διὰ
» τῶν ἀντικνημίων οἱ τὰς ἰγνύας ὑπιόντες ἱμάντες.

(1) Latine : « nondum mihi » præmia nota. » Nescio quid hic Planudes viderit, forsan *vota* pro *nota*. Quidquid id sit, repone : οὔπω εἶγνων.

(2) Ovidius : « laudando concipit ignem, Et ne quis juvenum currat velocius optat, Invidiaque timet. Sed cur certaminis hujus Intentata mihi fortuna relinquitur ? inquit. » Planudes legit, « laudando concipit ignem, » Invidiamque timet. Sed cur certaminis hujus (Et ne quis juvenum currat velocius optat) Intentata..... » Optime, si quid video. Nunc e conjectura Micylli *invidia* scriptum est, et sic periit recondita et verissima lectio *Invidiam*. Qui laudabant aut se aut alios Nemesim, Adrasteam, Invidiam aut sibi aut aliis metuebant, et ejus pacem invocabant, aut precum formulis, velut *præfiscini*, ἀπὸ φθόνος, aliis; aut ritibus quibusdam, veluti sordida in sinum desputatione. Fuse rem tractavit Mercerus ad Arist. I, 1, 19, p. 241 seqq. 490; nec plures testes invocabo, adeo nota est et pervulgata superstitiosa hæc Veterum opinio. Cf. pag. 115.

(3) Cod. αὖρα : ut infra ad

» Καὶ δὴ θέουσα καὶ ἐρύθημα κατὰ τὸ σῶμα πρὸς
» τῇ παιδικῇ λευκότητι ἐπεσπάσατο, οὔκουν ἑτέρως
» ἢ ὡς ὑπὲρ σκηνῆς λευκῆς βῆλος (1) πορφυροῦς ὁμοίαν
» ἀποδίδωσι καὶ διαχρώννυσιν ἐξ ἡλίου σκιάν. Ἐν ὅσῳ
» δὲ ταῦθ' ὁ ξένος ἐσημειοῦτο, καὶ ὁ ἔσχατος δρόμος
» ἐπὶ τοῦ τέρματος διηνύσθη. Καὶ φαιδρὸν μὲν ἡ Ἀτα-
» λάντη νικήσασα στέφανον ἀναδεῖται· στεναγμοὺς
» δ' οἱ λειφθέντες ἀναδιδόασι, καὶ τὰς δίκας ἐξ ὁμο-
» λογίας ὑπέχουσιν (2). Ὅ γε μὴν νεανίας, οὐδαμῶς τῇ
» τούτων τύχῃ κατασεισθεὶς τὴν ψυχὴν, ἔστη ἐπὶ
» τοῦ μέσου, καὶ, τὴν ὄψιν εἰς τὴν παρθένον ἐρείσας,
» Τί ποτε, φησὶ, γέρας καὶ ἐπίγραμμα φαῦλον ζητεῖς
» τῷ τουτουσὶ τοὺς νωθροὺς παριέναι; Ἐμοὶ συνε-
» νέχθητι (3). Κἂν μέν με κρατεῖν ἡ τύχη ποιήσῃ, οὐκ
» ἂν ἀπαξιώσαις ὑπὸ τοιούτου μειονεκτεῖν· καὶ γάρ
» μοι πατὴρ Μακαρεὺς, ἐκείνῳ δ' Ἀχέστιος, πάππος
» δὲ Ποσειδῶν· ἀπέγγονος (4) δ' ἐγὼ τοῦ τῶν ὑδάτων
» δεσπόζοντος· οὐδέ μοι ἡ ῥώμη ἐπὶ τάδε τοῦ γένους
» ἐστίν· ἂν δ' ἔλαττον σχῶ, ἔχεις, κατὰ τοῦ Ἱπο-

v. 642; et ad XI, 474; XII, 517. Cf. pag. 311.

(1) Jam monui, pag. 204, de barbara hac voce qua latinam *velum* reddit Planudes. Ibi et accentus in ultima male erat collocatus; nunc locum tenet legitimum, et qui latinæ prosodiæ consonet. Mox habuit Planudes, «similem dat etinficit umbram», quod retinendum est. *Simulatas*, mendum, puto, typorum in Burmanniana, Gierigium, ab Editore nostro, viro diligentissimo, merito notatum, in errorem traxisse videtur. Fischeriana *similatas* exhibet.

(2) In codice est ὑπέσχουσιν.

(3) «Mecum confer, ait»: ita editus Ovidius, quod editores merito impedire videtur. Planudea verba me ad id inducunt, ut putem ipsum legisse, quod, et si non invenerit, lectu non erit pessimum: «mecum confer» tor.» Rarum illud tempus immutaverunt forsan antiquarii.

(4) Cod. ἀπέγκονος. Cf. p. 478.

» μένους στεφανωθεῖσα, μέγα καὶ ἀείμνηστον ὄνομα.
» Τοιαῦτα λέγοντι μαλακοῖς ὀφθαλμοῖς ἡ Σχοινέως
» ἐνηένισε κόρη, καὶ ἐν ἀμφιβόλῳ γένεται πότερον
» ἕλοιτ' ἂν νικᾶν ἢ νικᾶσθαι. Καὶ δὴ πρὸς ἑαυτὴν
» οὕτως ἔλεγε· Τίς θεὸς ἄδικος τὸν εὐειδέστατον τοῦτον
» ἀπολέσαι βεβούλευται, καὶ τῷ κινδύνῳ τῆς φίλης
» ζωῆς τὸν γάμον κελεύει τόνδε ζητεῖν; Οὐ τοσούτου
» ἐμαυτὴν παρ' ἐμοὶ τιμῶμαι κειτῇ. Καὶ οὐ λέγω
» ὡς ἀλισκομένη τῷ τούτου κάλλει· καίτοι γε ἡδυ-
» νάμην ἁλίσκεσθαι· ἀλλ' ὅτι γε παῖς ἐστὶν ἔτι,
» οὐδ' ὁτιοῦν με τοῦτο κηλεῖ. Τί δ' ἂν εἴποι τις
» τὴν ἡλικίαν (1); τί δ' ὅτι πρόσεστι ῥώμη, καὶ ψυχὴ
» θανάτου ἀπλόϊος; τί δ' ὅτι τέταρτος τῆς
» θαλαττίας συγγενείας κεκαρυθμεῖται; τί δ' ὅτι
» ἐρᾷ (2), καὶ τοσούτου τὸν ἡμέτερον γάμον ἄξιον
» οἴεται, ὡς καὶ ἀπολέσθαι, εἰ τούτῳ με ἡ δεινὴ
» τύχη ἁπαγρεύσει; Ἕως ἔξεστιν, ἄπιθι, ξένε, καὶ
» θάλαμον λελυθρωμένον ἀπόλιπε. Χαλεπὸς οὑμὸς
» γάμος. Σοὶ γαμηθῆναι οὐκ ἔστιν ἥτις οὐκ ἂν ἐθε-
» λήσειεν· εὐχῆς τε ἄξιος εἶναι οἷός τ' εἶ παρὰ νοῦν
» ἐχούσης παρθένου. Τίς δ' ὅμως φροντίς μοι τῶν
» καλά σε, τοσούτων ἤδη πρόσθεν ἀπολωλότων;
» Αὐτὸς τοιγαροῦν ὄφελε· ἀπολέσθω, ὅτι τοσούτων
» φόνῳ μνηστήρων οὐ νενουθέτηται, ἀλλ εἰς μῖσος
» τῆς ἑαυτοῦ ζωῆς φέρεται. Θαυμαστὸν τοίνυν οὗτος, ὅτι
» σὺν ἐμοὶ ζῆσαι ἠθέλησε, καὶ θαυμαστὸν οὐκ ἐπάξιον
» μισθὸν τοῦ ἔρωτος ὑποστήσεται; Οὐκουν ἡ Ἀσφάλεια
» τὴν ἐμὴν νίκην ἀνέξεται. Ἀλλ' οὐκ ἐμὸν δὴ τοῦτο

(1) Non nihil hic est in versione turbatum et scabrum.

(2) Inserui, τί δ' ὅτι ἐρᾷ: « quid quod amat? »

» πλαῖσμα. Ὡς ὄφελες ἐθέλειν ἀφίσθαι τῆς πρ-
» θέσεως, καὶ, ἐπειδήπερ ἄφρων εἶ, ταχύτερος εἶναι!
» Ἅ πόσον δή τι παρθενικὴ μορφὴ τῷ παιδικῷ τῷδε
» προσώπῳ προσέσθιν! Ἅ δύσθηνε Ἱππόμενες! ἤθελον
» εἰ μηδὲ τὴν ἀρχὴν ὄφθην σοι· ζῆν καὶ γὰρ ἄξιος
» ἦσθα. Εἰ δ' ἐγὼ εὐτυχεσθέρα τις ἐτύγχανον οὖσα,
» μηδέ μοι τὴν συζυγίαν ὁ ἀπαίσιος ἐκεῖνος χρησμὸς
» ἀνένευσεν, εἷς ἂν ἦσθα σύ, ᾧ τὴν εὐνὴν ἂν συνάρμας
» ἠθέλησα. Εἶπεν. Οἷα δ' ἄπειρος καὶ πρώτῳ ἁλοῦσα
» ἔρωτι, τί ποτ' ἂν ποιήσειεν ἀγνοοῦσα, ἐφ' ᾧ μὲν,
» τοῦ δ' ἔρωτος οὐκ αἰσθάνεται. Ἤδη μὲν οὖν τοὺς
» εἰωθότας δρόμους ἀπαιτοῦσιν ὁ πατὴρ δὴ καὶ ὁ δῆμος·
» ἐμὲ δ' ὁ Ποσειδώνιος παῖς Ἱππομένης ἐπικαλεῖ
» λιπαρεῖ σὸμαλι, Παρέσθω, λέγων, ἡ Κυθέρεια τοῖς
» ἠμελέκοις τολμήμασι, καὶ, ὃν ἔδωκεν ἔρωτα, καὶ συ-
» νεργείτω δὴ τούτῳ. Αὔρα τοίνυν ἄφθονος (1) τὰς
» ἐκείνου θέλγειν ἐχούσας δεήσεις προσήνεγκέ μοι·
» ἐγὼ δ' ἐκάμφθην, ὁμολογῶ, καὶ, δίχα τινὸς βρα-
» δύτητος, τὴν συμμαχίαν παρεῖχον.

» Ἔστι δέ τις ἀγὼν (Δαμασκηνὸν (2) αὐτὸν οἱ

(1) « Aura *non invida.* » Monet Gierigius de poetica illa locutione qua res inanimatæ dicuntur *invidere* : quæ viri docti annotatio mihi similia et de rebus et de animalibus dicta in mentem revocavit lectori non invidenda. Antipater in Eroticis Anthologiæ Palatinæ Ep. 3 : Ὄρθρος ἔβη, Χρύσιλλα, πάλαι δ' ἠῶος ἀλέκτωρ Κηρύσσων φθονερὴν Ἠριγένειαν ἄγει. Ὀρνίθων ἐράοις φθονερώτατος, ὅς με — Agathias ibid. Ep. 237, ad hirundines quæ ipsum intempestivis stridoribus a somno excitabant : Ὦ φθονεραὶ παύσασθε λαλητείδες. Nec non e Nostris exempla peti possunt. Parnysus in Rusticano Die : « je vois tomber les vê-» temens *jaloux.* » Andreas Chenerius, in Lyde : « Mon écharpe » de lin que je ferois flotter, » Loin de ton beau visage au-» roit soin d'écarter Les insectes » volans et la *jalouse* abeille.

(2) Legit Planudes *Damascenum*, vel sic *Damasenum* correxit. Lectio est incerta ob codd.

» ἰθαγενεῖς τοὔνομα λέγουσι) τῆς Κυπρίας γῆς μέ-
» ρος τὸ κρήτισσον, ὅπερ οἱ ἀρχαῖοί μοι γέροντες
» ἀφιέρωσαν, καὶ τοῖς ἐμοῖς ναοῖς ἐκεῖθεν ἐκέλευσαν
» πρησιέναι τὰ ἀναθήματα. Ἐν μέσῳ δὲ τῷ χωρίῳ
» δένδρον διαλάμπει, ξανθὸν τὴν κόμην, ξανθὸν τοὺς
» πολυήχους κλάδους χρυσῷ. Ἐκεῖθεν ἐρχομένη ἔτυ-
» χον τρία μῆλα φέρουσα, ἃ ἐδρεψάμην, χρυσᾶ,
» καὶ, σὺν ἐκείνῳ, μηδενὶ βλεπομένη, πρησῆα τῷ
» Ἱππομένει, καὶ πῶς πολὺ χρήσιμά γε ἐκείνοις ἐδί-
» δαξα. Τὸ σύνθημα μὲν οὖν ἡ σάλπιγξ ἐδίδου· ἐκ
» δὲ τῆς ὕσπληγγος ἑκάτερθι πρωκύψαντες ἐξεπή-
» δησαν, καὶ κούφῳ ποδὶ τῆς ἄκρης ψαύουσιν ἄμμου.
» Ὠήθης ἂν ἐκείνους οἵους τ' εἶναι καὶ θάλατταν ξηρῷ (1)
» βήματι τέμνειν, καὶ δι' ὀρθῶν ἀνθερίκων λευκοῦ θεῖν
» λητου. Προσιθέασί γε μὴν προθυμίαν τῷ νέῳ ἥ τε
» κραυγὴ καὶ ἡ εὐνοια καὶ τὰ ῥήματα τῶν λεγόντων·
» Νῦν, νῦν καιρὸς ἐπιχεῖσθαι τῷ δρόμῳ, Ἱππόμενες·
» νῦν σπεύδειν χρή· νῦν πάσῃ χρῆσαι δυνάμει· πᾶ-
» σαν ἄπωσαι βραδύτητα· νικήσεις. Ἀμφίβολον δ'
» ἦν πότερον ἥδιον' ἂν τοῖς λεγομένοις. ὁ Μακάρειος
» ἥρως μᾶλλον ἢ ἡ Σχοινεία παρθένος. Ὦ ποσάκις,
» παρελθεῖν δυναμένη, σχολαιότερον ἦει, καὶ, ἧπερ
» ἐπὶ μακρὸν ἐνηλένιζεν ὄψει τοῦ νέου, ταύτην
» ἄκουσα καθελίμπανεν! Ἀνικμον μὲν οὖν ἅσθμα
» κάμνοντος πρηΐει τοῦ σιόμαλος· πόρρῳ δ' ἦν ἔτι
» τὸ τέρμα. Τότε δὴ τῶν τριῶν μήλων ἓν ὁ Πο-
» σειδώνιος γόνος ἔρριψεν. Ἐξεπλάγη δ' ἡ κόρη, καὶ
» τῷ τοῦ λαμπροῦ μήλου ἔρωτι κάμπτει τὸν

varietatem. *Tamasenum*, Ταμασηνὸν, fuerit probabile.

(1) Codex, θάλατταν ξηρᾶς ξηρῷ. Delevi male iteratam vocem.

» δρόμον, καὶ τὸν κυλιόμενον χρυσὸν αἴρει. Παρέ-
» δραμε τοίνυν Ἱππομένης, καὶ ἐπηλάλαξαν σὺν
» κέντρῳ οἱ θεαταί. Ἡ δὲ τὴν βραδυτῆτα καὶ τὸν
» ἀργήσαντα χρόνον ταχεῖ (1) δρόμῳ διορθοῦται, καὶ
» τὸν νεανίσκον αὖθις ἐπὶ δρόμου καθέλιπεν. Αὖθις τῇ
» τοῦ δευτέρου μήλου παρεκβασπεῖσα βολῇ, αὖθις
» ἔπεται καὶ παραμείβει τὸν ἄνδρα. Λοιπὸν δ' ἦν τὸ
» τοῦ δρόμου ἔσχατον. Καὶ ὁ Ἱππομένης, Νῦν πάρεσο,
» εἶπε, θεὰ, ἡ τοῦ δώρου δεσπότις! Εἰς δὲ τὸ τοῦ
» πεδίου πλάτος, ὅθεν ἐκείνη βράδιον ἂν ἐπανέκαμ-
» ψεν, ἐκ πλαγίου νεανικῶς ἀφῆκε τὸ χρυσοῦν μῆλον.
» Πότερον δὲ καὶ τοῦτο ζηλεῖν δεῖ, ἢ μὴ, διστάζειν ἡ
» παρθένος ἐδόκει. Ἐγὼ μὲν αἴρειν ἠνάγκασα, καὶ,
» ἀναληφθέντος τοῦ μήλου, καὶ βάρος προσέθηκα,
» καὶ ἐπέσχον ἐπίσης τῷ τε βάρει τοῦ φορτίου καὶ
» τῇ βραδυτῆτι. Ἵνα δὲ μὴ βραδύτερος οὑμὸς εἴη
» λόγος αὐτοῦ τοῦ δρόμου, νενίκηται ἡ παρθένος λει-
» φθεῖσα· ὁ δὲ νικήσας τὸ οἰκεῖον ἡγήσατο γέρας (2).
» Ἄρα οὖν ἔγωγε, Ἄδωνις, οὐκ ἦν ἐπαξία χάριτάς
» τε ἀπέχειν ἐξ ἐκείνου καὶ θυμάτων τιμήν; Ἀλλ'
» οὔτε χάριτας ἡμῖν ὁ ἀμνήμων ἔγνω, οὔτε θύματα
» δέδωκεν. Αὐτίκα τοίνυν εἰς ὀργὴν μεταβάλλομαι, καὶ,
» τῇ ὀλιγωρίᾳ περιαλγήσασα, ὡς ἂν μὴ τῷ παρα-
» δείγματι περιφρονητέα καὶ τοῖς μεταγενεστέροις εἴην
» φυλάττομαι (3), καὶ ἐμαυτὴν αὐτὴ περὶ τούτους
» ἀμφω δὴ νουθετῶ. Παρήμεθον οὗτοι δὴ νεὼν τῆς

(1) Codex, vitio solenni, ταχυ.

(2) Ovidius, « duxit sua præ-» mia victor »; nempe duxit *uxorem* Atalantam quæ ei *præmium* victoriæ obtigit. Noster intelligendo, « putavit ad se præ-» mia pertinere », nihil intellexit.

(3) Debuit scribere alio ordine: ὡς ἂν μὴ περιφρον. καὶ τοῖς μετ. εἴην τῷ παραδ. φυλάττ.

» Μητρὸς τῶν θεῶν, ὅν ποτε κατ' εὐχὴν ὁ περιφανὴς
» Ἐχίων ἐξειργάσατο ἄλσει λασίῳ κεκρυμμένον, καὶ
» ἀναπαύσασθαι τούτους τὸ μακρὸν τῆς πορείας ἀνέ-
» πεισεν. Ἐκεῖ δὴ τὸν Ἱππομένην ἄωρος ἐπιθυμία
» τῆς πρὸς Ἀταλάντην κατέλαβε συνελεύσεως, πρὸς
» τῆς ἡμετέρας ἀναφθεῖσα θειότητος. Ἦν δ' ἔγγιστα
» τοῦ νεὼ σμικρᾶς θύρας ἀνακεχωρηκὸς οἴκημα, σπη-
» λαίῳ προσόμοιον, αὐτοφυεῖ κισσήρει ἐστεγασμένον,
» ἱερὸν τῇ θρησκείᾳ τῶν παλαιῶν, ἔνθα πολλὰ τῶν
» παλαιῶν θεῶν ὁ ἱερεὺς ἀφιδρύματα ξύλινα ἐπε-
» στοίβαζεν. Εἴσεισι τοίνυν ἐκεῖσε, καὶ τῇ ἀπηγορευμένῃ
» αἰσχρότητι μολύνει τὰ ἱερά· τὰ δ' ἀγάλματα τοὺς
» ὀφθαλμοὺς ἑαυτῶν ἀπέστρεψε (1), καὶ ἡ πυργοφόρος
» Μήτηρ ἐνεδοίασεν εἰ πρὸς τὰ τῆς Στυγὸς ὕδατα
» καταποντίσει τοὺς ἀνοσίους. Ἀλλ' ἔδοξεν ἡ τιμωρία
» κούφη. Ἀμέλει τοι καὶ τοὺς λείους τραχήλους νῦν
» ξανθαὶ χαίται καλύπτουσιν· εἰς ὄνυχας δ' οἱ δά-
» κτυλοι κάμπτονται· ἐκ δὲ τῶν ὤμων γίνονται ἁρ-
» μοὶ (2), καὶ ἐς τὸ στέρνον ἅπαν τὸ βάρος ἄπεισιν,
» καὶ ἡ τῆς ψάμμου ἐπιφάνεια τῇ τούτων οὐρᾷ
» καταγράφεται, ὀργήν τε τὸ πρόσωπον ἔχει, καὶ,
» ἀντὶ μὲν τῶν ῥημάτων, ἀποδιδόασι βρυχηθμοὺς,
» ἀντὶ δὲ θαλάμων, οἰκοῦσι τὰς λόχμας, καὶ τοῖς
» μὲν ἄλλοις φοβεροὶ λέοντές εἰσι, τοὺς δὲ τῆς Κυ-
» βέλης χαλινοὺς δεδαμασμένοις ὀδοῦσι τρίβουσι.
» Τούτους σύ μοι, φίλτατε, καὶ σὺν αὐτοῖς τὸ τῶν
» θηρῶν γένος, ὅπερ οὐ νῶτα πρὸς φυγὴν, ἀλλὰ στέρνα

(1) Codex, ἐπέστρεψε. Præpositiones ἐπὶ et ἀπὸ facile permutantur: cf. ad Aristænet. p. 466. In Luc. Nigr. 36, pro ἐπ' ἐμβολῆς, cod. Reg. 3010, ἀπ' ἐμβ. bene.

(2) Addidi ἁρμοί.

» πρὸς μάχην παρέχει, φεῦγε, ὡς ἂν μὴ ἡ σὴ ῥώμη
» ἐπιζήμιος ἀμφοῖν γένηται.
» Ἡ μὲν δὴ παρεινέσασα, συνεζευγμένοις κύκνοις
» ὁδοῦ δι' ἀέρος ἤλατο. Ἀλλ' ἐναντία ταῖς παρεινέ-
» σεσιν ἡ ῥώμη καθίστατο. Τυχὸν δ' οὕτω, κ' πρου
» σαφῆ ῥινηλατήσαντες οἱ κύνες ἴχνη, ἐπὶ τῆς κατα-
» δύσεως τοῦτον ἠρέθισαν. Τὸν δ' ἐξιέναι παρασκευα-
» ζόμενον τῆς λόχμης ὁ Κινάρειος νεανίας πλαγίᾳ
» πλήττει πληγῇ. Αὐτίκα δ' ἐκεῖνος τῇ ὑπερμεγέθει
» περιομῇ, ὑπὸ τοῦ οἰκείου αἵματος βεβαμμένῃ (1),
» τὸ δόρυ ἀπελινάξατο, τὸν δ' Ἄδωνιν τρέμοντα, καὶ
» ἀσφαλείας ἐπιλαβέσθαι ζητοῦντα, διώκει, καὶ ὅλους
» τοὺς ὀδόντας ὑπὸ τὴν ἧβην ἐκείνου κρύπτει, καὶ ἐκ-
» πνέοντα δὴ καλέσπρωσεν ἐπὶ ψάμμου ξανθῆς. Ἡ
» δὲ Κυθέρεια, φερομένη διὰ μέσου ἀέρος ἐν κούφῳ
» δίφρῳ, οὔπω πρὸς τὴν Κύπρον ὑπὸ τῶν κυκνείων
» πτερύγων ἐφθασεν. Ἔτνω δὲ καὶ πόρρωθεν θνήσκοντος
» τοὺς Ἀδώνιδος στεναγμούς, καὶ τὰς λευκὰς ὄρνεις
» ἐκεῖσε στρέφει. Ὡς δ' εἶδεν ἀφ' ὕψους τοῦ ἀέρος
» ἐκπνεύσαντα, καὶ τῷ οἰκείῳ αἵματι τὸ σῶμα ῥι-
» πτοῦντα, κατεπήδησε, καὶ τόν τε κόλπον καὶ τοὺς
» πλοκάμους ὁμοῦ διεσπάραξε, καὶ χερσὶν ἀγανα-
» κλούσαις (2) τὸ στέρνον ἐκόψατο, καὶ, μεμψαμένη
» ταῖς Μοίραις, Ἀλλ' οὐχὶ πάντα τῆς ὑμετέρας ἐξου-
» σίας, εἶπεν, ἔσται. Μνημεῖον δέ μοι τοῦ πένθους
» μενεῖ (3) ἐς τὸ διηνεκές, ὦ Ἄδωνις, καὶ τύπος τοῦ

(1) Legendum forsan βεβαμμένον.

(2) «*Indignis* percussit pectora palmis» vertit ceu esset *indignantibus*. Repone, ἀναξίοις, vel, nitidius quod erit et facilius, ἀνάξιον.

(3) Codex, μένει. Mutavi tonum, ut latinum *manebunt* verteretur.

» σοῦ θανάτου, ἐτησίως ἀνακυκλούμενος, μίμημα τοῦ
» ἡμετέρου ἀπεργάσεται θρήνου. Καὶ μεταστοιχειωθήσε-
» ται ὁ λύθρος εἰς ἄνθος. Ἦ σοι μὲν ἐξῆν ποτὲ, Περσε-
» φόνη, γυναικεῖα μέλη πρὸς ἀνθηρὰν μίνθην μετα-
730 » βαλεῖν; ἡμῖν δέ τις φθονήσει τοῦ τὸν Κινάρειον με-
» ταβαλεῖν ἥρωα; Οὕτως εἰποῦσα, τὸν λύθρον εὐώδει
» νέκταρι περιέῤῥανεν. Ὁ δὲ, τοῦτο δεξάμενος, εὐθὺς
» ἐξῴδησεν, ὥσπερ ἐν πυῤῥάζοντι (1) τῷ οὐρανῷ δια-
» φανὲς ἀνεγείρεσθαι εἴωθε νέφος. Οὔκουν δὴ μακρό-
735 » τερος τελείας ὥρας γέγονε χρόνος, καὶ ἄνθος ἐκ
» τοῦ αἵματος ὁμόχρουν ἀνέσχεν, οἷον αἱ ῥοιαὶ φέρειν
» εἰώθασιν, αἱ ὑπὸ φλοιῷ εὐενδότῳ τοὺς κόκκους κα-
» λύπτουσαι. Βραχεῖα δ' ὅμως χρῆσίς ἐστιν ἐν ἐκεί-
» νῳ. Καὶ γὰρ κακῶς προσισχόμενον πολλάκις, καὶ
» τῇ πολλῇ κουφότητι εὐόλισθον ὄν, ἐκτινάττουσιν αὐτὸ
» οἱ τὰ πάντα ἀποῤῥίπτοντες ἄνεμοι (2). »

(1) Legit et vertit *fulvo:* melior lectio *pluvio* vertenda erit ὀμβρίῳ. Nec *bulla* est νέφος, sed φυσαλὶς, πομφόλυξ.

(2) Gierigius, post Heinsium, vulgatam lectionem « qui perflant » omnia venti » ait nullis confirmari libris; Ciofanius tamen Briantii librum allegavit in quo eam viderat; et nunc accedit Planudei codicis auctoritas. Ceterum edita nunc lectio, « qui » præstant nomina venti », potior est, quam sic vertere poteris: οἱ τοὔνομα παρέχοντες ἄνεμοι.

Supplementum breviori annotationi adponam, Regulas flexionis temporis imperfecti et perfecti in verbis nonnullis compositis, e codice Regio 1630, pag. 249, olim a me descriptas, quarumque initium inseruit, ex alio codice sumtum, Bibliothecæ Coislinianæ pag. 499, Montefalconius.

Πῶς δεῖ κλίνειν εἰς τοὺς παρατατικοὺς τὰ ὑποτεταγμένα ῥήματα.

Ἐμπειρῶ· ἠμπείρουν καὶ ἐνεπείρουν. Διακονῶ· ἐδιακόνουν οἱ Ἀθηναῖοι καὶ δεδιακόνηκα (a)· οἱ δὲ κοινολεκτοῦντες, διηκόνουν. Διοικῶ· ἐδιῴκουν καὶ δεδιῴκηται καὶ διῴκουν (b). Ἀνέχομαι· ἀνειχόμην καὶ ἠνειχόμην καὶ ἠνεσχόμην.

Ἐμπολῶ· ἠμπόλουν, ἠμπόλημαι, ἠμπολήθην. Ἐμπορεύομαι, ἠμπορευόμην. Ἀμπέχομαι· ἠμπειχό-

μην καὶ ἠμπεχόμην. Ἐναπεῦμαι· ἠναπούμην. Παροινῶ· παροινήκα καὶ ἐπ (c). Ἐνοχλῶ· ἠνώχλουν καὶ ἐνώχλουν. Ἐμπορκῶ· ἐπιώρκουν. Καλιγῶ· καλιγήσα, καὶ ἐ καὶ ἐνιγῶν (d). Ἀμφίπυμαι· ἠμφιεννύμην. Ἀμφισβητῶ· ἠμφισβήτουν καὶ ἀμφισβήτουν (e). Προφασίζομαι· προεφασιζόμην καὶ ἐπροεφασιζόμην. Προαγωγεύω· ἐπροαγώγευον.

(a) Lexicon in Anecd. Bekk. pag. 88 : Δεδιακότηκα· Δημοσθένης περὶ τοῦ ἐπιτειχισμοῦ. Rursus pag. 91 : Ἐδιακόουν· Ἀλκαῖος Ἐνδυμίωνι. Cf. Piers. ad Mœr. pag. 122; Koppiers. Observ. pag. 9.

(b) Lexicon Bekkeri: Δεδιωκημένα· Ἀντιφάνης Μυναγύρτῃ.

(c) Sic cod. Forsan, ἐπαρώνησα, vel ἐπαρώνουν. Cf. Abresch. in Misc. Observ. Novis t. I, pag. 70; Lobeck. ad Phryn. pag. 154.

(d) Sic cod. Forsan, ἐλγήσα: cf. novam Thesauri Steph. editionem pp. 3075, 3076, in primis Lobeck. ad Phryn. p. 155, ab editoribus allegatum. Quod ex Aristæneto II, 8, ibidem adposueruht, verbum καλιγέω, vereor ut legitimum sit. Aristænetus habet quidem καλιγήσαι, citra necessitatem, a Polyzoe in καλιγήσαι reformatum, sed a verbo καλιγέω derivandum. Labi potuit Aristænetus in scribendo hoc verbo, cujus intricata flexio multos decepit.

(e) Addidi syllabam extremam, νυν.

ARGUMENTUM

LIBRI XI

EX CANTERI NOVIS LECTIONIBUS.

Thracia mulieres, quum Orphea discerpsissent, *serpente*, qui os ejus petebat, in *lapidem* mutato, in *arbores* obversas sunt a Bacche, qui, relicta, ob interfectum vatem, Thracia, in Phrygiam se contulit, ubi *Midas*, cui pro Silene restituto *auri copiam* fecit. Cujus quum illum pœniteret, in *Pactolo* lotus *arenas* ejus *aureas* reddidit. Postea Phœbus pro iniquo judicio *aures* illi *asininas* tribuit. Quo facto, Trojam profectus Apollo, *Laomedontem* muros Trojanos extruentem adjuvit. Filiam ejus *Hesionen*, saxo alligatam, liberavit Hercules, conjugem autem duxit *Telamon*, quemadmodum *Peleus* Thetida transformem. Is, ad Ceycem postea profectus, *Dædalionem* in *accipitrem*, et *lupum* in *saxum* conversum, partim intellexerat; partim ipse viderat. Sed *Ceyx* in itinere ad oraculum Clarium suscepto periit naufragio. Accidit deinde, ut *Halcyone*, marito post naufragium sub *Morphei* figura secundum quietem conspecto, in *halcyonen* avem, sicut et maritus, mutaretur. Quos volantes quum animadvertissent quidam, *Æsacum*, Priami filium, quondam in *mergum*, qui tum forte aderat, meminere transformatum.

ΟΒΙΔΙΟΥ

ΜΕΤΑΜΟΡΦΩΣΕΙΣ.

ΒΙΒΛΙΟΝ ΕΝΔΕΚΑΤΟΝ.

Τοιαύταις ᾠδαῖς τοῦ Θρηκὸς μάντεως καὶ λόχμας καὶ θηείων ὁρμὰς καὶ πέτρας ἑπομένας ἐπισπωμένου, ἰδοὺ καὶ αἱ τῶν Κικόνων νύμφαι, τὰ βεβακχευμένα στέρνα θηρείοις δοραῖς σκέπουσαι, ἐκ τῆς τοῦ λόφου κορυφῆς τὸν Ὀρφέα δὴ καλοπλεύουσι τάς τε νευρὰς σλήττοντα, καὶ ἐπισυνάπτοντα τὰς ᾠδάς· ὧν δὴ μία, διὰ τοῦ κούφου ἀέρος ῥίψασα τοὺς σλοκάμους (1), « Ἴδε » φησὶν, « ἴδε· οὗτός ἐστιν » ἡμῶν καταφρονητής. » Καὶ δόρυ κατὰ τοῦ φωνήεντος ἀφῆκε στόμαλος τοῦ Ἀπολλωνείου μάντεως· ὃ φύλλοις καλάκομον ὄν, σημεῖον ἄνευ τραύματος

(1) Lat. « levem jactato crine » per auram » : Noster hanc lectionem, non « leves auras » habuisse videtur. De comæ jactatione plurima Gierigianæ notæ possent addi. Euripides Iph. A. 751 de Cassandra vate : Κασσάνδραν (cod. Reg. 2817, Κασάνδραν : cf. p. 80, et infra ad XII, 108) ἵν' ἀκούω Ῥίπτειν ξανθοὺς πλοκάμους. De Bacchis Lucianus in Bacch. 2, τὰ γύναια σείειν ἠνεμωμένας τὰς κόμας. Lacones in extremo Lysistratæ choro : ταὶ δὲ κόμαι σείονθ', ἅπερ Βακχᾶν θυρσαδδωᾶν καὶ παιδδωᾶν. Mæcenatis supersunt non vulgares nec metro nec oratione versus de Cybele, e quibus hic peculiariter ad rem facit: « Age, tympano so- » nanti quate *flexibile caput* » : cujus illustrationem vide in Mæcenate Meibomiano, p. 151. Alia dabunt Heins. ad Claud. Ruf. II, 345; Behot. Apophor. I, c. 16; Bruckhus. ad Tibull. II, 5, 66. Bacchæ furentis, jactantisque comas, imaginem cernesis in vase græco ap. Millin. Mon. ined. t. I, p. 133.

ἀπειργάσαλο (1). Ἐλέφας δ' ὅπλον λίθος ἦν, ὃς δὴ, βληθεὶς, ἐν αὐτῷ τῷ ἀέρι τῆς τε φωνῆς ἀδδύσης καὶ τῆς λύρας ἠτλήθη, καὶ, οἷάπερ ἱκέτης ὑπὲρ τῶν οὕτως ἐμμανῶν τολμημάτων, περὶ τῶν ἐκείνου ποδῶν ἔπεσεν. Ἀλλὰ γὰρ θρασύτεροι αὐξάνονται πόλεμοι, καὶ ἄπεισι τὰ τῆς εὐκοσμίας, καὶ παράφορος αὐτῶν Ἐριννὺς ἡγεῖται. Πάντα δ' ἂν τὰ ὅπλα ταῖς ᾠδαῖς ἐμαλάχθησαν· ἀλλ' ἡ ἀμέλεια κερωγὴ, καὶ ἡ ἐκ κέρατος ἐμφυσωμένου Βερεκυντὶς (2) σάλπιγξ, καὶ τύμπανα, καὶ κρότος, καὶ ὁ Βακχεῖος ὁλολυγμὸς, ὑπερεφώνουν (3) τὸν τῆς κιθάρας ἦχον. Τελευτῶντες δὲ καὶ οἱ λίθοι τῷ τοῦ μάντεως αἵματι μηδ' ὁτιοῦν ἐξακουομένου κατεφοινίχθησαν. Καὶ δὴ πρῶτον αἱ Μαινάδες τοὺς ἔτι καὶ νῦν ἐκπεπληγμένους τῇ φωνῇ τοῦ ἀδδντος ἀμυθήτους ὄρνεις καὶ ὄφεις, καὶ τὸ τῶν ἄλλων θηρῶν σύσλημα, διήρπασαν εἰς ἐπίγραμμα τοῦ Ὀρφείου θριάμβου (4). Ἐν-

(1) Cod. ἀπηργάσαλο: sic ad 76, cod. ει pro ῃ: ad 100, cod. ἀλυσπιλεῖ pro ἀλυσπιλῇ: ad 418, ὑποδύνη pro ὑποδύνει: ad 579, εἴη pro ᾖει (cf. p. 331, et Jacobs. in Actis Monac. II, p. 451); ad 584, ὡς ἂν ἀπίργει pro ἀπίργῃ: ad 586, κωμαλοδότησαν: ad 670, πέμψεις pro πέμψῃς: ad 755, συνεχῆ pro συνεχῆι: ad 756, γαυμείδης: ad 772, καλαλειφθεῖσα pro καλαληφθεῖσα (cf. supra p. 241).

(2) Cod. βερεκυντής. Permutatio frequens τῶν η et ι emendationem confirmat. Libri latini *Berecynthia tibia* exhibent: at in græcis vox aspiratione caret; sic infra ad 106: cf. Stephanus Byz., Hesychius, alii. De accentu cum Nostro non litigaverim; sed apud alios scriptores, eosque meliores, barytonam vocem vidi.

(3) Codex, ὑπερεφόνουν: sic ad 103, ἄψομαι et ἄψωμαι optione lectori relicta; ubi indicativum prætuli: ad 248, λωβῶς: ad 441, κινδυνεύσωμεν pro κινδυνεύσομεν: ad 700, ἀπολώμην.

(4) Habuit «Orphei triumphi», non «theatri.» Sed vereor ut «titulum rapuere» intellexerit. Ad sensum quem his inesse puto, verterim, τὸ τοῦ Ὀρφικοῦ θεάτρου κλέος διήρπασαν.

τεῦθεν πρὸς τὸν Ὀρφέα λελυθρωμέναις δεξιαῖς ὑποστρέφουσι, καὶ συνίασιν, ὡς ὄρνεις, εἴποτε ἐν φωτὶ πλανωμένην τὴν τῆς νυκτὸς ὄρνιν ἴδοιεν· καὶ, κατασκευασθέντος θεάτρου ἔνθεν καὶ ἔνθεν, ὥσπερ ἔλαφος ἀπολούμενος ἐν ἑωθινῇ ψάμμῳ κυνῶν γίνεται σκύλευμα, καὶ κατὰ τοῦ μάντεως βάλλουσι, καὶ θύρσους φύλλοις θάλλοντας ἐπιῤῥίπτουσιν, οὔκουν εἰς τήνδε πεποιημένους τὴν χάριν. Καὶ αἱ μὲν αὖ βώλους, αἱ δὲ κλῶνας δένδρων ἀφαρπασθέντας, αἱ δὲ λίθους συστρέφουσιν. Ὡς ἂν δὲ μὴ ἐνδέῃ (1) ὅπλα τῇ μανίᾳ, βόες ἔτυχον ἀρότρῳ πιεζομένην τὴν γῆν ἀνατέμνοντες, καὶ, τούτων οὐ πάνυ πόῤῥω, ἱδρῶτι πολλῷ καρπὸν ἑτοιμάζοντες, ἔσκαπτον ἐν σκληρῷ χωρίῳ γεωργοὶ καὶ στιβαροὶ τοὺς βραχίονας, οἳ, τὸ σύστημα τῶν γυναικῶν ἰδόντες, φυγῇ φεύγουσι, καὶ τὰ τοῦ οἰκείου ἔργου καταλιμπάνουσιν ὅπλα. Καὶ γοῦν ἐν κενῷ τῷ ἀγρῷ ἔκειντο διεσκεδασμένα δίκελλαί τε καὶ βαρέα ἄροτρα καὶ μακραὶ μάκελλαι, ἅπερ αἱ θηριώδεις ἁρπάσασαι καὶ τὰ ἀπειλὴν παρέχοντα κέρα τῶν βοῶν ἀνασπάσασαι, πρὸς τὸν τοῦ μάντεως φόνον ἐπανατρέχουσι. Τὸν δὲ τὰς χεῖρας ἐκτείνοντα, καὶ τότε δὴ πρότερον εἰς κενὸν λέγοντα, καὶ μηδ' ὁτιοῦν τῇ φωνῇ κινοῦντα, αἱ ἱερόσυλοι ἐκεῖναι διαχειρίζονται, καὶ διὰ τοῦ στόματος, ὦ Ζεῦ, ἐκείνου, οὗ καὶ πέτραι ἤκουσαν καὶ τῶν θηρίων αἰσθήσεις συνῆκαν, ἡ ψυχὴ ἐκπτᾶσα ἀνεχώρησεν εἰς ἀέρα. Σὲ στυγνάζοντες, Ὀρφεῦ, οἱ ὄρνεις, σὲ τῶν θηρίων ὅμιλος,

(1) Codex, ἐνδέοι male, pro ἑτέρης pro ἑτέροις: ad versum 455, ἐνδέῃ. Sic ad versum 345, codex, νεωσήκου, pro νεωσοίκου.

σὲ, αἱ ἀπόκροτοι πέτραι, καὶ αἱ τοῖς σοῖς πολλάκις ᾄσμασιν ἀκολουθήσασαι λόχμαι, ἐθρήνησαν· σὲ δένδρον, ἀποθέμενον τὰ φύλλα καὶ τὴν κόμην κεῖραν, ὠδύρατο. Καὶ ποταμοὺς δέ φασι τοῖς ἑαυτῶν δάκρυσι πλημμυρῆσαι. Αἱ δὲ Νηΐδες μέλαιναν καλύπτραν ἐπέθεντο, καὶ αἱ Δρυάδες διεσπαραγμένας ἔσχον τὰς κόμας. Τὰ μέλη μὲν οὖν ἐν διαφόροις διάφορα κεῖται τόποις· τὴν δὲ κεφαλὴν, Ἕβρε (1), καὶ τὴν λύραν αὐτὸς ὑποδέχῃ, καὶ θαῦμα! ἐν γὰρ μέσῳ τῷ ὕδατι ἡ λύρα διολισθαίνουσα γοερὸν (ἀγνοῶ τί ποτε ἦν) ὑπωλοφύρετο, γοερὸν καὶ ἡ ἄπνους ὑπήχει γλῶττα, γοερὸν δὲ καὶ αἱ ὄχθαι ἀνταπεκρίνοντο. Ἤδη μὲν οὖν εἰς τὴν θάλασσαν ἄμφω ἐκκομισθεῖσαι τὸν οἰδαίνοντα κατέλιπον ποταμὸν, καὶ τῆς Μηθυμναίας Λέσβου ταῖς ἠϊόσι προσίσχουσιν (2). Ἐνταῦθα δὲ τῷ Ὀρφεῖ ἐκβρασθέντι ἀλλοδαπῆς ἐπὶ ψάμμου ἄγριος ὄφις ἀντέστη, ἔτι τῶν πλοκάμων ὑγρῷ στάζοντι διαβεβρεγμένων. Τέλος δ' ὁ Φοῖβος πάρεστι, καὶ τὸν ὄφιν, δήγματα τῇ κεφαλῇ ἐπιφέρειν ἐπιχειροῦντα, ἄγχει, καὶ εἰς λίθον ἀνεῳγὸς αὐτῷ πήγνυσι τὸ στόμα, καὶ, ὡς ἀναπεπταμένον

(1) Schol. ποταμὸς Θρᾴκης. Libanius Apol. Socr. p. 244, non Hebrum in hac historiola, sed Strymonem nominat: Ὀρφέως ἡ κεφαλὴ διὰ τοῦ ποταμοῦ κατέβαινε τοῦ Στρυμόνος, τῶν ἑαυτῆς μελῶν μνημονεύουσα: cf. ibi Morell. Ovidium Virgiliumque sequebatur Miltonus in Lycida, loco pulcherrimo: « What could the » Muse herself that Orpheus » bore, The Muse herself, for her » inchanting son, Whom univer» sal Nature did lament, When » by the rout that made the hi» deous roar, His goary visage » down the stream was sent, Down » the swift Hebrus to the Le» sbian shore? »

(2) Philostratus Her. p. 154, Orphei lyram ad Lyrnessi litus, urbis Æolicæ, fuisse delatam ait, et rupes ea tactas sonuisse et adhuc sonare: cf. ibi notam.

ἦν, τὸ χάσμα σκληρύνει. Ἡ μέντοι ψυχὴ τοῦ μάντεως εἰσδύνει τὴν γῆν· καὶ οὓς πρόσθεν ἔωρακε, τόπους πάντας ἀναζωπυρεῖ, καὶ, διὰ τοῦ τῶν Εὐσεβῶν χώρου (1) ζητήσας, εὑρίσκει τὴν Εὐρυδίκην, καὶ χερσὶ περιβάλλει ποθούσαις. Κἀκεῖ διαλείβει, νῦν μὲν ὁμοσπλίχοις ἐκείνη βήμασι, νῦν δὲ πρόσθεν ἰοῦσα ἑπόμενος, νῦν δ' ἡγεμὼν ἐκεῖνος τῆς πορείας γινόμενος· καὶ ἤδη τὴν αὐτοῦ Εὐρυδίκην ἐπ' ἀσφαλοῦς βλέπει.

Ἀλλ' ὅμως οὐκ ἀτιμώρητον τοῦτο τὸ μῦσος ἔασεν ὁ Λυαῖος. Ἀλλ', ὡς ἀπολωλεκὼς τὸν μάντιν τῶν ἱερῶν, ἀθυμήσας, εὐθὺς ἐν τῇ λόχμῃ πάσας τὰς Αἰμονίας μητέρας, αἳ τὸ ἀθέμιτον ἐθεάσαντο (2), σχολιᾷ εἰζῇ συνέδησεν, ἢ τοὺς τῶν ποδῶν δακτύλους, εἰς ὅσον οἷόν τ' ἦν ἕπεσθαι (3), ἐπεσπάσατο, καὶ τὴν ὀξύτητα τούτων ὑπὸ τὴν σληρὰν γῆν συνέωσεν. Ὡς δ' ὄρνις, τὸ σκέλος ἑαυτῆς εἰς βοχίδα καθεῖσα ἣν εὐμήχανος ὀρνιθευτὴς ἔκρυψεν, ἡσθέλο καλεχομένη (4), καὶ ἑαυτὴν προσαρᾶσσει, καὶ πλερυσσομένη ἐπισφίγγει τὸν δεσμὸν τῇ κινήσει· οὕτω καὶ, ἥ τίς πολε τούτων ἐπὶ τῆς γῆς παγεῖσα προσέσχελο, ἀρηθεῖσα μάτην ἀπεπειρᾶτο φυγῆς, τὴν δ' εὐκαμπὴς ῥίζα καλεῖχε καὶ ἀλλομένην μᾶλλον ἐσφήκου. Καὶ δὴ ποῦ ποῖ' ἂν εἶεν οἱ δάκτυλοι, ποῖ δ' οἱ πόδες, ζητοῦσα, βλέπει τὸ ξύλαν ἀνιὸν ἐπὶ τὰς κνήμας, καὶ, πλήττειν ἐπιχειρῶσα πενθούσῃ δεξιᾷ

(1) De Piorum campo vide Gierigii notam, coll. Museo Cantabrig. t. I, pag. 227, et Walpol. Itin. pag. 543.

(2) Melius, ἔδρασαν, *fecere*.

(3) Videtur latinorum, quæ non sunt dilucidissima, sensum assecutus. Digitos traxit in quantum tractiles fuerunt et ductiles.

(4) Cod. καλεχομένην. Cf. p. 479.

τὸν μηρὸν (1), ξύλον ἐπάταξε. Καὶ μὴν καὶ στέρνον ξύλον ἐγένετο, ξύλα δὲ καὶ οἱ ὦμοι· καὶ τὰς χεῖρας ἐκταθείσας κλῶνας ἂν ἀληθεῖς ὑπέλαβες εἶναι καὶ οὐκ ἂν ἠπατήθης οἰόμενος.

85 Οὐ μὴν ἅλις ἔχει τοῦτο τῷ Βάκχῳ· ἀλλὰ καὶ αὐτοὺς τοὺς ἀγροὺς ἀπολείπει, καὶ σὺν χορῷ (2) κρείττονι πρός τε τὰς πίτυς τοῦ οἰκείου Τμώλου

(1) Hic gestus parum nobilis, ut loquimur quidem et sentimus, sæpe fuit a Veteribus descriptus. Homerus H. in Cer. κώκυσεν δὲ καὶ ἄμφω πλήξατο μηρώ: quod et alibi habet Poeta. Plutarchus in Fabio 12: μηρόν τε πληξάμενος καὶ στενάξας μέγα. Zonaras Ann. XII, 21, Honorium, quum audisset Romam fuisse ab Alarico captam, refert συγκλονηθέντα σπασμῷ τὸ σῶμα καὶ τὼ μηρὼ πατάξαντα ταῖν χεροῖν, φάναι, « ἕως ἄρτι ὧδε ἦν ἡ Ῥώμη· » πῶς οὖν ἑάλω »; Putabat animi imbecillus Augustus de quadam gallina, nomine Roma, deliciis domini, non de metropoli agi. Libanius t. II, pag. 315: οὔτε εἷς ἐξ ἁπάντων οὔτ' ἐβόησεν, οὔτε τὸν μηρὸν ἔπληξεν. Anna Comnena Alex. I, pag. 36, D: ἐτραγῴδει δὲ ὁ Ῥαίκτωρ..... μεγάλα τε κεκραγὼς καὶ τὸν μηρὸν τῇ δεξιᾷ πλήττων. Et oratores etiam femur percutiebant. Philostratus de Scopeliano p. 519: τὸν μηρὸν θαμὰ ἔπληττεν ἑαυτόν τε ὑπεγείρων καὶ τοὺς ἀκροωμένους. Apud Eusebium H. Eccl. VII, c. 30, de Paulo Samosateno: παίων τε τῇ χειρὶ τὸν μηρὸν καὶ τὸ βῆμα ἀράττων τοῖς ποσί. Et Lucianeus Rhetorum Præceptor c. 19: ὁ μηρὸς πατασσέσθω: ubi scholium adpositum fuit neutiquam negligendum: οὐκ ὤμην ταυτὶ (l. τουτὶ) τὸ μιαρὸν καὶ κατάπτυστον ἔργον, τὸ τὸν μηρὸν πατάσσειν, ἀρχαῖον. Bonus ille Scholiastes parum habuit eruditionis; sed judicio recto fuit præditus, quippe cui gestus ille valde displicebat. Si nunc esset in vivis, non ipsi videndam indicarem Olearii notam ad Philostrati locum supra adlatum; nam ibi disceret dediscenda, nempe Niciam primum id fecisse: etenim ex Plutarchi loco, in Niciæ Vita c. 8, ab Oleario adposito, patet non Niciæ, sed, Niciæ æmulo et inimico, Cleoni hoc esse tribuendum. Meliora docuit Gesner. ad Lucianea verba: ubi locum Quintiliani Inst. Orat. XI, 3, p. 1025, edit. Burm. protulit, hunc gestum non damnantis, imo laudantis: « femur ferire, quod » Athenis primus fecisse credi- » tur Cleon, et usitatum est, et » indignantes decet, et excitat » auditorem. »

(2) Codex, συγχωρῶ.

καὶ τὸν Πακτωλὸν ἄπεισιν, εἰ καὶ τὰ μάλιστα μὴ χρυσοῦς ἦν, κατ' ἐκεῖνον τὸν χρόνον, οὐ δ' ἐπίφθονος ταῖς ἀξιοσπουδάστοις ψαμάθοις. Παρὰ τοῦτον δ' ἡ συνήθης φατρία καὶ Σάτυροι καὶ Βάκχαι φοιτῶσιν· Ὅ γε μὴν Σειληνὸς ἀπῆν. Τρέμοντα γὰρ τοῦτον τῷ χρόνῳ καὶ τῷ οἴνῳ οἱ ἀγρόται Φρύγες συνέλαβον, καὶ συνδεδεμένον ἁλύσεσι πρὸς τὸν βασιλέα Μίδαν ἀνήγαγον, ᾧπερ ὁ Θρᾷξ (1) Ὀρφεὺς τὰ ὄργια σὺν τῷ Κεκροπίῳ Εὐμόλπῳ παρέδωκεν· ὃς, ὁμοῦ τε ἐπέγνω τὸν ἑταῖρον καὶ κοινωνὸν τῶν μυστηρίων, πάνδημον ἑορτὴν τῇ τοῦ ξένου εἰσόδῳ τετέλεκεν δι' ἡμερῶν δὶς πέντε καὶ νυκτῶν συναπτομένων ἐν τάξει. Ἤδη μὲν οὖν τὸ μετέωρον σύστημα τῶν ἄστρων ἑνδέκατος (2) βιασάμενος Φωσφόρος ἀπήλασεν· ὁ δὲ Λυδὸς βασιλεὺς χαίρων εἰς τοὺς ἀγροὺς ἔξεισι, καὶ τῷ νέῳ τροφίμῳ τὸν Σειληνὸν ἀποδίδωσι. Τούτῳ δ' ὁ θεὸς εὐξαμένῳ ἡδεῖαν μὲν, ἀλυσιτελῆ δὲ, παρέσχε χάριτος αἵρεσιν· ἔχαιρε γὰρ, ὡς ἀπολαβὼν τὸν τροφέα. Ὁ δὲ κακῶς τῷ δώρῳ χρησόμενος, « Ποίησον » εἶπεν « οὗτινός ποτε σώματι ἅψο- » μαι, εἰς ξανθὸν χρυσὸν μεταβάλλεσθαι. » Ὁ δὲ θεὸς συνένευσε τῇ εὐχῇ, καὶ λυμανουμένην ἐχαρίσατο χάριν, καὶ λελύπηται ὅτι μὴ κρείττονα ᾔτησε. Καὶ δὴ χαίρων ἄπεισιν ὁ Βερεκύντιος ἥρως τῷ κακῷ χαίρων,

(1) Codex, ὥσπερ ὁ θρᾷξ.

(2) Codex, ἑνδέκατον : et infra ad N. 175, peccatur in finali ἀνθρωπείου pro ἀνθρώπειον : ad 182, ubi κείρη pro κείρειν : sic ad 214, δεξαμένου pro δεξάμενος : ad 286, ἱκετεύω pro ἱκετεύων : ad 293, αὐτῶν pro αὐτῷ : ad 329, οἰκτῷ pro οἰκτρῷ : ad 382, λαμβάνει pro λαμβάνειν : ad 464, ἑστῶσα pro ἑστῶτα : ad 481, πνεῖ pro πνεῖν : ad 671, ἐκείνην pro ἐκείνη. Jam supra pagg. 394, 431, similes notavimus finalium syllabarum depravationes : cf. et p. 481, ubi προτείνειν pro προτείνων.

καὶ, πρὸς πίστιν (1) τῆς ὑποσχέσεως, ἑκάστων ἀπλόμενος ἀπόπειραν ἐποιεῖτο. Καὶ μόλις ἑαυτῷ πιστεύων θάλλοντα λύγην ἐκ χαμαιπετοῦς (2) ἀπέσπασε πρέμνου, καὶ ὁ λύγης χρυσοῦς γέγονεν· ἦρε γῆθεν λίθον, καὶ ὁ λίθος ὠχρίασε χρυσοῦς γεγονώς· ἥψαλο καὶ βώλου, καὶ ὁ βῶλος χρυσοῦς ὄγκος ἦν τῇ τῆς ἁφῆς δυνάμει· ξηρᾶς (3) Δήμητρος ἐδρέψατο στάχυας, καὶ τὸ θέρισμα χρυσοῦν ἦν· μῆλον ἀφαιρεθὲν ἐκ δένδρου κατέχει, καὶ τὰς Ἑσπερίδας φήθης ἂν αὐτῷ τοῦτο δωρήσασθαι. Ἐπέβαλε τοὺς δακτύλους ταῖς ὑψηλαῖς παρασπάσι (4), καὶ αἱ παρασπάδες λάμπουσαι φαίνονται. Καὶ δὴ καὶ τὰς χεῖρας ὑγρῷ ὕδατι νιψαμένου, τὸ ῥέον διὰ τῶν χειρῶν ὕδωρ τὴν Δανάην οἷόν τ' ἦν ἀπατῆσαι. Καὶ χρῆν μόλις οὕτος τῶν οἰκείων ἐλπίδων δέχεται πίστιν, πάντα χρυσᾶ ἀναπλάττων. Καίτοι δ' αὐτῷ τράπεζαν οἱ ὑπηρέται παρέθεσαν, βρώμασιν ἐπεσταθμευμένην, καὶ σίτου (5) οὐκ ἐνδεᾶ. Τότε τοίνυν, εἴτε τῶν Δήμητρος δώρων ἐκεῖνος ἥπτετο τῇ δεξιᾷ, τὰ Δήμητρος ἐσκληρύνοντο δῶρα· εἴτε πεινῶσιν ὀδοῦσι τοῦ βρώματος ἀποσπᾶν ἐπεχείρει, ἔλασμα ξανθὸν ἀντὶ βρώματος τοῖς ὀδοῦσιν ἐμπαγεῖσιν ἔπιεζεν (6).

(1) Codex, πίστην : ut supra p. 466, Βερεκυντὴς pro Βερεκυντὶς: ut ad 330, θεσπλὶς pro θεσπλής: ad 649, ἐπιλυγάσατο : ad 697, κεκομπάναι pro κεκομπέναι.

(2) Codex, χαμαιπετοῦς : sic ad 222, ῥωμαλαίοις : ad 484, καλεκίδες : ad 504, ὑπόγαιων.

(3) Legit Planudes *arentis*, quod male pro casu gignendi habuit : rescribe, ξηρούς.

(4) Cod. παρασπάσι. Cf. p. 32.

(5) Lat. « tostæ frugis » : omisit epithetum Planudes vel librarius. Repone, φρυκτοῦ.

(6) Invenit, « Lamina fulva » dapes, admoto dente, preme» bat » ; sed non intellexit verbum pendere a nominativo *lamina*. Sensus est : ἔλασμα ξανθὸν τὰ βρώματα, τῶν ὀδόντων ἐμπαγέντων, ἐπίεζεν.

Ἐκέρασε καθαρῷ ὕδατι τὸν δοτῆρα τῆσδε τῆς χάριτος καὶ ῥυτὸν χρυσίον ῥέον ἂν εἶδες διὰ τοῦ στόματος. Ἐκπλαγεὶς τοίνυν τῇ καινότητι τοῦ κακοῦ, ὁ πλούσιος ὁμοῦ καὶ ταλαίπωρος φυγεῖν τὸν πλοῦτον ἐκεῖνον εὔχεται, καὶ, ἃ μικρῷ πρόσθεν ηὔξατο, μισεῖ. Καὶ γὰρ οὐδεὶς αὐτῷ χρυσὸς τὴν πεῖναν κουφίζει, καὶ ξηρὰ δίψα τὸν λαιμὸν ἐμπιπρᾷ, καὶ ἀξίως ὑπὸ τοῦ μισηθέντος χρυσοῦ τιμωρεῖται. Πρὸς οὐρανὸν δὴ τὰς χεῖρας καὶ τοὺς λάμποντας βραχίονας ἄρας, « Σύγγνωθι, Ληναῖε πάτερ », εἶπεν. « Ἡμάρτομεν· ἀλλ' οἴκτειρον, ἱκετεύω, καὶ τῆς » πολυτιμήτου ζημίας ῥῦσαι. » Ὁ δὲ πάντων θεὸς ἡμερώτατος Βάκχος ἀνεκτήσατο τὸν ἡμαρτηκότα ὁμολογοῦντα, καὶ πίστιν δοὺς (1) τὴν προβᾶσαν ἔλυσε χάριν. « Ὡς ἂν δὲ μὴ τῷ κακῶς ἐρασθέντι χρυσῷ » περικεχρισμένος μένῃς, ἴθι πρὸς τὸν ταῖς με- » γάλαις Σάρδεσι γειτονοῦντα » φησὶ « ποταμὸν, καὶ » διὰ τῆς ὄχθης τοῖς ὀλισθηροῖς ὕδασιν ἀντιπρόσω- » πος ὁδοῦ ἅψαι, μέχρις ἂν εἰς τὰς τοῦ ποταμοῦ » ἀρχὰς ἔλθῃς. Καὶ τὴν σαυτοῦ κεφαλὴν εἰς τὰς » πηγὰς, ἔνθα δὴ πλεῖστος ἔξεισι, κάθες καὶ τὸ σῶμα » πρὸς ταύτῃ καὶ τὴν ἁμαρτίαν ἀπόλουσαι. » Ὁ βασιλεὺς τοίνυν, ὡς ἐκελεύσθη, τὸ ὕδωρ ὑπέδυ. Ἡ δὲ τοῦ χρυσοποιεῖν δύναμις τὸν ποταμὸν ἔβαψεν, ἐκ τοῦ ἀνθρωπείου σώματος τὸ ῥεῖθρον αὐτοῦ μεταστᾶσα. Καὶ νῦν δὲ, τῷ τῆς παλαιᾶς ἤδη φλεβὸς συλληφθέντι σπέρματι, χρυσῷ τὰ πεδία σκληρύνεται, διαβρόχοις ὠχριῶντα τοῖς βώλοις.

(1) Planudes pravam instituit *data*, ut *data* ablativus sit, quod loci structuram, jungens *fide* metrum respuit.

Ὁ δὲ Μίδας ὑπερσιγήσας τὰ χρήματα, δρυμοὺς καὶ (1) ἀγροὺς ἔτιμα, καὶ Πᾶνα τὸν ἐν τοῖς ὀρεινοῖς ἀγροῖς ἀεὶ τὰς οἰκήσεις τιθέμενον. Ἀλλὰ καὶ ὡς παχὺς αὐτῷ νοῦς συμπαρέμεινε, καὶ λυμαινόμενος αὖθις ἦν, ὡς καὶ πρόσθεν, τῷ οἰκείῳ δεσπότῃ λογισμὸς ἐξ ἀνοήτου τῆς δυνασ[illegible]είας (2). Καὶ γὰρ ὁ Τμῶλος, ὁρῶν πρὸς τὴν θάλασσαν, μελέως ἐξαίρεται τῷ τῆς ἀναβάσεως ὕψει, καὶ, τῷ καλάμῃ τῆς καταβάσεως ἐκκλέρωθεν ἐκλεινόμενος, ἔνθα μὲν εἰς τὰς Σάρδεις, ἐκεῖθεν δ' εἰς τὰ μικρὰ Ὑπαίπια (3) λήγει. Ἐκεῖ τοίνυν ὁ Πὰν, ταῖς τρυφερῇσι Νύμφαις τὰς οἰκείας ᾠδὰς ἐπιδεικνύμενος, καὶ καρπλάσῳ δόναξι κοῦφον μέλος ἀναβαλλόμενος, ἐτόλμησε παρ' ἑαυτὸν (4) τὰς Ἀπολλωνείας ᾠδὰς ἐξευτελίζειν. Ὑπὸ δὲ κριτῇ τῷ Τμώλῳ εἰς ἄνισον εἶσιν ἀγῶνα. Ὁ δὲ γέρων δικασ[illegible]ὴς ἐπὶ τοῦ οἰκείου ὄρους ἐκάθισε, καὶ ἀπαλλάττει δὴ τῶν πολλῶν δένδρων τὰ ὦτα ἑαυτοῦ· δρυὸς δὲ μόνον γλαυκῆς ἡ κόμη περιείληπται, καὶ περὶ τοὺς κροτάφους (5) βάλανοι παρηώρηνται· ὃς, καὶ πρὸς τὸν τῶν θρεμμάτων θεὸν ἀπιδών, « Ὅσον τὸ ἐπὶ τῷ κριτῇ, » οὐδ' ἠτισοῦν βραδυλής ἐστιν », εἶπεν. Ὁ δὲ τοῖς ἀγροικοῖς καλάμοις αὐλεῖ, καὶ τῷ βαρβαρικῷ τὸν Μίδαν αὐλήματι (καὶ γὰρ παρὼν ἔτυχεν αὐλοῦντί οἱ) ἔτερψε. Μετὰ δὲ τοῦτον ὁ Φοῖβος τὸ σῶμα λέ-

(1) Inserui καὶ, quo codex carebat.

(2) Latina, « stolidæ præcordia mentis », mire vertit, imo pervertit, ut nescio quid pro *mentis* legerit. Reponendum fere, mutatis mutandis, λογισμὸς τῆς ἀνοήτου φρενός, vel ἀνοήτου διανοίας.

(3) Gloss., πάπος. Vide p. 224.

(4) Codex, παρ' ἑαυτῷ, quod mutandum fuit.

(5) Lat. « *cava tempora* »: περὶ τοὺς κοίλους κροτάφους. Male omissum fuit epithetum.

λυκεν. Ὁ δὲ Τμῶλος πρὸς τὸ τοῦ Φοίβου στόμα τὸ πρόσωπον ἔτρεψε (1), καὶ ἡ οἰκεία λόχμη τούτῳ πᾶσα συνηκολούθησεν. Ὁ δὲ τὴν ξανθὴν κεφαλὴν δάφνῃ Παρνασίδι κατεστεμμένος, Τυρίου κοσχύλης μεμεθυσμένῃ ἐσθῆτι τὴν γῆν ἐπιξύει, καὶ τῇ λαιᾷ μὲν τὴν λύραν λίθοις καὶ Ἰνδικοῖς ὀδοῦσι πεποικιλμένην ἀνέχει· ἡ δὲ λοιπὴ χεὶρ τὸ πληκτρὸν κατέχει· τοιαύτη τις ἦν ἡ τοῦ τεχνίτου (2) στάσις. Τότε τοίνυν τὰς χορδὰς ἐπέξεισιν εἰδήμονι λιχανῷ, ὧν ὁ Τμῶλος ἁλοὺς τῇ γλυκύτητι κελεύει τῷ Πανὶ (3) τῇ κιθάρᾳ τοὺς καλάμους ὑποβαλεῖν. Ἤρεσε δὴ οὖν ἡ κρίσις καὶ ψῆφος τοῦ ἱεροῦ ὄρους ἅπασιν· ἐλέγχεται δ' ὅμως καὶ ἄδικος ὀνομάζεται τῷ λόγῳ ἑνὸς τοῦ Μίδα. Ὁ δὲ Δήλιος οὐκ ἀνέχεται τὰς ἀνοήτους ἀκοὰς ἀνθρώπειον τύπον ἐπέχειν, ἀλλ' εἰς μῆκος ταύτας ἐκτείνει, καὶ λάχνης ὑπολεύκου πληροῖ, καὶ ἀστάτους ταύτας ἀποτελεῖ, καὶ δίδωσι δύναμιν τοῦ κινεῖσθαι. Τὰ μέντοι λοιπὰ ἀνθρώπου καὶ αὖθίς εἰσιν· ἐφ' ἑνὶ δὲ τούτῳ τιμωρεῖται τῷ μέρει, καὶ ὦτα περιτίθεται βραδυποροῦντος ὀνίσκου.

Ἐκεῖνος μὲν οὖν κρύπτειν αὐτὰ σπεύδει, καὶ τὴν τῶν κροτάφων αἰσχρότητα πορφυρᾷ πειρᾶται καλύπτειν τιάρᾳ. Ἀλλ' εἶδε τοῦτο ὁ εἰωθὼς οἰκέτης τὰς μηκυνομένας αὐτῷ τρίχας σιδήρῳ κείρειν· ὃς μή τε

(1) Lat. «post hunc sacer ora » retorsit Tmolus ad os Phœbi.» Noster habuit suo in codice dittographiam, *resolvit* et *retorsit*, et utramque lectionem vertere voluit, electionem versione putans esse difficiliorem.

(2) Debuit scribere, absque articulo, τοιαύτη τίς ἐστιν ἡ τεχνίτου στάσις: nam latina «Artificis » status ipse fuit» dicta sunt in genere. Apte conferetur Weigelii Dissert. de Apolline Musageta.

(3) Codex, πανεῖ. Sic supra, N. 21, 24, 44, et infra ad 742, cod. ὄρνις pro ὄρνεις.

τὴν ὀφθεῖσαν ἀμορφίαν τολμῶν ἐκφῆναι, καὶ σπεύδων πρὸς ἀέρα πρεμενεῖκεῖν τῷ μηκέτι καλέχειν δύνασθαι, ὅμως, ἀποχωρήσας ὁσονοῦν, γῆν τε ἀνώρυξε, καὶ οἷα τὰ τοῦ δεσπότου ἐώρακεν ὦτα βραχεῖα φησὶ τῇ φωνῇ, καὶ ἐπὶ τῆς ἀνορυχθείσης τοῦτο γῆς ψιθυρίζει, καὶ τὴν μήνυσιν τῆς οἰκείας φωνῆς, γῇ ἐπαμησάμενος αὖθις, καλύπτει, καπειδήπερ ἐκάλυψε τὸ ὄρυγμα, σιγῶν ἄπεισι. Συχνὸν δ' ἄλσος ἐκεῖ τερμερῶν καλάμων ἀνίσχειν ἤρξατο, καπειδὴ πρῶτον ἐπεπάνθη, τοῦ ἔτους ἐξήκοντος, τὸν Γεωργὸν πρόδηλον. Ἡσύχῳ καὶ γὰρ νότῳ κινούμενον, τὰ κεκαλυμμένα ῥήματα ἀναγγέλλει, καὶ τὰ τοῦ δεσπότου ὦτα ἐλέγχει.

Ὁ δὲ δὴ Λητωΐδης, ἑαυτῷ ἐπαμύνας, ἀνεχώρησεν ἐκ τοῦ Τμώλου, καὶ, διὰ τοῦ διειδοῦς ἀέρος φερόμενος, ἐπὶ τάδε τοῦ σπενοῦ τῆς Νεφελητίδος Ἕλλης πόντου (1), ἐπὶ τῶν Λαομεδοντείων ἔσπη πεδίων. Εἶχε δ' ἐν δεξιᾷ μὲν τὸ Σίγειον, τὸ Ῥοίτειον ἐν ἀριστερᾷ. Ἦν δὲ βωμὸς ἀρχαῖος, ἱερὸς τῷ Πανομφαίῳ Διΐ. Ἔνθεν βλέπει τὸν Λαομέδοντα ἀρχομένης πρῶτον τῆς Τροίας διαλιθέντα τὰ τείχη, καὶ εἰς μέγεθος ἐγειρόμενα, καὶ διὰ ταῦτα ἐργώδους πόνου πρὸς αὔξησιν προσδεόμενα καὶ δαπάνης οὗτοι μικρᾶς. Καὶ δὴ, σὺν τῷ τελαινοφόρῳ παλαὶ τοῦ ἐξοιδυμένου πελάγους, ἀνθρωπίνην μορφὴν ὑποδύεται, καὶ τῷ τυρέννῳ τῆς Φρυγίας ἀνισᾶσιν ἀμφὶ τὰ τείχη, χρυσίον ὑπὲρ τῶν τειχῶν συμπεφωνηκότες. Ἀνέστη τοίνυν τὸ ἔργον. Καὶ ὁ βασιλεὺς ἠρνήσατο τὸν μισθὸν, καὶ

(1) Codex, ἑλλησπόντου, quod fuit in duo nomina dispescendum. Ovidius enim dixit, « pontum » Nepheleidos Helles. »

προστίθησιν ἐπιθήκην τῆς ἀπιστίας τὴν ἐκ ψευδῶν ῥημάτων ἐπιορκίαν. Ὁ δὲ τῆς θαλάττης ἡγεμὼν, « Οὐκ » ἀτιμωρητὶ » φησὶ « ταῦτα οἴσεις. » Καὶ πάντα τὰ ὕδατα πρὸς τὰς τῆς μικρολόγου Τροίας ἠϊόνας ἐπέκλινε, καὶ εἰς ὄψιν θαλάττης τὴν γῆν ἐπέβαλε (1), καὶ ἀφείλετο τὴν εὐπορίαν τοὺς γεωργοῦντας, καὶ τοῖς κύμασι τοὺς ἀγροὺς ἐκάλυψεν. Ἀλλ' οὐχ ἅλις ἦν ταύτης τῆς τιμωρίας· ἀλλὰ καὶ ἡ τοῦ βασιλέως θυγάτηρ ὑπὸ τοῦ θαλαττίου ἀπαιτεῖται τέρατος (2), ἣν ἐπὶ τῶν τραχειῶν συνδεδεμένην πετρῶν Ἡρακλῆς ἐῤῥύσατο. Καὶ τὰ ὑπεσχημένα δῶρα τοὺς θείους (3) ἵππους ἀπαιτεῖ. Καὶ, τοῦ ἐπὶ τοσούτῳ ἔργῳ μισθοῦ ἄρνησιν δεξάμενος, τὰ δὶς ἐπίορκα τῆς Τροίας νικήσας αἱρεῖ τείχη. Ἀλλ' οὐδὲ, τὸ τῆς στρατιᾶς μέρος, ὁ Τελαμὼν τιμῆς ἐκτὸς ἀνεχώρησε, τῇ δὲ Ἡσιόνῃ δοθείσῃ ἐκέχρητο. Ὁ γάρ τοι Πηλεὺς συζύγῳ θεῷ περιφανὴς ἦν, καὶ οὐδὲ τῷ τοῦ πάππου σεμνύνεται μᾶλλον ὀνόματι ἢ τῷ τοῦ πενθεροῦ. Διὸς μὲν γὰρ ἔγγονον οὐχ ἕνα συμβέβηκεν εἶναι· σύζυγος δὲ θεὰ συμβέβηκεν ἤδη ἑνί.

Καὶ γὰρ καὶ ὁ γέρων Πρωτεὺς προεῖπε τῇ Θέτιδι ἐν τοῖς ὕδασι (4)· « Σύλλαβε· μήτηρ ἔσῃ νεανίου, ὃς » ῥωμαλέοις ἔργοις τὰ τοῦ πατρὸς ἔργα παρελεύσε- » ται, καὶ μείζων ἐκείνου κληθήσεται. » Ἀμέλει καὶ ἵνα μηδέν τι Διὸς μεῖζον ὁ κόσμος σχοίη, εἰ καὶ τὰ μάλιστα μηδαμῶς εὐκραοῦς ἐν τῇ καρδίᾳ πυρὸς (5) ὁ Ζεὺς ᾔσθετο, ὅμως τῆς θαλασσίας (6) Θέτιδος φεύ-

(1) Malim omnino μετέβαλε.
(2) Codex, πέρατος.
(3) Legit, *divos* poscit equos.
(4) Addere debuit τῇ ante ἐν.
(5) In codice glossa, ἔρωτος.
(6) Codex, θετταλίας. In He-

γει τὸ λέχος, κελεύει δὲ τῷ ἑαυτοῦ ἐγγόνῳ (1), τῷ Αἰακίδῃ λέγω, τὴν ἐπιθυμίαν διαδέξασθαι τὴν αὐτοῦ, καὶ πρὸς συνάφειαν τῆς θαλασσίας ἐλθεῖν παρθένου.

Ἔστι δ' ἐν Αἰμονίᾳ κόλπος, ὃς εἰς κοῖλον (2) τόξον ἀρεπανοειδῶς κεκαμμένος· χηλαὶ δέ οἱ προβέβληνται· ἔνθα, εἴπερ ὑψηλότερον ἦν τὸ ὕδωρ, λιμὴν ἂν ὑπῆρχεν· ἀλλ' ὑποβέβληται τῇ ψάμμῳ ἐπικειμένη (3). Καὶ σιγανὴν ἠιόνα φέρει, ἥτις οὔτ' ἂν ὁδευόντων ἴχνη τηρίη, οὔθ' ὁδὸν ὑποφαίνοι, οὔτε μὴν κεκαλυμμένα φύκια φέρει (4). Λόχμη δὲ μύρι-νος ὕπεστι, διχρώμοις μύρτοις ἐστοιχισμένη. Ἔστι δὲ σπήλαιον ἐν τῷ μέσῳ, ἀμφίβολον πότερον φύσει ἢ τέχνῃ γεγονός· ὅμως δὲ μᾶλλον τέχνῃ. Ἔνθα συχνὰ, Θέτις, φοιτᾷν εἰώθεις, ἐπὶ κεχαλινωμένου δελφῖνος γυμνὴ καθημένη. Ἐκεῖ δή σε ὁ Πηλεὺς, ὡς ἔκειτο πεπεδημένη τῷ ὕπνῳ, κατέλαβε· κἀπειδὴ οἱ πειρωμένῳ

rodiani Epimerismis, pag. 92, pro Νηρηΐς θεὰ Θεσσαλίας, non male proposui N. θεὰ θαλασσία. Qua de notabili variatione cf. et Markland. ad Lysiam p. 899 R.

(1) Codex, ἐγκόνῳ. Potuissem scribere ἐκγόνῳ, et literas fuisse transpositas, quod sæpe fit, ostendere, et, ne longius abeam, lectorem remittere ad p. 62, ubi πειφῶν pro φιτρῶν: ad pp. 302, 357, ubi ἔθελξεν, ἀφαυναθέντας, pro ἔξελθε, ἀφαυαθέντας. Sed hic γκ pro γ positum esse videbatur, mendumque scripturæ e pronuntiatione oriri. Etenim ad XII, 41, 3, pro πίγλοι codex exhibet πίσκοι, et ad XIII, 255, φάλαγκα, pro φάλαγξα: et in lexico codicis Regii 1720, inveni, Ἀγχέμαχος, ὁ ἐγκὼς μαχόμενος· Ἀγχοῦ, ἐγκώς· Ἀγχὶ, ἐγκὼς· Ἀγχοτέρας, συγκινείας: in quibus pro altero γ librarius κ posuit. Cf. p. 455.

(2) P. 380, in eadem sententia pro κοῖλον scripsi κυλλὸν, et correctioni quidem favet permutatio perpetua vocalium υ et οι. Sed malo nunc emendationem proponere, quam facere. F. del. ὃς.

(3) Forsan, ἐπιβέβλ.—ὑποκειμ., præpositionibus transpositis.

(4) Cod., ὑποφαίνει—φέρει. Ad Poetæ mentem scribere debuisset καλύψαντα. Nec placet ὑποφαίνοι, quod latinum *remoretur* nullo modo exprimit. Reponendum, ἐπίσχοι.

δεήσεσιν ἀπομάχῃ, βίαν ἐπάγειν ἐπιχειρεῖ, χερσὶν ἀμφοτέραις τῷ σῷ τραχήλῳ περιπλεκόμενος· ὥστ' εἰ μὴ πρὸς τὰς συνήθεις μετέβης τέχνας, τὴν σαυτῆς πολλάκις μορφὴν ποικίλασα, ἀπέλαυσεν ἂν ἐκεῖνος τῆς τόλμης. Ἀλλὰ σὺ δὲ νῦν μὲν πετεινὸν ἦσθα, τὸ δὲ πετεινὸν ἐκεῖνος κατεῖχε· νῦν δὲ βαρὺ δένδρον ἦσθα, ὁ δὲ Πηλεὺς τῷ δένδρῳ προσίσχετο. Τρίτον εἶδος ποικίλης τίγριδος ἐγεγόνει· ταύτην δ' ὁ Αἰακίδης καταπλαγεὶς, τὰς χεῖρας τοῦ σώματος τῆς θεᾶς ἔλυσεν. Οὗτος τοίνυν τοῖς τοῦ πελάγους θεοῖς οἶνον ὑπὲρ τὰ κύματα σπείσας, καὶ θυμάτων λοβοῖς καὶ θυμιαμάτων καπνῷ προσεύχεται, μέχρις ὁ Καρπάθιος μάντις, ἐκ μέσου τοῦ βάθους, « Αἰακίδη, » ἐφώνησεν, « ἀπολαύσεις τοῦ ζητουμένου θαλάμου. » Σὺ μόνον, ἐπειδὰν ὑπνοῦσα κατὰ τὸ ψυχρὸν » ἀναπαύηται ἄντρον, δεσμοῖς καὶ πέδαις ἐχυραῖς » σύνδησον ἀγνοοῦσαν. Μηδέ σε ἀπατησάτω μορφὰς » ψευσαμένη μυρίας· ἀλλ', ὅ,τιπερ ἂν γίγνοιτο, » τούτου γε ἀπρὶξ ἔχου, μέχρις (1) ὃ πρόσθεν ἦν » αὖθις ἀναπλασθῇ. » Εἴρηκεν ὁ Πρωτεὺς ταῦτα, καὶ ἔκρυψεν ὑπὸ τὸ ὕδωρ τὸ πρόσωπον, καὶ τοῖς ἐσχάτοις ἑαυτοῦ ῥήμασιν ἀνῆκε πομφόλυγας. Ἔκλινε μὲν οὖν ἥλιος, ἐπικλινεῖ δὲ τῷ ἅρματι τὴν ἑσπερίαν κατεῖχε θάλατταν. Ἡ δὲ περικαλλεστάτη Νηρηΐς, καταλιποῦσα τὸ πέλαγος, πρὸς τὴν ἐν ἔθει κοίτην πορεύεται. Οὔπω καλῶς ὁ Πηλεὺς τοῦ παρθενικοῦ ἐδράξατο σώματος, ἡ δὲ καινοτομεῖ τὰς μορφὰς, μέχρις τῶν οἰκείων ᾔσθετο κατεχομένη μελῶν, καὶ εἰς μέρη διάφορα τὰς χεῖρας ἐξέτεινε (2).

(1) F. μέχρ. ἄν. Mox C. ἑσπέραν. (2) Habuit vulgatam lectio-

Τότε δὴ τέλος ἐστέναξε, καὶ, « Οὐκ ἄνευ » εἶπε « τοῦ « θεοῦ (1), σύ γε νικᾷς. » Ἐξεφάνη τοίνυν ἡ Θέτις. Καὶ ὁμολογήσασαν ὁ ἥρως δὴ περιβάλλει, καὶ τῆς ἐπιθυμίας εὐθὺς ἀπολαύει, καὶ τοῦ γενναίου ταύτην Ἀχιλλέως πληροῖ.

Εὐδαίμων ὁ Πηλεὺς καὶ τῷ τέκνῳ, εὐδαίμων καὶ τῇ γαμετῇ γέγονεν· ᾧπερ εἰ τὴν κατηγορίαν ἀφέλῃς τοῦ φονευθέντος ἀδελφοῦ Φώκου (2), εὖ ἂν πάντα συνέβη. Ἀλλ' ὑπεύθυνον αὐτὸν τῷ τοῦ ἀδελφοῦ αἵματι, καὶ φυγάδα τοῦ τε οἴκου καὶ τῆς πατρίδος, ἡ Τραχινία γῆ ὑπεδέξατο. Ἔνθα δὴ τὴν βασιλείαν, ἐκτὸς βίας ἡστινοσοῦν καὶ διχὰ φόνων, διΐθυνεν ὁ πατρὶ μὲν γεννηθεὶς τῷ Ἑωσφόρῳ, τὸ δὲ πατρῷον σέλας φέρων ἐν τῷ προσώπῳ Κήϋξ, ὃς δὴ, τὸν χρόνον ἐκεῖνον, ἀνόμοιος ἑαυτῷ γενόμενος, τὸν ἀδελφὸν ἀπολωλότα ἐπένθει. Ἐπεὶ δ' ὁ Αἰακίδης ἐκεῖσε, ταῖς τε φροντίσι καὶ τῇ ὁδοιπορίᾳ ταλαιπωρηθεὶς, ἦλθε, καὶ, ὀλίγων συνεπομένων, τὴν πόλιν εἰσῆλθε, καὶ ἃς τῶν θρεμμάτων ποίμνας τε καὶ ἀγέλας μεθ' ἑαυτοῦ ἐπεσύρετο οὐ πόῤῥω τῶν τειχῶν (3) ὑπὸ κατασκίῳ κοιλάδι

nem « brachia tendit. » Varietas codicis Regii, apud Editorem nostrum, *tendens*, magis placet.

(1) Τοῦ non esse articulum puto, sed indefinitum pronomen pro τινός. Nam Græci non dixerunt ἄνευ τοῦ θεοῦ, sed ἄνευ θεοῦ, vel ἄνευ του θεοῦ, ἄνευ θεῶν τινὸς, ἄνευ θεῶν του, de quibus formulis cf. Stanl. ad Pers. 164, Burges. ad Suppl. pag. 127. Nunc accentus ob positionem servandus est, quod incommodum vitasset, mutato ordine verborum, οὐκ ἄνευ του θεοῦ, εἶπε.

(2) Codd. latini : « jugulati » crimina Phoci », et « jugulati » crimina fratris. » Planudes dittographiam reperit, et utrumque nomen vertit.

(3) Codex, τοιχῶν. Cf. notam supra pag. 236 ; et Coray. ad Hier. Facet. 13. Dion Chrysostomus Orat. xxx, p. 557, loco depravato, in quo mentio domuum fit, habet τὴν ὀροφὴν καὶ

κατέλιπεν, εὐκαιρίας γενομένης τοῖς οἴκοις τοῦ βασιλέως προσελθεῖν, κλάδους χερσὶν ἱκετηρίους (1) προτείνων, τίς τε εἴη, καὶ τίνος γεννηθεὶς ὑπομιμνήσκει, μόνον δὲ συγκαλύπτει τὸ ἔγκλημα ἑαυτοῦ, καὶ ψευδεῖαι τὴν τῆς φυγῆς αἰτίαν, καὶ δεῖται ἡ πόλει ἢ ἀγρῷ τούτῳ συναράσθαι. Πρὸς ὃν ὁ Τραχίνιος ἡμέρῳ φωνῇ τοιαῦτά φησιν· « Αἱ ἡμέτεραί σοι (2), Πη-» λεῦ, ὠφέλειαι ἐν μέσῳ τῷ ἐμῷ δημῷ φανεραὶ » πρόκεινται· οὐδὲ γὰρ ἄξενον βασιλείαν καλέχομεν. » Προσῆλθης δὲ σὺ τῇ τοιαύτῃ διανοίᾳ ἡμῶν καὶ » ἰσχυρὰς ὑπομνήσεις, περιφανὲς ὄνομα καὶ πάππον » Δία. Μὴ δὴ τὸν κωφὸν ἱκετεύων ἀπόλλυε. Ὃ γὰρ » αἰτεῖς ἅπαν ἀποίσῃ, σαυτοῦ τε ἐν μέρει τάδε » τὰ τείχη, ὁποῖα δή ποτε βλέπεις, ὀνόμαζε. » Ὠφελες δὲ ταῦτα κρείττονα βλέπειν. » Καὶ ἐδάκρυε. Τίς δὲ δή ποτε αἰτία κινοίη τὴν τοσαύτην ἀνίαν ὁ Πηλεὺς καὶ οἱ ἑταῖροι διερωτῶσιν· οἷς ἐκεῖνος τὸ πᾶν ἐξεῖπε· « Τάχα τοῦτον τὸν ὄρνιν, τὸν ἁρπαγῇ » συζῶντα καὶ πάντα καλαπλήττοντα τὰ στρουθία, » ἀεὶ πτέρυγας ἐσχηκέναι νομίζετε. Ἀνὴρ γέγονε,

πίχη: cod. Reg. 2958, emendatius saltem τὴν π ὀρφὴν καὶ πίχους exhibet. Jo. Chrysostomus Hom. in S. Julianum p. 56, ubi ait solis lumen intercludi, ὅταν ἡ σπέγη, ἡ πῖχος, ἡ νέφος, ἡ ἄλλο τι σῶμα μεταξὺ παρεμπέσῃ: legendum videtur πῖχος, quod forsan correctiores exhibent editiones; nam pessima Ingolstadiensi an. 1605 nunc uti cogor. Infra ad vers. 529, codex iterum πιχῶν pro πίχων, ubi de lateribus navis agitur, quæ πῖχοι dicuntur, non πίχη: cf. ad XIV, 552.

(1) Codex, χερσὶ νικητηρίους προτείνειν.

(2) Pronomen σοι locum turbat. Ceyx Ovidianus ait sua mediæ etiam plebi commoda patere, se nempe vel hominibus de media plebe libenter et ultro prodesse; qui quidem sensus, deleto σοι, vix se prodet, se prodet tamen. Mox legendum οὐδὲ ἄξενον, deleto γάρ.

» καὶ τοσαύτη τις ἦν (1) αὐτῷ ἡ τοῦ νοὸς σλαθη-
» ρότης, ὁπόσον ὀξὺς ἦν καὶ τῷ πολέμῳ δυσπεί-
» σιλος καὶ πρὸς βίαν εὐτρεπής (2). Τοὔνομα Δαι-
» δαλίων, ἐξ ἐκείνου τοῦ παλαὶ γεννηθεὶς ὃς δὴ τὴν
» ἕως προκαλεῖται καὶ ἐν τῷ οὐρανῷ ἔσχατος
» ἕξεισιν. Ἐμοὶ μὲν εἰρήνη ἐτιμᾶτο, καὶ φερτὶς εἰρήνης
» φυλατομένης ἦν καὶ τῆς ὁμονοίας (3)· τῷ δ' ἀδελφῷ
» καλεποὶ πόλεμοι (4) ἤρεσκον. Ἡ δὲ δύναμις ἐκείνου
» ἔθνη καὶ βασιλεῖς ὑπηλάλετο, ἃ νῦν μεταμειφθεῖσα
» τὰς Θισβαίας ταράττει περισέρας.

» Τούτῳ θυγάτηρ ἐγεννήθη Χιόνη, ἡ, χαριεσλάτη
» τὴν ὄψιν οὖσα, συχνοὺς ἔσχε μνησλῆρας, ἐν τοῖς
» δὶς ἑπλὰ ἔτεσιν ἐπίγαμος γεγονυῖα. Ἔτυχον δ'
» ὑποσρέφοντες ὅτε Φοῖβος καὶ ὁ τῆς Μαίας υἱὸς, ὁ
» μὲν ἐκ τῶν οἰκείων Δελφῶν, ὁ δ' ἐκ τῆς Κυλλη-
» ναίας κορυφῆς· καὶ εἶδον δὴ ταύτην ὁμοῦ, καὶ ὁμοῦ
» πῦρ ἐδέξαντο. Ὁ μὲν οὖν τὰς τῆς ἀφροδίτης ἐλπί-
» δας εἰς τὸν τῆς νυκτὸς ἀναβάλλεται καιρὸν, ὁ
» Ἀπόλλων· ὁ δ' ἥκιστα φέρει τὴν τελεύην. Τῇ δὲ
» πρὸς ὕπνον κινούσῃ ῥάδιον ἄπλεται τῆς ὄψεως
» τῆς παρθένου. Ἡ δὲ τῇ δρασληρίῳ ἀφῇ πίπλει
» πρὸς ὕπνον, καὶ πρὸς τοῦ θεοῦ βίαν ὑφίσλαται.
» Ἡ μὲν οὖν νὺξ τὸν οὐρανὸν ἐποίκιλλεν ἄσλροσιν, ὁ
» δὲ Φοῖβος, εἰκάσας αὐτὸν γραῖ, τῆς πρωΐας πα-
» θείσης τέρψεως ἀπολαύει. Ἐπεὶ δ' ἡ τῆς Χιόνης
» γαστὴρ πεπανθεῖσα τὸν χρόνον ἐτέλεσε τὸν οἰκεῖον,

(1) Planudes a latinis paululum recessit, offendens, puto, ad verba « animi constantia » de ave usurpata, retulitque ad virum, ut viro magis convenientia.

(2) Cod. εὐτρεπὴς, quod mutavi. Hæc adjectiva facile permutantur : cf. supra p. 114.

(3) Malim συζυγίας, *conjugii*.

(4) Codex, πόμενοι.

» γεννᾶται ἐκ μὲν τοῦ σπέρματος τοῦ πλερυγόποδος
» θεοῦ πανοῦργος γένος, Αὐτόλυκος πρὸς πᾶσαν κλο-
» πὴν ἐπιτηδειότατος, ὃς ποιεῖν εἰώθει, τὴν παλρῴαν
» μὴ καλαισχύνων τέχνην, ἐκ μελάνων λευκὰ καὶ
» ἐκ λευκῶν μέλανα. Γεννᾶται καὶ ἐκ τοῦ Φοίβου (καὶ
» γὰρ διδύμους ὠδίνησεν) ὁ περιφανὴς ταῖς ᾠδαῖς
» καὶ τῇ εὐφώνῃ κιθάρᾳ Φιλάμμων (1). Ἀλλὰ γὰρ
» τί πλέον δύο τετοκέναι καὶ δυσὶν ἀρέσαι θεοῖς,
» καὶ ἰσχυρῷ παλεὶ χρήσασθαι, καὶ πρηνεῖ τῷ
» Ὑψιβρεμέτῃ (2); ἢ καὶ βλάπτει πολλοὺς ἡ δόξα;
» Καὶ γὰρ καὶ ταύτην οὕτως ἐσίναλο, ἥτις ἑαυτὴν
» πρόσθεν ἄγειν ἐτόλμησε τῆς Ἀρτέμιδος, καὶ τὴν
» ὄψιν ἐμέμψαλο τῆς θεοῦ. Τῆς δὲ ὀργή τε δριμεῖα
» κεκίνηται, καὶ, Τοῖς γῆν ἔργοις ἀρέσομεν, εἶπε.
» Χθόνος οὐδεὶς ἐν μέσῳ· καὶ τὸ τόξον ἐκύρτωσε,
» καὶ τῇ νευρᾷ τὸ βέλος ἐπέβαλε, καὶ τὴν ὑπεύ-
» θυνον γλῶτταν τῷ καλάμῳ διήρεξεν. Ἡ γλῶττα
» δὲ κεῖται, καὶ οὔτ' οὖν φωνὴ, οὔτε ῥῆμα ζητεύ-
» μενον, ἔπεται. Ἐκείνην μέντοι λαλεῖν πειρωμένην
» ἅμα τῷ αἵματι καὶ τὸ πνεῦμα ἀπέλιπεν· ἦν ὁ
» ταλαίπωρος ἐγὼ δὴ περιβαλὼν (3), ὁμοῦ τε πα-
» τραδελφοῦ λύπην ἠνεγκα τῇ ψυχῇ, καὶ τῷ
» οἰκείῳ συζήνῳ παραμυθίαν προσήνεγκα· ἦν ἐκεῖ-
» νος, παλὴρ ὤν, οὐκ ἄλλως ἐδέξαλο ἢ πρβλὴς
» πέτρα φλοῖσβον (4) θαλάσσης· καὶ τὴν θυγά-
» τερα οἰχομένην κατωλοφύρετο. Ὡς δὲ καὶ πρὸς

(1) Codex, φιλήμων, quod non putavi servandum. De Philammone vide Fabricium Bibl. Gr. lib. I, c. 26.

(2) Ad sententiam confer, si tanti est, p. 350. Cod. statim, ἢ.

(3) Habuit non malam lectionem, « quam miser amplexans. »

(4) Codex, φλοῖσον.

» πυρὴν εἶδε τεθεῖσαν, τετρήχυς αὐτῷ γένοντο
» ὁρμὴ εἰς μέσον τὸ πῦρ ἵεσθαι· τετρήχυς δ'
» ἐκεῖθεν ἀπωσθεὶς, ἠπειγμένον (1) τὸ σῶμα τῇ
» φυγῇ παρατίθεται, καὶ παρατλησίως ταύρῳ
» κεκυφότι τὸν τράχηλον, καὶ οἴστρου κεντήματα
» φέροντι (2), δι' ἀνοδίων ἄτιει. Καί μοι τοσοῦτον
» θεῖν ἔδοξεν, ὡς καὶ πλέον ἢ κατὰ ἄνθρωπον εἶναι
» τὸν δρόμον. Ὠήθης ἂν πτέρυγας αὐτὸν κατὰ πόδας
» δεδέχθαι. Καὶ δὴ φεύγει πάντας, καὶ, ὀξὺς τῷ τοῦ
» θανεῖν ἔρωτι, τῇ τοῦ Παρνασσοῦ κορυφῇ χρῆται.
» Οἰκλείρας δ' αὐτὸν ὁ Ἀπόλλων, ἡνίκα ἑαυτὸν ὁ
» Δαιδαλίων ἀφ' ὑψηλῆς πέτρας ἀφῆκεν, ὄρνιν
» ἐποίησε, καὶ αἰφνιδίοις πτέρυξι μετέωρον ὑπανεῖχε,
» καὶ ἀγκύλον παρέσχε στόμα, καὶ ἐπικαμπῆ τοῖς
» ὄνυξιν ἄγκισρα, καὶ τὴν ἀρχαίαν ἐτήρησε ῥώμην,
» ῥώμην τοῦ σώματος μείζονα. Καὶ νῦν ὀξύπτερος (3),
» οὐδενὸς ἀποχρῶντος αὐτῷ (4), στρουθίοις ἐπίσης
» ἅπασιν ἐπιτίθεται, καὶ, ὀδυνηθεὶς αὐτὸς, ἑτέροις
» ὀδύνης αἴτιος γίνεται. »

Ἐν ᾧ δ' ὁ τῷ Ἑωσφόρῳ γεννηθεὶς τὰ τέρατα ταῦτα περὶ τοῦ ἰδίου διεξῄει συγγόνου, πνευστιῶν τῷ δρόμῳ ἐφίσταται τῆς τοῦ Πηλέως ἀγέλης ὁ

(1) Cod. ἠπιμένον. Lat. « con- » cita membra. »

(2) Aristænetus II, 18, de Pamphylo quodam: ἐρωτικῶς διεθερμάνθη καὶ, ὥσπερ βοῦς μωπισθεὶς, ἐπετάθη: ubi confer quæ notavi, pag. 710, de μώπη seu οἴστρῳ.

(3) *Accipiter* Planudi est ὀξύπτερος, ut infra ad Ν. 773. Scholiastes alter Æschyli Pers. 207, κίρκον quis sit explicat apposito synonymo, ὀξύπτερον.

(4) Ovid. « nullis satis æquus, » in omnes Sævit aves. » Vertit Noster ceu legisset « nulli satis » (*sunt ei*); æquus (pro *æque*) » in omnes sævit aves. » Repone, εἰς πάντας ἄδικος, ὄρνισιν ἐπιτίθεται ἅπασιν.

φύλαξ, ὁ Φωκαῖος Ἀνήτωρ. Καὶ, « Ὦ Πηλεῦ,
» Πηλεῦ μεγάλε (1), θανάτου σου πάρειμι ἄγγε-
» λος », εἶπεν. Ὅ,τι πολὲ δ' ἂν οὗτος φέρῃ κε-
λεύει προφέρειν ὁ Πηλεύς, καὶ μελέωρός ἐστιν·
ἀλλὰ καὶ αὐτὸς ὁ Τραχίνιος ἥρως τῷ φόβῳ τρέμει.
Ὁ βουκόλος δ' οὖν ἐπιφέρει· « Κεκμηκότας τοὺς
» ταύρους ἐπὶ τῆς κοίλης ἠϊόνος συνήλασα, ἵνίκα
» ἐν μέσῳ τῷ κόσμῳ μελεωρόταλος ὁ ἥλιος γεγονὼς
» τοσοῦτον τῆς γῆς ἐπεσκέψατο, ὅσον ὑπόλοιπον
» εἶναι ἐδόκει. Καὶ μέρος μέντοι βοῶν ἐπὶ τῆς ξαν-
» θῆς ψαμάθου τὰ γόνατα ἔκλιναν, καὶ κείμενοι τὸ
» πλαὶ τῶν ὑδάτων ἐσκόπουν πεδίον· μέρος δὲ
» βραδεῖ (2) βήματι δεῦρο ἐπλανῶντο κἀκεῖσε·
» ἕτεροι δ' ἐνήχοντο, καὶ μελέωροις τραχήλοις τοῦ
» ὕδατος ὑπερεῖχον. Ἔστι δέ τι τέμενος πρόσεχὲς
» τῇ θαλάττῃ, οὔτε μαρμάροις ἐπίσημον, οὔτε
» χρυσῷ, ἀλλὰ δοκοῖς συνεχέσι, καὶ ἀρχαίᾳ λόχμῃ
» καλάσκιον. Νηρηίδες δὲ καὶ Νηρεὺς τοῦτο καλέ-
» χουσιν, οὓς ναύτης τις θαλατλίους (3) ὑπέφηνεν
» εἶναι θεούς, ἐπὶ τῆς ἠϊόνος ψύχων τὰ δίκτυα.
» Πρόσεχὲς δ' ἔστιν ἕλος τούτῳ, συνεχέσιν ἰτέαις
» περιεστοιχισμένον, ὅπερ διαλειβόμενον τὰ τῆς
» θαλάττης ὕδωρ πεποίηκε. Ἐκεῖθεν σὺν ἴχνῳ βαρεῖ
» θόρυβος τοὺς γείτονας τῶν τόπων ἐκδειμαλοῖ. Μέγα
» γάρ τι θηρίον λύκος τῆς λόχμης ἔξεισι καὶ τοῦ

(1) *Magnæ cladis* in latinis legitur. Planudes male legit *magne*, et retulit ad Peleum. Repone, *λιτοῦ*.

(2) Codex, *βραδύ*, quod, etsi non plane ineptum, securus mutavi, ob lat. *gradibus tardis*, et constantem *τῶν υ* et *ι* synchysin.

(3) Non *θαλατλίους*, sed *πμένους*, ut id ponatur quod petit editus poeta. Sed Noster legit, *ponti*, non *templi*, *deos*.

» ἕλους, ἀφρῷ καὶ παχεῖ λύθρῳ τὸ στόμα ῥαινό-
» μενος, πρηστήριός τε, καὶ ἐρυθρὰν φλόγα περι-
» κεχυμένος τοῖς ὄμμασιν, ὃς, εἰ καὶ τὰ μάλιστα
» ἐπίσης τῇ τε πείνῃ καὶ λύσσῃ ἐκμαίνεται, ὀξύ-
» τερος ὅμως ἐστὶ τὴν λύσσαν. Οὐδὲ γὰρ τὴν ἀπα-
» στίαν καὶ τὴν δεινὴν πεῖναν σφαγῇ βοῶν παῦσαι
» φροντίζει, ἀλλὰ πᾶσαν τὴν ἀγέλην τιτρώσκει,
» καὶ καταστορέννυσιν ἅπαντας τρόπον ἐχθροῦ. Καὶ
» μερίς τις ἡμῶν, τῷ θανατηφόρῳ πληγεῖσα δήγ-
» ματι, παρεδόθη τῷ θανάτῳ ἀμυνομένη. Αἵματι
» δ' ἡ ἠϊὼν ἐρυθραίνεται, καὶ τὸ πρῶτον ὕδωρ, καὶ
» τὸ κατωρυόμενον (1) ἕλος. Ἀλλὰ γὰρ ἡ βραδυτὴς
» ἐπιζήμιον, καὶ τὸ πρᾶγμα διστάζειν οὐκουν ἐᾷ·
» μέχρις περιλέλειπταί τι, πάντες συνίωμεν, καὶ
» ὅπλα, ὅπλα ἀρώμεθα, καὶ ἀθρόα τὰ βέλη
» ἐνέγκωμεν. » Εἶπεν ὁ ἀγρότης (2). Οὐ μέντοι πα-
ρεκίνει τὸν Πηλέα τὰ τῆς ζημίας· ἀλλ' ἐπὶ νοῦν
ἐλάμβανε τὸ ἀνοσιούργημα (3) καὶ τὴν Νηρηΐδα τοῦ
παιδὸς ὀρφανισθεῖσαν, καὶ τὴν ζημίαν ταύτην τῷ
τεθνεῶτι Φώκῳ πέμπειν ἐπείθετο ἐναγίσματα. Ἐν-
δύεσθαί γε μὴν ὅπλα τοὺς ἄνδρας καὶ ῥωμαλέα
βέλη λαμβάνειν ὁ αἰθέριος κελεύει βασιλεὺς, οἷς
ἅμα καὶ αὐτὸς ἀπιέναι ἦν ἐν παρασκευαῖς. Ἀνεπή-
δησε δ' ἡ σύζυγος Ἀλκυόνη, φοβηθεῖσα τὸν θόρυ-
βον, καὶ μήπω πάσας τὰς τρίχας διαθεῖσα, διέστησέ
τε πάντας (4), καὶ, περιχυθεῖσα τῷ τραχήλῳ τοῦ

(1) Codex, κάτω ῥυόμενον. Lat. « demugitæ paludes. »

(2) Cod. ἡ ἀγρότης, et e correct. ἡ ἀγρότις.

(3) Inserui τὸ ἀνοσ. ut verba *memor admissi* conversa legerentur.

(4) Mihi placet hic sensus, et cum Planude, *disjicit hos ipsos*, non de capillis, sed de turba cir-

ἀνδρὸς, πλὴν ἑαυτοῦ πέμπειν βοήθειαν καὶ λόγοις δεῖται καὶ δάκρυσι, καὶ ψυχὰς δύο τηρεῖν ἐν μιᾷ. Πρὸς ἣν ὁ Αἰακίδης, « Τὸν εὐπρόσωπον » εἶπε, « δέσποινα, τοῦτον καὶ φιλόστοργον φόβον ἀπόθου. » Ἅλις μοι τῆς χάριτος τῶν ὑμετέρων ἐπαγγελιῶν. » Οὐκ ἀρέσκει μοι κινεῖν κατὰ τοῦ καινοῦ τέρατος » ὅπλα· προσκυνητέα δ' ἡ τοῦ πελάγους ἐστὶ » θειότης. » Ἦν δέ τις ὑψηλὸς πύργος, τῆς χώρας ἀκρόπολις, ταῖς ἀπειρηκυίαις τῶν νεῶν πρόσφορος χῶρος. Ἀνίασιν ἐκεῖσε, καὶ τοὺς κατεστορεσμένους ἐπὶ τῆς ἠϊόνος ταύρους ἅμα στεναγμοῖς βλέπουσι, καὶ τὸν φθείραντα τούτους θῆρα, λελυθρωμένον τὸ στόμα, καὶ τὴν μακρὰν ἠλισγημένον αἵματι λάχνην. Ἐντεῦθεν χεῖρας ἐκτείνας πρὸς τὰς ἀναπεπταμένου πελάγους ἠϊόνας ὁ Πηλεὺς, τὴν γλαυκὴν ἱκετεύει Ψαμάθην τέλος ἐπιθεῖναι τῇ ὀργῇ καὶ βοήθειαν εἰσενεγκεῖν. Ἡ δ' οὐ κάμπτεται ταῖς Αἰακίδου φωναῖς ἱκετεύοντος. Ἀλλ' ἡ Θέτις, ὑπὲρ τοῦ συνεύνου δεηθεῖσα, ταύτην λαμβάνει τὴν χάριν. Καὶ ὁ λύκος, ἐκ τοῦ φθείρειν ἀνακαλούμενος, τραχὺς ἐνίσταται τῇ γλυκύτητι τοῦ αἵματος, μέχρις ἐμπεφυκότα διεσπαραγμένης τραχήλῳ δαμάλεως εἰς μάρμαρον ἤμειψεν (1). Ὁμοῦ δὲ τό,τε σῶμα καὶ χρῶμα δείκνυσιν αὐτὸν μηκέτι λύκον ὄντα, μηκέτι φοβεῖν ὀφείλοντα (2). Ὅμως δ' οὐκ ἐν ταύτῃ τῇ

cumstantium intelligam lubens.

(1) Glossa in codice, ἡ Θέτις.

(2) Codex, ὀφειλόμενον, quod mutavi. Ceterum græca breviora sunt latinis. Videtur legisse: « corpus pariterque colorem, » Cetera servavit; lapidis color » indicat illum Jam non esse lu- » pum, jam non debere timeri. » Atque forsan scripserat: ὁμοῦ δὲ τό τε σῶμα καὶ τὸ χρῶμα καὶ λοιπὰ διεφύλαξεν· τοῦ δὲ λίθου τὸ

γῆ τὸν φεύφυγα σῖῆναι Πηλέα ἐῶσιν αἱ Μοῖραι· ἀλλὰ φεὸς τοὺς Μάγνῆας εἶσιν ἀλήτης τε καὶ φυγάς, κἀκεῖ δὴ πεὸς τοῦ Αἰμονίου Ἀχάσῖου τὰ τοῦ φόνου καθάρσια δέχεται.

Μετὰ τοῦτο δ' ὁ Κήυξ, τοῖς τε τοῦ οἰκείου ἀδελφοῦ καὶ τῷ ἀδελφῷ ἑπακολουθήσασι τέφσι σὺν ὀδύνῃ ταφαχθεὶς τὴν καρδίαν, βουλεύεται πεὸς τοὺς ἱεφοὺς χρησμοὺς τὰ τῶν ἀνθρώπων παφαμυθήμαῖα (1), καὶ φεὸς Κλάφιον θεὸν ἐλθεῖν ἑτοιμάζεται. Τὸ γὰρ ἐν Δελφοῖς ἱεφὸν Φόρβας ὁ ἀνόσιος ἄβαῖον ἅμα καὶ τοῖς Φλεγύαις ἐποίει. Πρότεφόν γε μὴν δῆλην σοι τὴν ἑαυτοῦ βουλὴν, πισῖοτάτῃ Ἀλκυόνῃ, ποιεῖται· ἧς παφαχρῆμα ὀσῖᾶ τὰ ἐνδόταῖα ψύχος συνέλαβον, καὶ ὁμοιοῖάτῃ τῷ πύξῳ ὠχφότης ὑποδύνει τὸ φόσωπον, καὶ δάκρυσιν αἱ παφειαὶ καῖηνοῦντο φεῦχεομένοις. Καὶ, τεὶς πειφαθεῖσα λαλῆσαι, τεὶς τῷ κλαυθμῷ τὸ σῖόμα ἐπέδησε (2), καὶ λυγμῶν ἐγκοπῖόντων τὰς φιλοσῖόφγους καῖαμέμψεις, « Ποῖον ἐμὸν » εἶπε « πῖαῖσμα » τὴν σὴν, φίλταῖε, διάνοιαν ἔτφεψε; Ποῦ ποῖέ » ἐσῖιν ἡ φεὶν ὑπὲφ ἐμοῦ εἰωθυῖα τυγχάνειν φφον- » τίς; Νῦν δύνῃ, τὴν Ἀλκυόνην καῖαλιπὼν, ἀσφα- » λῶς ἀποδημεῖν· νῦν ὁδὸς ἀφέσκει μακφά· νῦν σοι » ἀποῦσα φεσφιλεσῖέφα εἰμί. Ἀλλ' οἶμαι διὰ ξηφῖς

χῶμα δίκνυσιν—Iteratio vocis χῶμα peperit lacunam, quod mendi genus jam sæpe fuit observatum.

(1) Lat. « Consulat ut sacras, » hominum oblectamina, sortes, » Ad Clarium parat ire deum. » Inserui παφαμυθήμαῖα, ut *oblectamina* redderetur. Sed vides Planudem male legisse *consulit*, et non potuisse se inde extricare. Latina poscere videntur: ἵνα τοὺς ἱεφοὺς—παφαμυθήμαῖα, ἀνφφωτῶν.

(2) Lat. « fletibus ora rigavit. » Reponendum forsan ἐπέδυσι, nisi legerit Noster, idque male, *ligavit*.

» σοι καὶ ὁδὸν εἶναι, καὶ μόνον ἀλγήσω, οὐδ' ἀρα καὶ
» δείσω, καὶ τῶν φερντίδων φόβος ἀποστατήσει. Φο-
» βεῖ με τὰ κύματα, καὶ φαντασία τῆς θαλάσσης
» σύγγνή. Καὶ γὰρ διερρωγυίας ἐξ ὑπογυίου σανίδας
» ἐπὶ ἠιόνος εἶδον, καὶ πολλάκις ἐν κενηείοις (1) δίχα
» σωμάτων ἀνέγνων ὀνόματα. Μηδέν σοι τῶν λογι-
» σμῶν ἀπαληλὸν θάρρος ἀπέσθω, ὅτι σοι πενθερὸς ὁ
» Ἱππολάδης ἐστὶν, ὃς ἐν εἰρκτῇ τοὺς ἀνυποστάτους
» ἀνέμους συνέχει, καὶ, ἡνίκα ἂν βούληται, κατευ-
» νάζει τὴν θάλασσαν. Εἰ γὰρ ἅπαξ ἐκπεμφθέντες
» ἄνεμοι τὴν θάλατταν δὴ κατάσχοιεν, οὐδὲν ἐκείνοις
» ἀπείρητα, καὶ πᾶσα γῆ καὶ πᾶσα θάλαττα πα-
» ραδίδοται (2), ὅθεν δὲ καὶ τὰς τοῦ οὐρανοῦ νεφέλας
» κλονοῦσι, καὶ ταῖς χαλεπαῖς συνδρομαῖς ἐρυθρὰ
» πυρὰ ἐκλινάττουσιν. Ὅσῳ μᾶλλον αὐτοὺς ἔγνων
» (καὶ γὰρ ἔγνων, καὶ πολλάκις ἔτ' οὖσα (3) μικρὰ
» κατὰ τὴν πατρῴαν εἶδον οἰκίαν), τοσούτῳ μᾶλλον
» ἤγημαι φοβητέους ὑπάρχειν. Εἰ δ' ἄρα μηδέσιν
» ἰκετηρίοις ἐμοῦ λόγοις ἢ σὴ γνώμη καμφθῆναι,
» φίλτατε, δύναται, ἄνερ, καὶ ἀπιέναι σφόδρα βέ-
» βαιος εἶ, ἀλλ' ἅμα σαυτῷ κἀμὲ λάμβανε.
» Ἀσφαλῶς κινδυνεύσομεν (4) ἅμφω, καὶ οὐδ' ἂν εἴ
» τι πάθοιμι δείσω (5)· ἐπίσης τε οἴσομεν ὅ,τι ποτὲ
» γένοιτο, καὶ ἐπίσης ὑπὲρ τὸ πλατὺ κῦμα ἀνενε-
» χθησόμεθα. »

(1) De voce κενήειον cf. dicta ad Herodiani Epimerismos.

(2) Lat. « incommendataque » tellus Omnis. » Planudes intellexit, ceu esset *mandata*, *permissa*, *tradita*, et vere, ni fallor.

(3) Codex, πολλάκις αἰπεῖσα.

(4) Lat. « certe jactabimur » una. » Male vertit; nam *certe* non est *tute*. Repone, κινδυνεύσομεν ἅμα δύπου.

(5) Invenitne, « *Nec si quid*

Τοῖς τοιοῖσδε τῆς Αἰολίδος ῥήμασί τε καὶ δάκρυσιν
ὁ ἀστρῶος διασείεται Κήϋξ· οὐδὲ γὰρ ἔλαττον πῦρ ἦν
ἐν ἐκείνῳ. Ἀλλ' οὔτε τὸν προκείμενον τοῦ πελάγους
δρόμον καταλιπεῖν, οὔτε τὴν Ἀλκυόνην ἐθέλει ἐν
μέρει τοῦ κινδύνου παραλαβεῖν. Καὶ δὴ πολλὰ ἀπε-
κρίνατο τὴν περίφοβον ψυγαγωγοῦντα καρδίαν. Πλὴν
οὐ παρὰ τοῦτο τὴν αἰτίαν ἐκείνη γε ἐπαινεῖ (1). Ὁ δὲ
προσέθηκε τοῖς ῥηθεῖσι καὶ τοῦτο δὴ τὸ τιθάσσευμα,
ᾧ μόνῳ τὴν ἐρῶσαν ἔκαμψε· « Μακρὰ μέν ἐστιν ἡμῖν
» πᾶσα διατριβή· ὄμνυμι δέ σοι κατὰ τοῦ πατρῴου
» πυρὸς, εἴ με μόνον ἐῶσιν αἱ Μοῖραι, πρότερον ἐπα-
» νήξειν πρὶν ἢ δὶς τὴν σελήνην πληρῶσαι τὸν κύ-
» κλον. » Ἐπεὶ δὲ ταύταις ταῖς ὑποσχέσεσιν ὑποστρο-
φῆς ἐλπίδας ἐπέτεινεν, αὐτίκα καθελκυσθεῖσαν τὴν
ναῦν ἐκ τοῦ νεωσοίκου τῇ θαλάττῃ βάπτεσθαι καὶ
τοῖς οἰκείοις καταρτίζεσθαι κελεύει πληρώμασιν· ἣν
αὖθις ἰδοῦσα, οἱονεί τις προφῆτις τοῦ μέλλοντος, ἔφρι-
ξεν Ἀλκυόνη, καὶ δάκρυα προῆκεν ἀναδοθέντα, καὶ
περιπλοκὰς ἔδωκε, καὶ τέλος ἡ δύστηνος οἰκτρῷ
στόματι « Χαίροις » εἶπε, καὶ ὅλῳ καταπίπτει τῷ
σώματι. Οἱ δὲ νεανίαι, τριβὴν ζητοῦντι τῷ Κήϋκι
ἐπὶ τῶν ἰσχυρῶν ἐπαναφέρουσι στέρνων τὰς ἐν τοῖ
διδύμοις ταρσοῖς κώπας, καὶ ἴσῃ πληγῇ τὰ κυ
ματα τέμνουσι. Ἡ δ' Ἀλκυόνη τοὺς διαβρόχο
διῆρεν ὀφθαλμοὺς, καὶ ἐπὶ τῆς κορωνίδος ἑστῶ
πρύμνης τὸν ἄνδρα, καὶ κροτοῦντα τὴν χεῖρα

» *patiar metuam* », lectionem non intellexit. *Probat* de C
non malam?

(1) Lat. « Nec tamen idcirco dicitur. Sensus est: πλὴν οὐ
» causam probat. » Vim verbi τοῦτο τῇ αἰτίᾳ πιθανόν τι πα
προσέθηκε δὲ τοῖς ῥηθ.

σύμβολα ταύτῃ (1) διδόντα, πρώτη ἑώρακε· καὶ ἀνταπέδωκε καὶ αὐτὴ σημεῖα. Ὡς δὲ πορρωτέρω τῆς νηὸς ἡ γῆ ἀπεχώρησε, καὶ οἱ ὀφθαλμοὶ τὸ πρόσωπον ἀδυνατοῦσι γνωρίζειν, μέχρις ἂν ἐξῇ διώκει τοῖς ὀφθαλμοῖς τὴν ναῦν φεύγουσαν. Ἐπεὶ δὲ καὶ αὕτη ἀπενεχθεῖσα μὴ ἠδύνατο ὑπὸ τοῦ διαστήματος βλέπεσθαι, ἥδ' ὅμως τὰ ἱστία σκοπεῖ ἄκρῳ τῷ ἱστῷ περικεχυμένα. Ἐπεὶ δὲ μηδὲ τὰ ἱστία βλέπει, πρὸς κενὸν ἄπεισιν ἀδημονοῦσα τὸ λέχος, καὶ τίθησιν ἐπὶ τῆς στρωμνῆς ἑαυτήν. Καὶ ἀνακαινίζει τὸ λέχος καὶ ὁ τόπος τὰ ταύτης δάκρυα· καὶ γὰρ τὸ παραμυθησόμενον ἂν μέρος ἀπῆν (2). Οἱ μὲν οὖν ἐξεληλύθεσαν τοῦ λιμένος· αὔρα δὲ τοὺς κάλωας διεκίνησε, καὶ τὰς κώπας ὁ ναύτης ἐπιστρέφει ταῖς πλεύραις ἀπῃωρημένας, καὶ τὸ κέρας ἐπ' ἄκρον τὸν ἱστὸν ἀναφέρει, καὶ ὅλα διατείνει ἐπ' αὐτοῦ τὰ ἱστία, καὶ τὸ ἐρχόμενον εἰσδέχεται πνεῦμα. Ἢ τοίνυν τὸ ἔλαττον, ἢ πάντως τὸ μέσον, οὐ γάρ τοι τὸ πλέον τοῦ πόρου, ἐτέμνετο (3), καὶ πόρρω γε ἦν ἑκατέρα χέρσος· ἡ δὲ θάλασσα ὑπὸ νύκτα ἐξῳδηκόσιν ἤρξατο λευκαίνεσθαι κύμασι, καὶ ἐπισπέρχων Εὖρος ἐρρωμενέστερον πνεῖν. Πάλαι μὲν οὖν ὁ κυβερνήτης, « Τὸ μετέωρον καθέλκετε κέρας » ἐβόα, « καὶ τοῖς προτόνοις ἅπαν τὸ ἱστίον περιελίξατε. » Ὁ μὲν οὖν ἐκέλευε, τὰ δ' ἐπιτάγματα κωλύουσιν αἱ καταιγίδες ἐναντιοστατοῦσαι, καὶ τῆς

(1) Pessima pronominis *sibi* versio, quam jam notavi, nec semel. Repone σύμβολά οἱ.

(2) *Et quæ pars admonet absit*, quæ, ab interprete non intellecta, sic fere verterim : καὶ ποῖον ἄπεστι μέρος ἀναμιμνήσκει.

(3) Codex, ἔτεμνε. Forsan, ἡ ναῦς ἔτεμνε, vel, ad latinorum ductum, τῇ νηῒ ἐτέμνετο.

θαλάσσης ὁ ῥόθος οὐδὲ μίαν ἀκούεσθαι φωνὴν συγχωρεῖ. Αὐτοκέλευσοι δ' ὅμως σπεύδουσιν, ἄλλοι μὲν τὰς κώπας μεταχειρίζεσθαι, μέρος δὲ τούτων τοὺς τοίχους καλοχυρῶν, μέρος δ' ἀπαρνεῖσθαι τοῖς ἀνέμοις δὴ τὰ ἱστία. Ὁ μὲν ἐκχεῖ τὸν ἄντλον καὶ τὴν θάλατταν αὖθις εἰς τὴν θάλατταν πέμπει· ὁ δὲ τοὺς σφόνους ἁρπάζει. Ἐν ὅσῳ δ' ἀτάκτως σφάττεται τὰ τοιαῦτα, τραχὺς πυξήθη χειμών, καὶ χαλεποὶ πανταχόθεν ἐμάχοντο ἄνεμοι, καὶ ἀναναυκλοῦντα τὰ κύματα ἀνεμίσγυσαν. Καὶ αὐτὸς δ' ὁ κυβερνήτης καλεσάλγη, καὶ οὐδ' ἑαυτὸν ὁμολογεῖ τίς πολέ ἐστιν ἥδε τῆς νεὼς ἡ καλάσσασις εἰδέναι, ἢ τί ποτ' ἂν κελεύοι, ἢ τί ποτ' ἂν ἐθέλοι· τοσοῦτον ἦν τὸ τοῦ κακοῦ βάρος, καὶ τοσοῦτον ἦν ἐπικρατέσπερχον καὶ τῆς τέχνης. Ὑπερχοῦσι μὲν οὖν χαυγαῖς οἱ ἄνδρες, οἱ πρότονοι δὲ τελείγασιν, ἐμβολαῖς κυμάτων κῦμα βαρύνεται, καὶ βρυχαῖς ὁ αἰθήρ. Καὶ κύμασιν ἡ θάλαττα διανίσταται, καὶ τῷ οὐρανῷ ἐξισοῦσθαι δοκεῖ καὶ τῇ τῶν ἀφρῶν ἀχνῇ τῶν νεφῶν ἅπτεσθαι· καὶ νῦν μὲν, ξανθὴν ἐκ τοῦ βάθους ἄμμον ἀναβάλλουσα, ὁμόχρους γίνεται ταύτῃ· νῦν δὲ μελανωλέρα καὶ τοῦ Στυγίου ῥεύματος· ἔστι μὲν ὅτε καλασπορέννυται, ἔστι δ' ὅτε τῷ ἀφρῷ φοφοῦντι λευκαίνεται. Καὶ αὐτὴ δ' ἡ Τραχινία ναῦς ταῖς τοιαύταις ῥιπαῖς ἀγκαί τε καὶ φέρεται, καὶ, νῦν μὲν, μετεωριζομένη, ὥσπερ ἐκ κορυφῆς ὄρους, ἀποβλέπειν εἰς φάραγγα δοκεῖ καὶ Ἀχέροντα τὸν ὑπόγεων, νῦν δὲ καταενεχθεῖσα, τοῦ κοίλου κύματος κύκλῳ ταύτην ἀπολαβόντος (1), ὡς ἐκ τοῦ Ταρταρείου βυθοῦ

(1) Cod. ἀπολανόντος. Similitudo soni et scripturæ inter literas

πρὸς τὸν ἄκρον οὐρανὸν ἀποβλέπειν. Πολλάκις δὲ κλύπον ἐξαίσιον ἀπεδίδου, τοῖς τοίχοις ἐμβαλόντος τοῦ κύματος, οὐδὲ κουφότερον ἐφόρει βαλλομένη, ἢ ὁπότε χριὸς σιδηροῦς ἢ καταπέλτης, ἐφ' ᾧ κατασείσαι, τὸ τεῖχος πλήττει. Ὡς δ' εἰώθασι χαλεποὶ λέοντες ῥώμην ἀναλαβόντες ἐναντίῳ σθένει πρὸς ὅπλα τε καὶ βέλη προβεβλημένα ἴεσθαι, οὕτως, τῆς θαλάσσης συμφυσωμένης τοῖς ἐγηγερμένοις πνεύμασιν, ἡ ναῦς ἤει πρὸς ὅπλα (1)· πολλῷ δ' ἦν ὑψηλοτέρα ἡ θάλαττα. Ἤδη μὲν οὖν ἐξεχρούοντό τε οἱ γόμφοι, καὶ, περιδυθεῖσα τῆς ἐκ τῆς πίττης σκέπης, αἱ ἁρμονίαι ἀνεῴγασι, καὶ τοῖς ὀλεθρίοις ὕδασι παρεῖχον ὁδόν· ἤδη δὲ πίπτει λάβρος λυθέντων τῶν νεφῶν ὑέτιος· ἐπείσθης ἂν ὅλον καθιέναι τὸν οὐρανὸν εἰς τὴν θάλατταν, καὶ πρὸς τὴν τοῦ οὐρανοῦ χώραν ἐξοιδαῖνον ἀνιέναι τὸ πέλαγος. Τὰ μὲν οὖν ἰσθμία διάβροχα τῷ ὑέτῳ γέγονε, καὶ τοῖς

υ et C permutationem peperit, eamque haud raram, verborum ἀπολαύειν et ἀπολαβεῖν: quam illustravi ad Aristæn. I, 3, extr. Synesius Epist. 123, οὐ γὰρ οἷς ἀπέλαυόν σου διὰ τῶν γεγραμμένων ἠδόμην, ἀλλ' ἡνιώμην ἀναφέρων ἀπὸ τῶν γεγραμμένων τὴν ἔμψυχόν σου συνουσίαν: cod. Reg. 1040, ἀπέλαβον, male; et bis ἐγγεγραμμένων, bene; cod. 1039, quoque, ἀπὸ τῶν ἐγγρ. Supra pag. 357, ostendebam sæpe in compositis præpositiones male omitti. Nicephorus in Synes. pag. 380 D: ἔοικεν οὖν ὁ Συνέσιος ἐνταῦθα τῇ Δημοκρίτου καὶ Σίξου δόξῃ καὶ ἄλλων Ἑλλήνων καταχολουθεῖν: cod. Reg. 831, καὶ τῶν ἄλλων Ἑλλ. ἀκολουθεῖν, omissa male præpositione, et opportune addito articulo. Synesius Hom. II, κρημνίζει τῇ συκοφαντίᾳ βαλλόμενοι. Codd. 1038, 1039, καταβαλλόμενοι, bene.

(1) Lat. « Unda Ibat in arma » ratis. » Nihil hic vidit interpres, qui *ratis* habuit pro nominativo et *arma* sensu vulgari videtur cepisse. Sensus est, τῆς νεὼς ἤει πρὸς τὰ σκεύη, verbis debilibus; sed servavi quæ servari poterant. Ceterum in Ovidio displicet lusus circa *arma* venatorum et *arma* navis. Non erat his locus.

οὐρανίοις κύμασι τὰ θαλάττια μίσγουσι κύματα· ἐσπέρηται τε φωτὸς ὁ αἰθὴρ καὶ ζοφερὰ νὺξ τῷ σκότῳ καλύπτεται, τῷ ἑαυτῆς φημὶ καὶ τῷ ἐκ χειμῶνος. Διωθοῦνται δ' ὅμως τὸ σκότος καὶ παρέχονται φῶς ἀστραπαὶ ἀπειλοῦσαι, καὶ τῷ ἐκ τῶν ἀστραπῶν πυρὶ τὰ κύματα φλέγεται. Δίδωσί τε ἤδη πήδημα τὸ κῦμα εἴσω τῶν τῆς νηὸς κοιλωμάτων· καὶ οἷα δή τις στρατιώτης, παντὸς προέχων τοῦ τάλματος, πολλάκις ἐφαλάμενος φρουρουμένης πόλεως τείχεσι, τελευτῶν τῇ τε ἐλπίδι χρήσεται καὶ, τῷ τῶν ἐπαίνων ἔρωτι ἀναπλόμενος, μέλαξὺ μυρίων ἀνδρῶν, μόνος τὸ τεῖχος καταλαμβάνει· οὕτω, τῶν ὑψηλῶν κυμάτων τοῖς τῶν τοίχων (1) ἄκροις προσαρξάντων, ἔτι μείζων ἀνασταῖσα δεκάτου κύματος ὁρμὴ ἔπεισι, καὶ οὐ πρότερον ἀφίσταται ἀπηνθρακυῖα τῇ νηὶ διαμάχεσθαι, πρινὴ καταλθεῖν εἰς τὰ τῆς νεὼς ἔσπερ ἁλούσης πόλεως τείχη. Τὸ μὲν οὖν τῆς θαλάττης ἐπειρᾶτο ἔτι τὴν ναῦν ἐκπορθῆσαι, τὸ δ' ἐντὸς ἦν. Καὶ θορυβοῦνται πάντες, οὐ ῥαθυμότερον ἢ πόλις εἴωθεν, ἄλλων μὲν ἤδη τὸ τεῖχος διορυττόντων ἐκτὸς, ἄλλων δ' ἐντὸς αὐτὸ καθεχόντων, ἀγωνίᾳ. Ἐπιλείπει δὴ καὶ ἡ τέχνη, καὶ αἱ ψυχαὶ καταπίπτουσι, καὶ τοσοῦτοι δοκοῦσιν αὐτοῖς ἐπιέναι καὶ ἐπιῤῥήγνυσθαι θάνατοι, ὅσα καὶ κύματα ἔρχεται. Ὁ μὲν οὖν οὐ καθέχει τὸ δάκρυον· ὁ δ' ἐνεῖ ἴσταται· ἄλλος μακαρίους ἀποκαλεῖ οὓς ἐκφοβ μένουσιν· ἕτερος εὐχόμενος δεῖται τοῦ θείου, κ χεῖρας πρὸς τὸν οὐρανὸν, ὃν οὐχ ὁρᾷ, μάτην αἴρ αἰτεῖται βοήθειαν. Ἔπεισιν ἐπὶ νοῦν τῷ μὲν ἀδελ

(1) Cod. πιχῶν: cf. p. 481. Mox πίχα ferendum ob urbem captæ

καὶ τεκόντες (1), τῷ δὲ σὺν τοῖς κληρονόμοις οἰκίαι, καὶ ὅ,τιπερ ἐκάστῳ καλαλέλειπται. Ἀλκυόνη δ' εἰς οἶκον κινεῖ τὸν Κήυκα, κἀν τῷ τοῦ Κήυκος σὸ-
45 μαλι οὐδὲν ἦν ὅτι μὴ Ἀλκυόνη· ἀλλ', εἰ καὶ τὰ μάλιστα ταύτης ἐπιθυμεῖ καὶ μόνης, ἔχαιρεν ὅμως ὅτι γε μὴ παρῆν. Θέλων δὲ καὶ πρὸς τὸν τῆς ἐνεγκαμένης ἀφορᾷν χῶρον καὶ τελευταίαν σπρέφειν πρὸς τὴν οἰκίαν ὄψιν, ἀγνοεῖ ποῦ πού' ἂν εἴη· τοσαύτην ἀνέζησε τὸ πέλαγος πλάνην, καὶ σκιὰν μέλαιναν ἐκ
50 τῶν νεφῶν ἅπας ὁ οὐρανὸς ἐπηλυγασάμενος κρύπτειαι, καὶ τὸ εἶδος τῆς νυκτὸς ἐδιπλασιάσθη.

Καὶ καλάγνυται τῇ ἐμβολῇ τοῦ χειμερίου λαίλαπος ὁ ἰσθὸς, καλάγνυται δῆτα καὶ τὰ πηδάλια· καὶ τοῖς σκύλοις τούτοις, ἅτε δή τις νικητὴς, τὸ κῦμα θρασυνθέν τε καὶ κυρτωθὲν ἄνωθεν ἀφορᾷ πρὸς τὰ λοιπὰ κύματα. Οὐκουν ἐλαφρότερον, ἤ εἴ τις,
55 Ἄθων τε καὶ Πίνδον ἀνεσπακὼς τῆς οἰκείας ἕδρας, ὅλους πρὸς τὸ ἀναπεπταμένον ἐκύλισε πέλαγος, πρηνὲς καταπίπτει (2), καὶ ὁμοῦ τῷ τε βάρει καὶ τῇ φορᾷ βαπτίζει κατὰ βάθους τὴν ναῦν, σὺν ᾗ καὶ τὸ πολὺ τῶν ἀνδρῶν τῷ βάρει πίεσθὲν τῶν ὑδάτων, καὶ μηκέτι τῷ ἀέρι ἀποδοθέν, τῇ οἰκείᾳ μοίρᾳ ἐχρήσαλο. Ἄλλοι μὲν οὖν μέρη καὶ μέλη (3) τῆς νεὼς κατέα-

(1) Videtur invenisse, « fraterque parentesque, » quod, ad sententiam optimum, nec metro nocebit, quum fieri possit elisio cum prima versus proximi syllaba, vel, idque bonum, « patresque. »

(2) Inserui πρηνὲς καταπίπτει, « præcipitata ruit. »

(3) Hanc verborum junctura illustravi ad Aristæn. p. 211. Symeon Metaphr. Epist. 9, non insuaviter : εἰ π οὖν ἡμῶν μέλει σοι, μέλει δὲ πάντως μέλος ὄντα καὶ μέρος τῆς μιᾶς ψυχῆς, γεφύρον τὸ πέλαγος, καὶ παραμύθησαι ψυχὴν, ἢ τοῦτο αὐτὸς εἶ, ὅπερ ἀπεχθῶς ἐκείνῃ τῷ σώματι. Psellus in Can-

γύτα καλέχουσιν· αὐτὸς δ' ὁ Κήϋξ τῇ χειρὶ, ἣ φορεῖν εἰώθει τὸ σκῆπτρον, χλᾶσμα ναυαγίου καλέχει, καὶ τόν τε κηδεστὴν καὶ πατέρα μάτην καλεῖται, καὶ πολλὴ ἐν τῷ τούτου στόματι νηχομένου ἡ σύνευνός ἐστιν Ἀλκυόνη. Ταύτης μέμνηται, ταύτην ἀναφέρει, ταύτης εὐχέται περὶ τῶν ὀφθαλμῶν ὑπὸ τῶν κυμάτων σῶμα κομισθῆναι τὸ ἑαυτοῦ, καὶ ἐκπνεύσας ταῖς φίλαις περιστραλῆναι χερσί. Νηχόμενος τοίνυν, ὁσάκις τὸ κῦμα χανεῖν συγχωρεῖ, ἀποῦσαν ὀνομάζει τὴν Ἀλκυόνην, καὶ ἐν αὐτοῖς αὐτὴν τοῖς ὕδασιν ὑποφθέγγεται. Ἤδη δ' ἐν μέσοις τοῖς κύμασι μέλαν ὑδάτων ἐπανάστημα θεμένη, καὶ περιῤῥαγὲν τὸ ὑγρὸν βαπτισθεῖσαν καλύπτει τὴν κεφαλήν. Ὁ δ' Ἑωσφόρος ζοφώδης καὶ οἷον οὐκ ἂν ἠδυνήθης γνωρίσαι τὴν νύκτα ἐκείνην γέγονε, καὶ, ἐπειδὴ ἐξελθεῖν οὐκ ἐξῆν ἐκ τοῦ οὐρανοῦ (1), συννεφέσι νεφέλαις πρόσωπον περιέπτυξεν.

Ἡ δ' Αἰολὶς, τὸ μελὰ τοῦτο (2), τῶν τοσούτων κακῶν ἀγνὼς οὖσα, τάς τε νύκτας διαριθμεῖται, καὶ νῦν μὲν, ἃς ἂν ἐκεῖνος ἐνδύσηται, ἐπισπεύδει ἐσθῆτας, νῦν δ' ἃς ἂν, ἐλθόντος ἐκείνου, αὐτὴ ἐκπονήσηται (3)· καὶ ὑποστρωφᾷ ἑαυτῇ τἀνδρὸς κενὴν ὑπι-

tic. Cantic., in Meursii Opp. t. VIII, pag. 304 : Τούτων γὰρ πάντων τῶν μερῶν καὶ τῶν μελῶν τὸ κάλλος Θέλων τῆς νύμφης ἐπαινεῖν ὁ Χερσίδης. Idem rursus p. 320: Ἐπὶ γὰρ πάντων κεφαλὴ Χερσίδος πυγχάνει μόνος, Σῶμα δὲ πόντου πέφυκεν ἡ θεία ἐκκλησία, Καὶ μέλη πόντο λέγομεν καὶ μέρη τοὺς Ἁγίους. Tzetzes in Iliad. p. 123 : οἱ γὰρ Αἰθίοπες στοιχεῖα γεγραμμάτων οὐκ ἔχουσιν, ἀλλ' ἀντ' αὐτῶν ζῶα ποικίλα, καὶ μέλη τούτων καὶ μόρια.

(1) Cod. εἰς τὸν οὐρανὸν, absque sensu. Forsan etiam, ἐκ τῶν οὐρανῶν.

(2) Lat. « interea. » Velim μεταξύ. Statim cod. ἀγνοὸς, male disjunctis, calami lapsu, duobus τοῦ ω particulis.

(3) Latinum *gerat* pro *faciat* habuit, pessime. Repone, αὐτὴ

σχνεῖται. Ἤφερεν μὲν οὖν αὕτη τοῖς θεοῖς πᾶσιν εὐσεβῆ θύμαλα, πρὸ δὲ πάντων τὸ τῆς Ἥρας ἠγάλλεν ἱερὸν, καὶ ὑπὲρ τοῦ ἀνδρὸς, ὃς οὐδεὶς ἦν, ἦει πρὸς τοὺς βωμοὺς, καὶ σῶν τε διαγίνεσθαι τὸν ἑαυτοῦ ἄνδρα καὶ ἐπανήκειν πρόσπυχέτο, καὶ μηδεμίαν ἄλλην αὐτῆς πρόλιμῆσαι. Τῇ δὲ τοῦτο ἐκ τῶν τοσούτων εὐχῶν συμβῆναι ἠδύνατο μόνον (1).

Ἀλλ' ἡ θεὸς οὐκέτι πλέον ὑπὲρ τοῦ κεχρημένου θανάτῳ παρακαλεῖσθαι ἀνέχεται. Ὡς ἂν δὲ τὰς οὐ καθαρὰς ὑπὲρ τοῦ τεθνεῶτος χεῖρας τῶν ἑαυτῆς ἀπείργῃ βωμῶν, « Ἶρις » φησὶ, « τῶν ἐμῶν φωνῶν » ἄγγελε πιστοτάτη, ἐπίσκεψαι τὴν κωμαοδότει- » σαν (2) τοῦ Ὕπνου, τάχος ὅσον, αὐλήν, καὶ κέ- » λευε τοῦ ἀπεσβηκότος εἰς τύπον Κήϋκος πρὸς τὴν » Ἀλκυόνην ὄνειρον πέμπειν, τὴν τύχην τοῦ ἀνδρὸς » ἀπαγγέλλοντα. » Εἶπε· καὶ ἡ Ἶρις μυριόχροα ἐνδύματα περιτίθεται, καὶ, τὸν οὐρανὸν τοξοειδεῖ καμπῇ διαγράψασα, εἶσι πρὸς τὴν νέφεσι κρυπτομένην οἰκίαν τοῦ βασιλέως Ὕπνου.

Ἔστι δ' ἐγγύθι τῶν Κιμμερίων, μακρὰν ἀνακεχωρηκὸς σπήλαιον, κοῖλον ὄρος, οἶκοι καὶ θάλαμοι τοῦ νωθροτάτου Ὕπνου, ἔνθα οὐκ ἔστιν ὅτε ἀνίσχων, ἢ μεσουρανῶν, ἢ δυόμενος, ἥλιος ταῖς ἀκτῖσιν εἰσπεσεῖν οἷός τε γίνεται· ζόφῳ δὲ συμμιγὴς ὁμίχλη ἀναπέμπεται γῆθεν, καὶ ἀμφίβολον φῶς ἀμφιλύκη. Οὐκ ἀγρυ-

φορέσιν: « vestes quas ipsa *gerat*. »

(1) Addidi μόνον.

(2) Cod. κωμοδότησεν, et e correctione κωμαοδ. Potuissem et priorem lectionem servare, ni timuissem ne quis a τῷ κώμος repeteret vocis originem. Nam sic decurtata fiunt nomina, σπερμολόγος pro σπερμαολόγος, αἱμοπότης pro αἱμαοπότης, alia. Rem tetigi in Notit. MSS. t. X, part. II, pag. 187.

πνος ὄρνις ταῖς ᾠδαῖς τῆς εὐλόφου κεφαλῆς περκαλεῖται τὴν Ἕω, οὐδὲ φωνῇ τὴν σιωπὴν λύουσιν ἡ τρομηθεῖς κύνες ἢ τῶν κυνῶν ἀγχινούστεροι χῆνες (1). Οὐ θῆρες, οὐ θρέμματα, οὐ κινούμενοι πνεύμασι κλάδοι, οὐδ' ὁμιλίαι γλώσσης ἀνθρωπίνης ἦχον ἀποδιδάσιν· ἠρεμία δ' ἄφωνος καθοικεῖ. Ἐκ πέτρας γε μὴν κάτωθεν ἔξεισι ῥεῦμα τοῦ Λήθης ὕδατος, ἔνθα σὺν ψιθυρισμῷ τὸ ὕδωρ διολισθαῖνον τῇ τῶν καχλήκων σμαραγῇ περκαλεῖται τοὺς ὕπνους. Περὶ δέ γε τῆς εἰσόδου τοῦ ἄντρου πολυφόροι θάλλουσι μήκωνες καὶ ἀναρίθμητόν τι βοτανῶν εἶδος, ὧν ἐκ τοῦ ὑγροῦ κῶμα ἡ ὑγρὰ Νὺξ συλλέγει καὶ διὰ πάσης τῆς γῆς βαίνει κατὰ τὸ σκότος. Θύρα δὲ, ἵνα μὴ στρεφομένου τοῦ στρόφιγγος τετριγὼς (2) ἦχος ἀποδιδοῖτο, οὐδεμία κατὰ πᾶσαν ἔστι τὴν οἰκίαν, καὶ ἐπὶ τοῦ οὐδοῦ φύλαξ οὐδ' ὁστισοῦν. Ἐν δὲ μέσῳ τῷ ἄντρῳ στρωμνὴ πίερωτὴ κεῖται ἐβένῳ μελέως, ἑνὸς ἅπασα χρώματος καὶ μέλανι σκεπάσματι σκεπομένη, ἧχίπερ αὐτὸς ὁ Θεὸς κεῖται παρειμένος τὰ μέλη νωθρότητι. Περὶ δὲ τοῦτον πανταχῆ ποικίλας μιμούμενοι μορφὰς Ὄνειροι πολλοὶ κεῖνται, καὶ τοσοῦτοι ὅσους ἀθέρας τὸ λήϊον καὶ κλῶνας ἡ λόχμη φέρει, καὶ ὅσην ἀποπλύει ψάμμον ἡ θάλαττα. Ἔνθαπερ αὐτίκα τε ἡ παρθένος εἰσῆλθε, καὶ χερσὶ τοὺς ἀνθεστηκότας Ὀνείρους διώσατο, καὶ τῇ λαμπρότητι τῆς ἐσθῆτος ὁ ἱερὸς οἶκος ἀπέστεγνε, τοὺς δ' ὀφθαλμοὺς ὁ θεὸς νωθρῷ κειμένους βαρύτητι μόλις αἴρων,

» τὸ τοῦ Πειρίθου δόρυ ταῖς πλευραῖς ἐμπεσὸν,
» ἐκείνου τὸ σφέρνον τῷ ξύλῳ περσπαλαῖον συνδια-
» πείρει. Τοῦ Πειρίθου τῇ ῥώμῃ καὶ τὸν Λάπον πε-
» πωκέναι ἔφασκον, τοῦ Πειρίθου τῇ γνώμῃ (3) καὶ
» Χρόμιον. Ἀλλ' ἑκάτερος ἔλαττον τῷ νικήσῃ τὸ
» ἐπίγραμμα ἢ Δίκτυς τε καὶ Ἕλωρ δεδώκασι·
» διαπαρεὶς μὲν ὁ Ἕλωρ τῷ δόρατι, ὃ δόδυν διὰ
» τῶν χρυσάφων εἰργάσατο, καὶ βληθὲν ἐκ τοῦ δε-
» ξιοῦ τὸ εὐώνυμον οὖς ἀνέλόρησεν· ὁ δὲ Δίκτυς ἐκ
» κορυφῆς ἐπιχρήμνου κατολισθαίνων λόφου, κατ' πε-

(1) In latinis *Phorbas* vocatur.

(2) Cod. φησι συσκεκραμένον συφησιν οἶνον πίη.

(3) Forte scripsit ῥώμῃ bis; nam bis Ovidius in codicibus nonnullis *virtute*. Et permutari vocabula ῥώμη et γνώμη ostendent notæ interpretum ad Herodot. libr. I, cap. 31.

» ριδεὴς ἐπικείμενον τὸν Ἰξίονος παῖδα φεύγων,
» κατεκρημνίσθη, καὶ τῷ βάρει τοῦ σώματος ὑπερ-
» μεγέθη βουμελίαν (1) διέκλασε, καὶ τοῖς οἰκείοις
» σπλάγχνοις διακλασθεῖσαν ἐνέδυσεν. Ἀμύνων
» τοίνυν πάρεστιν ὁ Φηρεὺς (2), καὶ λίθον ἐξ ὄρους
» ἀποσπασθέντα πειρᾶται βάλλειν· βάλλοντα δὲ
» δρυΐνῳ στελέχει ὁ Αἰγείδης περικαταλαμβάνει,
» καὶ τὰ μεγάλα τοῦ πήχεος ὀστᾶ διαθλάττει·
» περαιτέρω μέντοι θανάτῳ δοῦναι τὸ ἀνόητον σῶμα
» ἢ οὐ σχολάζει, ἢ οὐ φροντίζει· τοῖς δὲ τοῦ ὑψη-
» λοῦ Βιάνορος νώτοις ἐφάλλεται, οὐδένα τῶν ἁπάν-
» των εἰωθόσι φέρειν πλὴν ἑαυτοῦ, καὶ γόνατα
» ταῖς πλευραῖς ἐπιτέθεικε, καὶ, τῇ λαιᾷ τῆς
» χαίτης δραξάμενος καὶ κατέχων, τό,τε πρόσω-
» πον ἐκείνου καὶ τὸ στόμα τὸ ἀπειλοῦν, καὶ τοὺς
» ἀπεσκληκότας κροτάφους, ὄζους ἔχοντι ξύλῳ συ-
» νέθλασε. Ξύλῳ καὶ Νήδυμον (3) καὶ τὸν ἀκοντιστὴν
» Λυκώτην κατέστρωσε, καὶ τὸν καθειμένῳ πώγωνι
» τὰ στέρνα σκεπόμενον Ἵππασον, καὶ Ῥιπέα τὸν
» ὑπερανέχοντα καὶ λόχμης αὐτῆς, καὶ Τηρέα
» μέντοι, ὃς, ἐν τοῖς Αἱμονίοις ὄρεσιν ἄρκτους θη-
» ρεύων, οἴκαδε φέρειν ζώσας καὶ ἀπαξιούσας εἰώθει.
» Οὔκουν ἤνεγκε περαιτέρω Δημολέων δὴ τὸν Θησέα
» τοῖς τῆς μάχης εὐτυχήμασι χρώμενον, καὶ ἐκ
» γῆς στερεᾶς πολυετῆ πεύκην ἀνασπᾶν σὺν μεγάλῳ
» πειρᾶται τῷ ἐγχειρήματι· ὅπερ ἐπεὶ μὴ δεδύνη-

(1) Lacunam codicis implevi voce βουμελίαν inserta. In latinis *ornum*. Jam supra, pag. 426, supplenda fuit in eodem nomine lacuna. Arborum nomina latina quibus essent græcis vertenda Planudes noster sæpicule nescivit.

(2) Ovidio dicitur *Aphareus*.

(3) *Nedymnus* Poetæ dicitur.

» ται, διακλασθεῖσαν πέμπει κατὰ τοῦ πολεμίου.
» Ἀλλὰ πόῤῥω τοῦ βέλους ἐπιόντος ὁ Θησεὺς ἀνεχώ-
» ρησεν ὑποθήκῃ τῇ τῆς Παλλάδος· οὕτω γὰρ αὐτὸς
» ἤθελε τοῦτο πιστεύεσθαι (1). Ἀλλ' οὐκ ἀργὸν
» ὅμως τὸ δένδρον πέπτωκε· καὶ γὰρ τῇ βολῇ τὸ
» τοῦ ὑψηλοῦ Κράντορος στέρνον καὶ τὸν εὐώνυμον
» ὦμον ἀπέθρισεν. Ὁπλοφόρος ἐκεῖνος τοῦ σοῦ πα-
» τρὸς γέγονεν, Ἀχιλλεῦ· ὃν ὁ τῶν Δολόπων βασι-
» λεὺς Ἀμύντωρ, καταπολεμηθεὶς, τῷ Αἰακίδῃ
» δεδώρηται πίστιν καὶ τῆς εἰρήνης ἐχέγγυον. Τοῦτον
» πόῤῥωθεν ὁ Πηλεὺς ἰδὼν αἰσχίστῳ διεῤῥιμμένον
» τραύματι, Καὶ (2) ἐναγίσματα, χαριέστατε νεω-
» τέρων, Κράντορ, εἴρηκε, δέξαι. Καὶ ἐῤῥωμένῃ
» χειρὶ κατὰ Δημολέοντος καὶ ψυχῆς παντὶ σθένει
» τὸ μείλινον ἔγχος ἀφῆκεν, ὃ τὴν τῶν πλευρῶν
» ἐσχάραν διέῤῥηξε, καὶ, τοῖς ὀστοῖς συσχεθὲν διε-
» τρώμαξεν. Ὁ δὲ Δημολέων τῇ χειρὶ δίχα τῆς
» αἰχμῆς τὸ ξύλον ἀνέσπασε, καὶ τοῦτο δὴ μόλις
» ἐπηκολούθησεν· ἡ δ' αἰχμὴ τῷ πνεύμονι ἐνεσχέθη.
» Ἰσχὺν μὲν οὖν αὐτοῦ τὸ ἄλγος παρείχετο τῇ
» ψυχῇ· ἀσθενὴς δ' ὅμως ἐπανίσταται τῷ ἐχθρῷ
» καὶ τοῖς ἱππείοις ποσὶ συμπατεῖ δὴ τὸν ἄνδρα.
» Ὁ δὲ τὰς πληγὰς συμψοφούσας τῷ κράνει δέ-
» χεται καὶ τῷ σάκει, καὶ, βοηθῶν τοῖς ὤμοις προ-
» βεβλημένα ὑπανέχει τὰ ὅπλα, καὶ διὰ τῶν
» πλευρῶν δύο στέρνα μὲν μιᾷ βολῇ διαπείρει. Πρό-
» τερον μέντοι τῷ θανάτῳ τόν τε Φλεγραῖον καὶ

(1) In bono illo triseclisene Nestore amo facetæ illud ironiæ acumen.

(2) Ovidius : « *at* inferias... » Planudes legit *et*, minus bene. Repone, ἀλλ'.

» Ὕλην (1) παρέδωκε, πόῤῥω δὲ μάχης συῤῥαγείσης
» Ἰφίνουν τε καὶ Δάμην· τούτοις Δορύλας προστί-
» θεται, ὃς λυκῇ τοὺς κροτάφους ἔφερε σκεπομέ-
» νους, καὶ δεινῶν ὅπλων παρεχόμενα χρείαν ἀντί-
» τυπα κέρα βοῶν, παμπολλῷ φοινισσόμενα
» λύθρῳ. Τούτῳ τοίνυν ἐγὼ (καὶ γὰρ ἡ ψυχὴ προθυ-
» μίαν ἐδίδου), Ὅρα νῦν, εἶπον, ὅσον ἂν εἴκοι τὰ
» σὰ κέρα τῷ ἡμετέρῳ σιδήρῳ· καὶ τὸ δόρυ συνέ-
» στρεψα· ὅπερ ἐκεῖνος οὐχ οἷός τ' ὢν φυλάξασθαι,
» τῷ μετώπῳ πληγήσεσθαι μέλλοντι τὴν δέξιαν ἐπι-
» τέθεικε, καὶ τῷ μετώπῳ ἡ χεὶρ συνεμπείρεται.
» Γίνεται δ' αὐτίκα κραυγή· κἀκεῖνον ὁ Πηλεὺς δια-
» πεπαρμένον, καὶ τῷ ὀξεῖ καταπονούμενον τραύ-
» ματι (καὶ γὰρ ἐγγύτερον ἵστατο) ξίφει κατὰ μέσην
» τὴν νηδὺν πλήττει. Ὁ δ' ἀνεπήδησε καὶ ἐπὶ γῆς
» ἀγρίως τὰ οἰκεῖα σπλάγχνα διείλκυσε, καὶ διελ-
» κύσας συνεπάτησε, καὶ συμπατήσας διέῤῥηξε, κἀ-
» κείνοις καὶ τὰ σκέλη δὴ συνεπόδισε, καὶ κενὸς τὴν
» γαστέρα κατέπεσεν.

» Ἀλλὰ γὰρ οὐδέ σε μαχόμενον, Κύλλαρε (2), τὸ
» σαυτοῦ ἐξωνήσατο κάλλος, εἴπερ ἄρα τὸ ἐκ φύ-
» σεως κάλλος συγχωροῖμεν ἐκείνῳ. Ἴουλος μὲν ἀρ-
» χόμενος ἦν ἐν ἐκείνῳ, τῷ δὲ ἰούλῳ τὸ χρῶμα χρυ-
» σοῦν· καὶ χρυσῆ ἐξ ὤμων κόμη εἰς μέσους ἀπῃώρητο
» τοὺς ὤμους· χάριεν ἐπὶ τοῦ στόματος ἄνθος· τρά-
» χηλός τε καὶ ὦμοι καὶ χεῖρες καὶ στέρνα ἐγγύτατα

(1) Codex, εἴλην. Mox non *Damen*, sed *Clanin*, habet Poeta. Et statim codex δ' ὁρίλας.

(2) In codice hoc nomen ubique per iota scriptum legitur. Melior est scriptura per hypsilon. Castoris equus a Suida et Etymologo M. Κύλλαρος vocatur.

» τοῖς ἐπαινέτοις τῶν ἀγαλματουργῶν ἀνδριάσιν (1),
» ὅθεν δή ποτε ἀνὴρ ἦν· ἀλλ' οὐδὲ ῥυπῶσα ἡ ὑπ'
» ἐκεῖνον ἦν ὄψις τοῦ ἵππου, καὶ τοῦ ἀνδρὸς φαυ-
» λοτέρα. Δὸς αὐχένα μόνον ἐκείνῳ καὶ κεφαλὴν, καὶ
» τοῦ Κάστορος ἄξιος ἔσται· οὕτως ἦν τὰ νῶτα εὐ-
» κάθεδρος, οὕτως ἦν τὰ στέρνα μετέωρος. Καὶ πίττης
» κελαινῆς ὅλος μελάντερος· λευκὴ μέντοι ἦν ἡ
» οὐρὰ, καὶ τοῖς σκέλεσιν ὡσαύτως λευκὸν τὸ χρῶμα
» προσῆν. Πολλαὶ μὲν τῆς αὐτοῦ γενεᾶς ἐκεῖνον ἐζή-
» τησαν· μία δ' οὖν εἷλεν Ὑλονόμη, ἧς οὐκ ἔστιν
» ἥτις ἐκπρεπεστέρα ἐν τοῖς ἡμίθηρσι θήλεια τὰς
» βαθείας ᾤκησε λόχμας. Αὕτη μειλίγμασί τε καὶ
» ἔρωτι, καὶ τῷ τὸν ἔρωτα διομολογεῖν κατέσχε τὸν
» Κύλλαρον. Ἐπιμέλειά γε μὴν, πόση τις ἐν ἐκείνοις
» εἶχεν εἶναι τοῖς μέλεσιν, ὡς ἂν ἡ μὲν κόμη κτενὶ
» διωμαλισμένη τυγχάνοι, ὡς ἂν νῦν μὲν δένδρῳ
» λιβάνῳ (2), νῦν δὲ ἴοις ἢ ῥόδοις ἐμπλέκοιτο, ἔστι
» δ' ὅτε καὶ λευκὰ κρίνα φέροι, καὶ δὶς τῆς (3) ἡμέρας
» ἐν ταῖς κατολισθανούσαις πηγαῖς τοῦ Παγασαίου
» δρυμοῦ νίπτοι τὸ πρόσωπον, καὶ δὶς ἐν ποταμῷ τέγ-
» γοι τὸ σῶμα· ἀλλ' οὐδ', εἰ μὴ προσείη αὐτῇ δέρμα-
» τα πρέποντα καὶ θηρῶν ἐπιλέκτων, ἤτοι τοῖς ὤμοις ἢ
» τῇ λαιᾷ πλευρᾷ ἐνήψατο ἄν. Ἴσος ἔρως ἐκείνοις ἦν,
» κἂν τοῖς ὄρεσι δὴ περινοστοῦσιν ὁμοῦ, καὶ ἄντρα (4)

(1) De hac pulcrorum corporum cum statuis comparatione non semel me agere memini: verbi gr. ad Manassis Fragm. post Nicetam p. 427. Cf. Blomfield. Gloss. ad Agamemn. 233.

(2) Latinum *rore maris* sic non improprie vertit. Glossæ Botanicæ in codice Suffieldiano, quas mecum Barkerus vir doctiss. benignissime communicavit: Λιβανότης (leg. Λιβανωτὶς) τὸ δενδρολίβανον. Est λιβανωτὶς ros marinus. Scribi velim δενδρολιβάνῳ.

(3) Codex, καὶ δὴ τῆς.

(4) Cod. ὅπλα. Lat. *antra*.

» κατὰ ταυτὸν ὑποδύουσι. Καὶ πρὸς τοὺς Λαπιθείους
» οἴκους εἰσελθόντες ὁμοῦ, καὶ τὸν ἄγριον συνέφερον
» πόλεμον. Ὁ μὲν οὖν αὐτόχειρ τοῦ τραύματος ἐν
» ἀδήλοις ἦν· δόρυ γε μὴν ἐξ ἀριστερῶν ἦλθε, καὶ
» κατωτέρω, οὗ τῇ δειρῇ τὰ στέρνα ὑπόκειται, δια-
» πείρει σε, Κύλλαρε. Ἡ δὲ καρδία, καί τοι βρα-
» χεῖ πληγεῖσα τῷ τραύματι, μετὰ τὴν τοῦ βέλους
» ἐξαγωγὴν, ὅλῳ συγκατεψύχθη τῷ σώματι. Αὐτίκα
» δ' ἡ Ὑλονόμη τὰ θνήσκοντα ὑποδέχεται μέλη,
» καὶ, ἐπιθεῖσα τὴν χεῖρα, περιθάλπει τὸ τραῦμα,
» καὶ τὸ στόμα προσάγει τῷ στόματι, καὶ πειρᾶται
» τῇ ψυχῇ φευγούσῃ ἀνθίστασθαι. Ὡς δ' εἶδεν ἀπε-
» σβηκότα, ῥήματά τινα φαμένη, ἅπερ ὁ θόρυβος
» πρὸς τὰς ἐμὰς ἀκοὰς ἀπεῖρξεν ἐλθεῖν, ἐπιπίπτει
» τῷ δόρατι, ὅπερ ἐκείνῳ πρότερον ἐνεσχέθη, καὶ
» δὴ καὶ θνήσκουσα τὸν ἑαυτῆς περιέβαλεν ἄνδρα.
» Ἔστι μοι πρὸ ὀφθαλμῶν κἀκεῖνος ὁ φοβερὰς λεον-
» τᾶς ἀλλήλαις συῤῥάπτων τε καὶ συνδῶν Φαιοκόμης,
» καὶ τόν τε ἄνθρωπον περισκέπων ὁμοῦ καὶ τὸν ἵπ-
» πον· ὃς, λίθον (1) ἀφεὶς, ὃν μόλις ἂν δύο ζεύγη ἐκί-
» νησαν, σὲ τὸν Φονοληνείδην (2) ἐξ ἄκρας τῆς κορυφῆς
» συγκατέθλασε. Τοῦ δὲ τῆς κεφαλῆς σφαιρώματος
» συνθλασθέντος, διά τε τοῦ στόματος καὶ τῶν κοίλων
» μυκτήρων, ὀφθαλμῶν τε καὶ ὤτων, ὁ μαλθακὸς

(1) In latinis *codice* : non λίθον igitur, sed κορμὸν, vel στέλεχος.

(2) Ovidius editus : « quem » vix juga bina moverent Juncta, » *Phonoleniden* a summo vertice » fregit. » Merito metuebat Heinsius ne esset hoc nomen corruptum. Ita enim ejus originem et syllabarum quantitatem vix intelligo quæ sint et esse debeant. Planudes invenit, *Te, Phonolenides*, quod et ex aliis libris notatum est, recipique secure potuit : jam vox est bene græca, et syllabarum recta mensura.

» ἐγκέφαλος ῥεῖ, ὥσπερ που καὶ γάλα ἐκ δρυΐνου
» πλέγματος ῥεῖν εἴωθεν, εἴ τ' οὖν ὑγρὸν ἕτερον ἐξ
» ἀραιοῦ κοσκίνου καταλείβεται βρίθον, καὶ συνεχὲς
» διὰ λεπτῶν τῶν τρυπημάτων ἐκφέρεται. Ἐγὼ δ'
» ἐπειδήπερ ἐν παρασκευαῖς οὗτος ἦν περιδῦσαι
» τὰ ὅπλα τὸν κείμενον (ἐπίσταται καὶ ὁ σὸς πα-
» τὴρ τοῦτο), τὸ ξίφος ἐνδοτάτω τῶν ἐγκάτων
» τοῦ σκυλεύοντος ἐνῆκα. Καὶ Χθόνιος δὲ καὶ Τη-
» λεβόας τῷ ἐμῷ πίπτουσι ξίφει· ὧν ὁ μὲν κλῶνα
» διφυῆ ἔφερεν, ὁ δ' ἀκόντιον. Καί μοι τῷ ἀκοντίῳ
» πληγὴν ἐνειργάσατο· ὁρᾷς καὶ αὐτὸς τὰ σημεῖα·
» καὶ γὰρ ἔτι τὰ τῆς παλαιᾶς ἐκείνης οὐλῆς φαί-
» νεται. Τότε ἔγωγε ὤφειλον ἐπὶ τὰ Πέργαμα, ὡς
» ἂν ἁλῷ, πέμπεσθαι· τότε εἶχον αὐτὸς ἐνταυθοῖ
» μένειν, εἴγε μὴ τὰ τοῦ μεγάλου Ἕκτορος ὅπλα
» τῶν ἐμῶν εἶχεν ἡττᾶσθαι (1). Ἀλλ', ἐκεῖνον τὸν
» χρόνον, ἢ οὔπω, ἢ παῖς ἦν Ἕκτωρ ἔτι· νῦν δέ με
» ἡ ἀκμὴ ἐγκατέλιπε. Τί ἄν σοι τὸν κεκρατηκότα
» Περίφαντα τοῦ διφυοῦς Πυρήτου, τί τὸν Ἄμπυκα
» διηγείμην; ὃς ἐν ἀντιμετώπῳ τῷ προσώπῳ τοῦ
» τετράποδος Ὀΐκλου ἀσίδηρον κέρας (2) ἐνέπηξε.
» Μοχλῷ δ' ὁ Πελεθρόνιος (3) Μακαρεὺς βαρεῖαν
» τῷ στήθει κατενεγκὼν κατέστρωσε τὸν Ἐρίγδουπον.
» Μέμνημαι καὶ τὸν ἐμὸν σίγυννον ὑπὸ τὸν βουβῶνα

(1) Errat hic a sensu interpres. *Morari* non est *manere*, sed *retardare* arma Hectoris. Repone servatis servandis: τότε εἶχον αὐτὸς τὰ τοῦ μεγ. Ἕκτ. ὅπλα, εἴ γε μὴ ἡττᾶν, ἀλλά γε δηθύνειν.

(2) *Cornum* non κέρας poscebat, sed κρανέαν: cf. p. 303.

(3) Codex, πλεθρόνιος. Ceterum in hoc nominativo codicem est suum secutus. Statim latini libri, quos vidi, consentiunt in *Erygdupum*, sine idonea causa. Contrario vitio infra *Stiphelum* vocant qui *Styphelus* erat dicendus.

» κρυβέντα τοῦ Νεσσαίου (1) Κυμήλου. Ἀλλὰ γὰρ
» οὐκ ἂν πιστεύσειας τὸν Ἀμπυκίδην μόνον τεθεσπι-
» κέναι τὰ μέλλοντα· τῷ γαρ Μόψῳ ἀκοντίζοντι
» ὁ διφυὴς Ὀδίτης ἐπέπεσε (2)· καὶ δὴ μάτην ἐπει-
» ρᾶτο λαλεῖν, τῆς μὲν γλώττης ἐπὶ τὴν γένυν,
» τῆς δὲ γένυος τῷ λαιμῷ προσπαγείσης. Πέντε μὲν
» τῷ θανάτῳ παρέδωκεν ὁ Καινεὺς, Στύφελόν τε καὶ
» Βρόμιον, καὶ Ἀντίμαχον καὶ Ἔλυμον, καὶ τὸν πε-
» λεκυφόρον δὴ Πύραμον (3), ὧν τὰς μὲν πληγὰς
» ἥκιστα διαμνημονεύω, τὸν δ' ἀριθμὸν ἐσημειω-
» σάμην καὶ τὰ ὀνόματα. Ἐφίπταται δὲ καθωπλι-
» σμένος τοῖς τοῦ Ἡμαθίου Ἀλαίσου σκυλεύμασιν,
» ὃν τῷ θανάτῳ παρέδωκεν, ὁ καὶ τῷ σώματι καὶ
» τοῖς μέλεσι μέγιστος Λατρεύς· ὥπερ ἡλικία μὲν
» ἦν ἐν μεταιχμίῳ νέου καὶ γέροντος, ῥώμη δέ γε
» νεωτερίζουσα· καὶ πολιαὶ διεποίκιλλον τοὺς κρο-
» τάφους. Οὗτος ἀσπίδι καὶ ξίφει καὶ Μακεδονικῇ
» σαρίσσῃ (4) περίβλεπτος ἦν, καὶ τὸ πρόσωπον ἐφ'
» ἑκάτερον στρέψας τὸν ὅμιλον, τά τε ὅπλα συνε-
» πάταξε, καὶ εἰς σαφῆ κύκλον ἱππάσατο, καὶ
» ῥήματα τοσάδε μεγαλαυχούμενος εἰς τὸ κενὸν

(1) Erravit a latinorum sensu, quem hunc esse opinor : μέμνημαι καὶ σίγυννον, πρὸς τῶν τοῦ Νεσσαίου χειρῶν βληθένθα, ὑπὸ τὸν τοῦ Κυμήλου βουβῶνα κρυβῆναι.

(2) Ovidius : « Mopso jaculante occubuit. « Sensum prorsus nescivit interpres, hunc nempe : Μόψου γὰρ ἀκοντίζοντος ὁ διφυὴς Ὀδίτης ἔπεσε.

(3) Debuit scribere Πύρακμον.

(4) De sarissa macedonica poterunt videri Crophius in Antiqq. Mac. III, c. 4 ; Wessel. ad Diodor. Sic. XVII, c. 57. Arrianus, Polybius, Quintus Curtius, res macedonicas tractantes, hac voce sæpius sunt usi : cf. Snakenburgii Curtianus index. Alciphroni III, 36, σαρίσσας pro σισάρας recte dedit Berglerus. Adde Philostr. Epist. 43, collata nota ad Aristænet. p. 629 meæ editionis.

» τοῦ ἀέρος ἐξέχεε. Καί σε, Καινὶ (1), πλήξω· καὶ
» γὰρ ἀεί μοι γυνὴ σὺ, ἀεί μοι σὺ Καινὶς ἔσῃ· ἀλλ'
» οὐδὲ ἡ ἐκ γενέτης σε νενουθέτηκε φύσις, οὐδ'
» ἐπέρχεταί σου τῷ λογισμῷ τίνι δή ποτε πρόφασι
» τοῦτο τὸ γέρας ἔχεις, καὶ τίνι μισθῷ πρὸς ἀν-
» δρὸς ὄφιν ψευδῆ διαπλάττῃ. Ἢ τί ποτε γεγέ-
» νησαι βλέπε, ἢ τί πέπονθας. Ἡλακάτης ἅμα
» ταλάσεις ἐπιλαβοῦ, καὶ νῆμα τοῖς δακτύλοις
» διάκλωθε, τοὺς δὲ πολέμους τοῖς ἀνδράσιν ἀπό-
» λιπε. Τοιαῦτα θρασυνομένῳ Καινεὺς ἀπολέμη-
» μένην τὴν πλευρὰν διήνοιξε, τὸ δόρυ ἀφεὶς, ᾧπερ ὁ
» ἀνὴρ τῷ ἵππῳ ξυμβέβληκο· ὁ δ' ἀλγήσας ἐκμαί-
» νεται, καὶ τὸ τοῦ Φυλλείου νεανίου πρόσωπον
» γυμνὸν ὂν τῇ σαρίσσῃ πλήττει. Οὔκουν ἑτέρως
» αὕτη γε ἀνεπήδησεν ἢ ἐξ ὑπηλοῦ τέγους χάλαζα,
» ἢ εἴ τις βαρχεῖ λιθιδίῳ κοῖλον παλάξειε τύμπα-
» νον. Ἐγκύρῳ γοῦν προέσει, καὶ ἐς τὴν ἀπό-
» κροτον τούτου πλευρὰν ἀπομάχεται καθεῖναι τὸ
» ξίφος· ὁ δὲ τόπος ἐκεῖνος τῷ ξίφει διοδεύσιμος ἦν
» οὐδαμῶς. Ἀλλ' οὐκ ἐκφεύξῃ μέντοι, φησί· τῷ
» μέσῳ δὲ σώματι (2) τοῦ ξίφους διεργασθήσῃ,
» ἐπειδήπερ ἀμβλύτερα τὰ τῆς ἀκωκῆς ἐστίν.
» Εἶπε, καὶ ἐπὶ τὴν πλευρὰν αὐτοῦ πλαγιάζει τὸ
» ξίφος, καὶ διαλαμβάνει τῇ μακρᾷ χειρὶ τὴν ἰσχὺν
» αὐτοῦ (3), καὶ ἐπὶ τοῦ σώματος ἡ πληγὴ σίδηρον
» ἐποίησεν ὥσπερ δὴ μαρμάρου πληγέντος, καὶ τῆς
» κώπης ὁ σίδηρος διαθρυσθεὶς ἀπεπήδησεν. Ἐπεὶ

(1) In codice, καὶ σὺ καινίς. Eugeniani Narrationem, p. 282.
(2) Σῶμα ξίφους poterit abunde illustrari ex nota ad Nicetæ et modo.
(3) Codex exhibet ἑαυτοῦ, ut

» δ' ἄλις ἐκείνῳ θαυμάζειν τὰ ἀτρῶτα παρέσχε
» μέλη, Νῦν ἄγε, εἶπεν ὁ Καινεὺς, τῷ ἡμετέρῳ
» σιδήρῳ καὶ τοῦ σοῦ (1) σώματος πειρασθῶμεν· καὶ
» μέχρι τῆς λαβῆς τὸ θανατηφόρον ξίφος ἐπὶ τὰς
» ἐκείνου καθῆκε πλευρὰς, καὶ ἐν τῷ σκότει τῶν
» σπλάγχνων τυφλὴν τὴν χεῖρα ἐκίνησε καὶ συνέ-
» σῖρεψε, καὶ ἐπὶ τῷ τραύματι τραῦμα εἰργάσατο.
» Ἰδοὺ δὲ καὶ οἱ δίφυεῖς ἀγωνιῶντες ὑπερφυεῖ συρ-
» ῥέουσι (2) τῇ βοῇ, καὶ βέλη τούτῳ πάντες ἐπα-
» φιᾶσι καὶ βάλλουσι, καὶ τὰ βέλη ἀνταναπεμ-
» πόμενα πίπτει, καὶ ἄτρωτος ἐκ πάσης μένει
» βολῆς ὁ Ἐλάτειος Καινεὺς καὶ ἀνάλμαχτος. Ἐμ-
» βεβριθότους δὲ τοὺς Κενταύρους ἐποίησεν ἡ καινότης
» τοῦ πράγματος. Ἐξ ὧν ὁ ὑπερμεγέθης Μώνυχος,
» Φεῦ τῆς αἰσχύνης! ἀνέκραγεν· εἰ δῆμος ὅλος ἑνὸς
» ἡττώμεθα καὶ μόλις ἀνδρός· εἰ καὶ ἀνὴρ οὗτός
» ἐστιν (3)· ἡμεῖς δὲ ἄρα τοῖς νωθροῖς ἡμῶν ἔργοις,
» ὅπερ οὗτος ἦν πολὺ, νῦν ἐσμέν. Τί δὲ δήποτε τὰ
» ὑπερφυῆ μέλη ὀνίνησι; τί ἡ δίτλη ῥώμη; καὶ ὅτου
» χάριν ἡ πάντων δρασιλικωτάτη φύσις ἐν ἡμῖν δίτλα
» ζῶα συνήγαγεν; Οὔτ' οὖν μηδὲς ἡμᾶς θεᾶς,
» οὔτε τοῦ Ἰξίονος παῖδας εἶναι λογίζομαι, ὃς το-
» σοῦτός τις ἦν ὡς καὶ τῆς ὑψηλοτάτης Ἥρας
» ἐλπίδας λαβεῖν· ἡμεῖς δ' ὑφ' ἡμιάρρενος ἐχθρῷ
» καταπολεμούμεθα. Λίθους δὴ οὖν καὶ δόκους καὶ ὅλα
» τούτῳ ὄρη ἐπικυλίσατε, καὶ τὴν ἰταμωτάτην (4)

(1) Inserui σοῦ : lat. « *tua* corpora ferro Tentemus. »

(2) Codex, ὑπερφυεῖς συρέουσι, male geminate τῷ ἅμα : conf. not. supra pag. 185.

(3) Lat. « quanquam ille vir » est. » Non intellexit Planudes *quanquam* hic esse pro *tamen* : ἀλλά γε ἀνὴρ οὗτός ἐστιν.

(4) Melius, puto, ζωηκωτά-

» ψυχὴν καταῤῥάξαι (1) λόχμης ἐπιβληθείσης. Ἡ
» λόχμη πίεση τὸν φάρυγγα, καὶ ἀντὶ τραύματος
» ἔσται τὸ βάρος. Εἶπε· καὶ δακὼν μανιώδει ῥύμῃ
» νότου πεσοῦσαν ἀερόμενος, ἐπέῤῥιψε τῷ ὑψηλῷ
» πολεμίῳ (2), καὶ τοῖς ἄλλοις παράδειγμα γέγονε.
» Καὶ δὴ ὀλίγου γυμνὸς ἦν δένδρων ὁ Ὄθρυς, καὶ οὐδὲ
» τὸ Πήλιον εἶχεν ἔτι σκιάν· Ὁ δὲ δὴ Καινεὺς τῇ
» ὑπερφυεῖ τῶν δένδρων σωρείᾳ κρυπτόμενος ὑπὸ τοῦ
» βάρους ἀσθμαίνει, καὶ τὰ ἐπιῤῥιπτόμενα φέρει
» τοῖς ἀγνάμπτοις ὤμοις σιελέχῃ. Ἐπεὶ δ' ὑπέρ
» τε τὸ σῶμα καὶ τὴν κεφαλὴν ὁ φόρτος ἐπέδωκε,
» καὶ οὐκ ἔσχε τινά πῃ ἀναπνεύσας αὔραν ἑλκύ-
» σειεν· ἔστι μὲν ὅτε ἐκλείπει, ἔστι δ' ὅτε τηνάλ-
» λως ἑαυτὸν ἐξαίρειν ὑπὲρ τὸν ἀέρα πειρᾶται,
» καὶ τὰς ἐπιῤῥιφείσας αὐτῷ λόχμας ἀποκυλίσαι,
» ἔστι δ' ὅτε καὶ κινεῖ· ὥσπερ ἂν (ἴδοις) βλέπομεν
» κορυφὴν τῆς Ἴδης, εἰ σεισμῷ συγκλονοῖτο. Ἡ μέντοι
» τοῦ τραύματος ἔκβασις ἐν ἀμφιβόλοις ἐστίν. Οἱ
» μὲν γὰρ εἰς τὸν κενὸν Τάρταρον συνωσθῆναι τῷ
» τῶν δρυμῶν ἄχθει (3) διηγοῦντο τὸ σῶμα· ὁ δ'
» Ἀμπυκίδης τοῦτό γε ἀποφάσκει. Καὶ γὰρ ἐκ μέ-
» σου τοῦ σωροῦ ξανθαῖς τελέρυξιν ὄρνιν ἑώρακεν ἐς
» τὸν διαφανῆ ἐξελθοῦσαν ἀέρα, ἣ τότε δὴ πρῶτα καὶ
» ὕσλατα (4) ἐμοὶ καλωπεύθη. Ταύτην ὁ Μόψος τὴν

πν. Nam latina exhibent, *animam vivacem.*

(1) Codex, καλαλαεάξαι, quod mutavi, ut *elidite* latinum verteretur. Sic ἀεράσσων et παεάσσων permutantur in Euripideæ Hecubæ codd. ν. 1165.

(2) Codex, πολέμῳ. Philostratus Epist. 22 : πὰ μὲν ἐκ πολέμου καὶ θήρας τραύματα : cod. Reg. 1696, ἐκ πολεμίων. Apud Philostratum optio est ambigua, non item apud Planudem : nam πολέμῳ sensu carebit.

(3) Codex, ἄνθῃ.

(4) Inserui ὕσλατα.

» οἰκείαν καλιὰν (1) κούφῃ ὑπεριπταμένην τῇ πτήσει
» καὶ μεγάλῃ σμαραγῇ περιτετριγυῖαν ἐθεάσατό
» τε καὶ ἐπίσης τῇ τε ψυχῇ καὶ τοῖς ὀφθαλμοῖς
» ἠκολούθησε, καὶ, Ὦ χαῖρε, δόξα τοῦ Λαπιθείου
» γένους, φησὶ, μέγιστε μὲν ἄνερ πάλαι, νῦν δὲ
» μοναδικὴ ὄρνις, Καινεῦ. Καὶ τὸ πρᾶγμα διὰ τὸν
» αὐτὸν εὑρετὴν ἐπιστεύθη. Ἐπήνεγκεν μὲν οὖν ὀργὴν
» ἡ λύπη, καὶ ἕνα συγχωσθέντα ὑπὸ τοσούτων
» ἐχθρῶν βαρέως ἠνέγκαμεν· οὐδὲ πρότερον ἀπέ-
» στημεν σιδήρῳ τὴν ὀργὴν ἐμπίπλαντες, πρὶν ἢ
» μέρος μὲν ἐκείνων παρεδόθη θανάτῳ, μέρος δὲ
» φυγή τε καὶ νὺξ μετέστησε. »

Τοῦτον τὸν μεταξὺ Λαπίθων καὶ τῶν ἡμιανθρώπων Κενταύρων συῤῥαγέντα πόλεμον τοῦ Πυλίου δεξιόντος, ὁ Τριπτόλεμος (2) τὴν ὑπὲρ Ἡρακλέους ὀδύνην, ὅτι δὴ τοῦτον παρέδραμεν, οὐκ ἤνεγκεν ἡσύχῳ τῷ στόματι, καί φησι· « Θαῦμά τι τοῦτο, γεραίτερε,
» τῶν Ἡρακλείων ἐπαίνων λήθην σοι γεγονέναι. Ἀλη-
» θῶς δ' εἰπεῖν, πολλάκις μοι ὁ πατὴρ διηγεῖσθαι
» εἰώθει ὑπ' ἐκείνῳ (3) τοὺς Νεφελογενεῖς δεδαμά-
» σθαι. » Πρὸς ταῦτα σκυθρωπάσας ὁ Πύλιος, « Τί
» με τῶν κακῶν ἀναμιμνήσκεσθαι βιάζῃ »; φησίν·
« καὶ τῷ χρόνῳ συνουλωθὲν πένθος ἀναξαίνειν, καὶ
» τὸ πρὸς τὸν σὸν πατέρα μῖσος καὶ ὅσα προσκρού-
» ματα γέγονεν ἐξαγγέλλειν; Ἐκεῖνος καὶ πίστεως μεί-
» ζονα διεπράξατο, καὶ τὴν οἰκουμένην τῶν κατορ-

(1) Καλιὰν inepta est latini *castra* interpretatio. Scribendum potius, παρεμβολήν.

(2) Imo Τληπόλεμος, ut Ovidio nominatur.

(3) Ἐκείνῳ est improprie scriptum. Oportuit dicere ὑφ' ἑαυτῷ, vel ὑφ' ἑαυτοῦ. Sed circa pronomina illa sæpe peccat interpres noster.

» θωμάτων ἐνέπλησεν, ὅπερ ἀρνεῖσθαι δύνασθαι
» μᾶλλον πυχόμην. Καὶ γὰρ οὔτε τὸν Δηΐφοβον, οὔτε
» τὸν Πολυδάμαντα, οὔτε μὴν αὐτὸν ἐπαινοῦμεν
» Ἕκτορα· τίς γὰρ ἂν καὶ ἐπαινέσειε τὸν ἐχθρόν;
» Ἐκεῖνος ὁ σὸς γεννήτωρ τὰ Μεσσήνια τείχη πολὲ
» κατέσπασε, καὶ πόλεις ἄλλας ἀδίκως, Ἠλίν τε
» καὶ Πύλον κατηδάφισε, κἀπὶ τὴν ἐμὴν οἰκίαν
» σίδηρόν τε καὶ πῦρ εἰσήνεγκε. Καὶ, ἵνα δὴ σιγῶμι
» τοὺς ἄλλους οὓς ἐκεῖνος διεχειρίσατο, δὶς ἐξ
» ἐτυγχάνομεν ὄντες Νηλεῖδαι, νεολαία περίβλε-
» πτος, καὶ οἱ δὶς ἐξ ὑπὸ τῆς Ἡρακλείου βίας,
» παρ' ἕνα μόνον ἐμὲ, πεπτώκασι. Καὶ τοὺς μὲν
» ἄλλους πεφυκέναι νικᾶσθαι οἰστὸν (1) ἦν· θαῦμα δ'
» ὁ τοῦ Περικλυμένου θάνατος γέγονεν· ᾧ δύναμις
» ἦν μυρίας μορφὰς, ἂν ἐθέλῃ, λαμβάνειν, καὶ
» ληφθείσας ἀπολίθεσθαι πάλιν· ὁ Ποσειδὼν ἐδωρή-
» σατο τοῦτο τῷ νέῳ, ὁ τοῦ Νηλέου αἵματος ἀρ-
» χηγός. Οὗτος ἐπειδὴ τηνάλλως εἰς πάσας ἑαυτὸν
» μορφὰς διεποίκιλλε, καὶ εἰς εἶδος ὄρνιθος μετα-
» βάλλεται, ὃς τοὺς κεραυνοὺς τοῖς καμπύλοις ποσὶν
» εἴωθε φέρειν, τῷ βασιλεῖ τῶν θεῶν χαριέστατος.
» Κεχρημένος δὴ ῥώμῃ τε τοῦ ὄρνιθος καὶ πτέρυξι
» καὶ ἐπικαμπεῖ ῥάμφει, καὶ ὄνυξιν ἀγκιστρώδεσι,
» τὸ τοῦ ἀνδρὸς διέξαινε πρόσωπον. Ὁ δέ γε Τιρύν-

(1) Adjectivum illud οἰστὸν mihi revocat in mentem Eurydices feminæ eruditæ epigramma, a Plutarcho adpositum sub extremum de Educ. libellum, quod sic incipit: Εὐρυδίκη Ἰτεαπολῖτις πόνδ' ἀνέθηκε Μούσαις εὐψυχῇ ἑλοῦσα πόθον. Varietas est in libris non mala εὔοιστον. Wyttenbachius εὔϊστον servat, quod non servandum videtur. Iotacismum secutus, propono εὐηστον, *jucundissimum*: qua de voce cf. not. ad Herod. Epimer. pag. 53.

» θιος ὡς αὐτὸν ὅτι μάλιστα τὸ εὔστοχον τόξον ἐντεί-
» νει, καὶ τοῖς νέφεσιν ὑψοῦ τὸ σῶμα φέροντα καὶ
» μετεωριζόμενον βάλλει καὶ τὸ πλευρὸν, ἥπερ ἡ
» πτέρυξ αὐτῷ συνῆπται. Καὶ ἦν μὲν οὐ πάνυ τι τὸ
» τραῦμα βαρύ· διαῤῥαγέντα μέντοι τὰ νευρὰ τῷ
» τραύματι ἐκλέλοιπε, καὶ πᾶσαν ἀπηναίνετο κίνησιν
» καὶ τὴν τοῦ πέτεσθαι δύναμιν. Καταπίπτει τοίνυν
» εἰς γῆν τῶν στερύγων ὑπ' ἀσθενείας μηδ' ὁτιοῦν
» συλλαμβανουσῶν (1) ἀέρος, καὶ τὸ κοῦφον βέλος,
» ἥπερ ἐνεσχέθη τῇ πτέρυγι, ἐπέσθη τῷ βάρει τοῦ
» διαπεπαρμένου σώματος, καὶ δι' ἄκρου τοῦ πλευ-
» ροῦ ὡς τὴν εὐώνυμον κλεῖν διεξῆλθεν. Οὔτι
» μοι (2) δοκῶ τοῖς τοῦ σοῦ Ἡρακλέους τραύμασιν
» ὀφείλειν ἐγκώμια, ὦ τοῦ Ῥοδίου στόλου περικαλ-
» λέστατε ἡγεμών. Οὐ μέντοι πρωτίστερω, τὰ γενναῖα
» τῶν ἔργων ἐκείνου σιγῶν, ἀμυνῶ μοι τοῖς ἀδελ-
» φοῖς. Στερρὰ γὰρ ἐμοὶ καὶ σοὶ χάρις ἐστὶ φιλίας. »
Ταῦτα τῷ γλυκεῖ (3) στόματι τοῦ Νηλείδου προ-
ενεγκόντος, μετὰ τὴν τοῦ γέροντος ὁμιλίαν Βάκχου
δῶρον ἐπιπόντες, ἐξανέστησαν τῶν στιβάδων· ἡ δὲ
λοιπὴ νὺξ ἀπεδόθη τῷ ὕπνῳ.

Ὁ δὲ τὸ θαλάττιον ὕδωρ τῇ τελαίνῃ διεξάγων
θεὸς τὸ τοῦ παιδὸς σῶμα κύκνον εἰς ὄρνιν μετα-
μειφθὲν, ἀλγεῖ παλεικῇ διαθέσει, καὶ τὸν ὀξὺν
ὑπερσυγῶν Ἀχιλλέα, μνημονεύουσαν ὀργὴν, πλεῖν

(1) Codex, συλλαμβανόντων : eodem calami lapsu πτερύγων καλυφάντων supra p. 63; nec non pag. 97, αἰτίας προσχορήσαντος. Nam novit vocis πτέρυξ genus, quum statim habeat τῇ πτέρυγι.

(2) Lat. « *Num* videor.... »? Invenit Planudes, « *non* videor. » Sed interrogatio et est vividior et sententiæ indit comitatis aliquid.

(3) Codex, γλυκὺ — προστετηκότος.

ἢ (1) πολιτικῶς εἶχεν, ἀσκεῖ. Καὶ σχεδὸν εἰς διπλῆν
ἤδη πενταετηρίδα παρελκομένης τῆς μάχης, ῥήμασι
τοιούτοις τὸν ἀπειρεκόμην Κύνθιον ἐρεθίζει· « Ὦ τῶν
» τοῦ ἀδελφοῦ μοι παίδων μακρῷ χαριέστατε, ὃς
» ἀνεμώλια τὰ τείχη σὺν ἐμοὶ καὶ Ἑβδόμου τῆς
» Τρίας, ἰδοὺ δὴ τί σθένεις, ὁπότε τὴν Ἀσιχὴν (2)
» ἀκρόπολιν πεσουμένην ὁρᾷς; ἢ τί νῦν τὰς το-
» σαύτας χιλιάδας, αἵπερ ἐφρούρουν τὰ τείχη,
» θαναλωθείσας ἀλγεῖς; ἀλλ' ἄρα (μήπω τε πάντας
» ἂν ἐφεξῆς διεξέλθοιμι) ἡ τοῦ Ἕκτορος ἔπεισιν εἰς
» μνήμην ψυχὴ τοῦ περὶ τὰ οἰκεῖα Πέργαμα ἑλκυ-
» σθέντος; μέχει (3) μέντοι ὁ δεινὸς ἐκεῖνος, καὶ
» αὐτοῦ τοῦ πολέμου αἱμοχαρέστερος, ζῇ, ὁ τοῦ
» ἔργου τοῦ ἡμετέρου ὀλοθρευτής, Ἀχιλλεύς. Δοίη
» μοι ἑαυτὸν, ὡς ἂν ἐπ' αὐτῷ τι δράσαιμι, αἴ-
» σθοιτό τε (4) τί ποτ' ἂν τῇ τελαίνῃ δυναίμην.
» Ἀλλ' ἐπεὶ μὴ δέδοται ἐγγύθεν τοῖς ἐχθροῖς συνιέναι,
» λαθραίῳ βέλει καὶ μηδὲν ὑπιδόμενον τοῦτον διό-
» λεσον. » Ἐπένευσε πρὸς ταῦτα ὁ Δήλιος, καὶ,
ἐξ ἴσου τῷ τε οἰκείῳ θυμῷ καὶ τῷ τοῦ θείου χαρι-
ζόμενος, νεφέλην περιεβάλετο, κἀπὶ τῆς Ἰλιακῆς
ἔφθασε παρατάξεως; καὶ ὁρᾷ τὸν Πάριν ἐν μέσῳ τῷ
τῶν ἀνδρῶν φόνῳ ἀρτιὰ βέλη δι' ἀγνώστων καὶ
ἀνωνύμων Ἀχαιῶν διασπείροντα. Καὶ διομολογησά-

(1) Codex: πλὴν ἤ. In latinis, *plus quam*. Permutata πλὴν et comparativum πλεῖν ostendi ad Eunap. p. 315. Apud Aristidem t. I, p. 281, Jebb. pro πλὴν ἤ διπλάσιος, cod. Reg. 1040, melius πλεῖν ἤ διπλ.

(2) Sic codex, qui et supra ᾧ exhibuit pro ὦ. Forsan Ἰλιακήν.

(3) Videtur legisse *dum*, non *cum*.

(4) Addidi τε ad sententiarum nexum. Ceterum latinum *faxo* Noster non intellexit. Debuit scribere, δοίη μοι ἑαυτόν· ποιήσω ὡς ἂν αἴσθηταί τι ποτ'.—

μενος τὴν θειότητα ἑαυτοῦ, « Τί τὰ βέλη » φησὶ « τῷ τοῦ σύγκλυδος ὄχλου ἀπόλλυς αἵματι; Εἴ τίς » σοι τῶν σαυτοῦ λόγος ἐστὶν, ἐπιστράφηθι πρὸς » τὸν Αἰακίδην, καὶ τοῖς κατεργασθεῖσιν ἀδελφοῖς » ἄμυνε. » Εἶπε, καὶ, δείξας τὸν Πηλείδην τὰ Τρωϊκὰ σώματα καταστορεννύντα τῷ ξίφει, τὸ τόξον πρὸς ἐκεῖνον ἐπέστρεψε, καὶ εὔστοχον βέλος τῇ θανατηφόρῳ χειρὶ διΐθυνε. Τοῦτο μόνον γέγονεν ὅπερ ὁ γέρων Πρίαμος ἔσχεν ἡσθῆναι μετὰ τὸν Ἕκτορα (1). Ἀμέλει καὶ ὁ τῶν τοσούτων σὺ νικητὴς, Ἀχιλλεῦ, ὑπὸ δειλοτάτου ἅρπαγος γυναικὸς Ἀχαιΐδος νικᾷ. Εἰ δὲ καὶ γυναικείῳ ἔμελλες πεσεῖσθαι πολέμῳ,

(1) Lat. « post Hectora. » Hanc loquendi brevitatem pluribus exposui ad Philostr. p. 429. Adde Jacobs. Addit. in Athen. p. 219; et Schæf. ad Æsop. pag. 145, qui Babriæ versum in Fabula de Philomela, πρῶτον βλέπω σε σήμερον μετὰ Θρᾴκην, bene contra Tyrwhittum interpretatur: sensus enim est, *depuis le temps de Thrace*, ut verbis utar Fontainii, jam apte a Thuroto viro clar. in Mercurio Franciæ t. XLVII, pag. 15, collatis, et pridem a Rochefortio in Notit. MSS. t. II, pag. 669. Potest conferri Nonnus Dionys. VIII, 95: Γανυμήδεα... μετὰ Πέργαμον ἀστὸν Ὀλύμπου. Ibid. 141: Οὐδὲ μετὰ Κρήτην πάλιν ἔπλεε ταῦρος Ὀλύμπου. Similia proferam quæ sunt ad manum. Epigramma Incert. 373, de Ammonio: κείνῳ δὲ μετ' ἄγρια κύματα ναῦται Χεῖρας ἀερτάζουσι. Gregorius Nyss. in Thaumaturgi Vita pag. 316: ὁμοίως ἐχόντων, καὶ μετὰ τὸ ὕδωρ καὶ πρὸ τοῦ ὕδατος, τῶν ἅπαξ κατασχεθέντων τῷ πάθει. Comparandus Seneca Epist. 119: « *Post* » *Darium et Indos* pauper est » Alexander Macedo. » Horatius A. 141: « Dic mihi, Musa, virum, » captæ *post mœnia* Trojæ, Qui.. » ubi conf. Bentl. Claudianus in Laudibus Herculis 88: « virtus » digna...sidereos *post membra* » intrare recessus. » Adde Vorst. ad Justin. I, 6. Nec non in nostris scriptoribus parilia nonnulla possunt inveniri. Deshuleria in Montauserii Epicedio: « Qu'allez- » vous devenir, héroïques Ver- » tus, Vous qui, tremblantes, » éplorées, *Après vos temples* » *abattus*, Chez lui vous étiez » retirées? » Memineratne femina latinis literis ornatissima Virgiliani loci, « post eruta Per- » gama »?

Θερμωδονλιαχῷ μᾶλλον ἂν πύξω πεπλωκέναι πελέκει.
Ἤδη δ' ὁ τῶν Φρυγῶν φόβος ἐκεῖνος ὁ Αἰακίδης, ὁ κόσμος τοῦ Πελασγῶν ὀνόμαλος καὶ ἀσφάλεια, ἡ ἀνυπέρβλητος ἐν πολέμοις κεφαλή, πυρὶ παρεδόθη· ὃς δ' αὐτὸν θεὸς ὡπλισεν, ὁ αὐτὸς καὶ διέφλεξεν.
Ἤδη δὲ τέφρα τε ἦν, κἀκ τοῦ οὕτω μεγάλου Ἀχιλλέως ὑπολέλειπτο οὐκ οἶδα μὲν τί, ὃ δὲ μικρὰν ὑδρίαν οὐκ ἂν εὖ πληρώσαι. Ἡ μέντοι δόξα ζῇ, καὶ πᾶσαν τὴν οἰκουμένην πληροῖ. Τοῦτο τὸ μέτρον ἐκείνῳ ἀνταποκρίνεται τῷ ἀνδρὶ, καὶ τοῦτό σοι (1) ἐξισοῦται, Πηλείδη· οὐδὲ κενοῦ καὶ ἀνοήτου τοῦ Ἅιδου αἰσθάνῃ (2). Καὶ αὐτὴ δ' ἡ ἀσπὶς, ὡς ἂν δὴ γνῶναι σχοίης τίνος ἀνδρὸς ἦν, πολέμους κινεῖ, καὶ ὑπὲρ τῶν ὅπλων ὅπλα ἐκφέρεται. Ἀλλ' οὐχὶ τολμᾷ ταύτην οὐθ' ὁ Τυδείδης αἰτεῖν, οὐθ' ὁ Ὀϊλείδης (3) Αἴας, οὐχ ὁ ἐλάττων, οὐχ ὁ μείζων καὶ τῷ χρόνῳ καὶ τοῖς πολέμοις Ἀτρείδης, οὐκ ἄλλος οὐδείς· μόνῳ δὲ τῷ Τελαμῶνος παιδὶ καὶ τῷ Λαερτιάδῃ τῆς τοσαύτης δόξης προσεγένετο θάρρος. Ἀφ' ἑαυτοῦ δ' ὁ Ταντανλίδης καὶ τὸ βάρος ἀπεσείσατο καὶ τὸν φθόνον· τοὺς δ' Ἀργείων ἡγεμόνας ἐν μέσῳ κατασῆναι τῷ σκοπέλῳ κελεύει, καὶ τὴν τῆς δίκης ψῆφον εἰς πάντας προβάλλεται.

(1) Invenit suo in libro, « *hæc* » est par *tibi* » non « *hac* est » par *sibi*. »

(2) Habuit *sentis*; malim *sentit*, αἰσθάνεται.

(3) Codex, ὁ Ἰλείδης.

ARGUMENTUM

LIBRI XIII

EX CANTERI NOVIS LECTIONIBUS.

De Achillis armis *Ajax* et *Ulysses* contendunt: ac illius quidem, sua ipsius manu interfecti, sanguis in *hyacinthum* vertitur. Capta jam Troja, *Hecuba* in Thracia, ubi Polymnestorem excæcavit, fit *canis*. Ejus infortunium quum Dii omnes deplorarent, Aurora alio luctu tenebatur, *Memnonis* scilicet filii, cujus e cineribus *Memnonides* aves prodierunt. *Æneas* porro profugus ad Anium, cujus *filiæ* in *columbas* erant conversæ, post alia deinceps loca transformationibus clara, in Siciliam delatus est, ubi *Scylla*, cui *Galatea* narrat *Polyphemi* amores *Acidis*que obitum; quo facto, *Glaucus*, in *deum marinum* mutatus, apparet.

ΟΒΙΔΙΟΥ

ΜΕΤΑΜΟΡΦΩΣΕΙΣ.

ΒΙΒΛΙΟΝ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΝ.

Συνήρεσαν τοίνυν οἱ ἡγεμόνες, καὶ, τῆς τοῦ δήμου περιϊσταμένης σφᾶς, ἀνίστασθαι πρὸς λόγους ὁ τοῦ ἐπταβοείου σάκους δεσπότης Αἴας. Καὶ οὕτωσί πως, ὡς ἀχαλινὴς ὀργῆς ἦν, πρὸς τὴν τοῦ Σιγείου ἠιόνα καὶ τὸν ἐπὶ τῆς ἠιόνος στόλον βλοσυρῷ ἀπεῖδε τῷ βλέμματι, καὶ, ἀναλείνας τὰς χεῖρας, « Ἀγωμεν » εἶπεν, « ὦ Ζεῦ, δίκην πρὸ τῶν νηῶν, καί μοι συμ- » φέρεται νῦν Ὀδυσσεύς! Ἀλλ' οὐχὶ καὶ τῷ Ἑκτορείῳ » διεδίστασεν ὑπείξαι πυρὶ, ὅπερ ἔγωγε ὑπέμεινα, » ὅπερ τοῦδε τοῦ στόλου ἔγωγε ἐφυγάδευσα. Ἀσφα- » λέστερόν ἐστι τοιγαροῦν πεπλασμένοις λόγοις » ἀμφισβητεῖν, ἢ χειρὶ μάχεσθαι. Ἀλλ' οὔτ' ἐμοὶ » πρόχειρόν ἐστι λέγειν, οὔτε τούτῳ ἐργάζεσθαι. Καὶ » γὰρ ὁπόσον αὐτὸς ἔν τε τῷ φοβερῷ πολέμῳ καὶ » ταῖς παραστάσεσιν ἰσχύω, τοσοῦτον οὗτος πρὸς λό- » γους δύναται. Οὐ μέντοι καὶ ἀναμνηστέον ὑμᾶς εἶναι » τἀμαυτοῦ ἔργα νομίζω· εἰδέτε γάρ. Ὀδυσσεὺς δι- » ξιέτω τὰ ἑαυτοῦ, ἃ δίκα μάρτυρες πρόκειται, καὶ » μόνη συνίστωρ ἡ νύξ ἐστι. Μέγα αἰτεῖν ὁμολογῶ γέ- » νος· ἀλλ' ὑποβιβάζει μοι τὴν τιμὴν ὁ τῷ Αἴαντι (1)

(1) Vides distinxisse Planudem, ut editiones pleræque, in quibus legitur, « sed demit honorem æmulus Ajaci. »

» ἀντίπαλος καθιστάμενος. Οὐκουν ὑπερήφανόν ἐστι
» τούτου κεφαλῆσαι, εἰ καὶ τὰ μάλιστα μέγα ἐστὶν,
» ὅπερ ἂν ἐλπίσαι καὶ Ὀδυσσεύς. Οὗτος νῦν ἤδη τοῦ-
» δε τοῦ ἀγῶνος εἰλήφει τὸ γέρας, ὅτι, καὶ ἠτιμωθεὶς,
» ἀμιλλήσασθαί μοι μέντοι λεχθήσεται. Ἐγωγε μὴν,
» εἰ καὶ ἀμφίβολα τὰ τῆς ἀρετῆς ἦν ἐν ἐμοὶ, τῇ
» εὐγενείᾳ πάντα ἰσχύειν εἶχον, Τελαμῶνος παῖδος ὤν,
» ὃς ἅμα τῷ γενναίῳ Ἡρακλεῖ τὰ Τρωϊκὰ τείχη
» ἐπόρθησε, καὶ σὺν Παγασαίῃ νηῒ τοὺς τῶν Κολχῶν
» εἰσῆλθεν αἰγιαλούς. Αἰακὸς δὲ τούτῳ παππὴρ ἐστιν,
» ὃς τοῖς ἡσυχάζουσιν ἐκεῖ βραβεύει τὰ δίκαια, ἔνθα
» καὶ τὸν Αἰολίδην Σίσυφον λίθος βαρὺς ἐνοχλεῖ. Τὸν
» Αἰακὸν ὁ ὕπατος Ζεὺς γινώσκει καὶ γέννημα οἰκεῖον
» ὁμολογεῖ. Οὕτω τρίτος ὁ Αἴας ἐκ τοῦ Διός. Εἰ
» δὲ καὶ μηδὲν πρὸς τὴν δίκην ἡ τοιαύτη τοῦ γένους
» ἀκολουθία ὀνίνησιν, Ἀχαιοί· ἀλλ' εἰ καὶ τὰ μάλιστα
» μηδὲν ἦν μοι πρὸς τὸν μέγαν Ἀχιλλέα κοινὸν,
» ἀδελφὸς δ' ὅμως ἦν (1). Τὰ τοῦ ἀδελφοῦ τοίνυν
» αἰτῶ. Τί δὲ δὴ πρὸς σὺ, ὁ τοῦ Σισυφείου αἵματος
» ἐκβλαστήσας, καὶ τὴν τε κλοπὴν καὶ τοὺς δόλους
» ἐκείνῳ γε ὢν ὁμοιότατος, ἀλλοτρίου γένους ὀνόματα
» παρενείρεις τοῖς Αἰακίδαις; Ἢ ὅτι δὴ πρότερος
» ἦλθον εἰς ὅπλα καὶ μηδενὸς διελέγξαντος, ἀπαρνη-
» θήσεταί μοι τὰ ὅπλα, καὶ χρείττων ἐν αὐτοῖς δόξει,
» ὃς ὕστατος ἔλαβεν ὅπλα καὶ ἀπεδύσατο τῇ πε-
» πλασμένῃ μανίᾳ τὴν ἐκστρατείαν (2); μέχρις ὁ

(1) Hæc sensu carere videntur. Ad latinorum mentem sic fere opinor refingenda : μηδὲν δὲ πρὸς τὴν δίκην ἡ τοιαύτη τοῦ γένους ἀκολουθία ὀνήσαιτο, εἰ μηδὲν ἦν μοι πρὸς τὸν μέγ. Ἀχ. κοινόν. Ἀδελφὸς ἦν.

(2) De simulata Ulyssis insania

» τούτου μὲν εὐμηχανώτερος Ναυπλιάδης, ἑαυτῷ
» δ' ἀλυσιτελέστατος, τὰς τῆς δειλῆς ψυχῆς ἀνε-
» κάλυψε σκήψεις, καὶ πρὸς ἅπερ παρεφυλάττετο
» εἵλκυσεν ὅπλα. Νῦν δὴ λαβέτω τὰ κάλλιστα τῶν
» ὅπλων ὁ μὴ ἀνεχόμενος ἐκεῖνα (1) λαβεῖν· ἡμεῖς
» δ' εἴημεν ἄτιμοι, καὶ τῶν τοῦ ἀνεψιοῦ ὀρφανεύοιμεν
» δώρων, ὅτι δὴ πρὸς τὰ πρῶτα τῶν κινδύνων ἡμᾶς
» αὐτοὺς προσηγάγομεν. Ἀλλὰ γὰρ ὤφειλεν ἢ ἀλη-
» θὴς ἡ μανία ἐκείνη τυγχάνειν ἢ πιστὴ δόξαι, μηδὲ
» κοινωνὸς οὗτός ποτε τοῦ πλοῦ πρὸς τὰ Φρυγῶν
» τείχη ἐληλυθέναι, τῶν ῥᾳδιουργημάτων ὑποβολεύς.
» Οὐδὲ γὰρ ἄν σε, Ποιάντιε (2) παῖ, ἐκτεθειμένον ἡ
» Λῆμνος εἶχε σὺν ἡμετέρᾳ κατηγορίᾳ· ὃς νῦν, ὥς
» τινες διαμνημονεύουσιν ἐν ἀγροτικοῖς καταδεδυκὼς

notæ Gierigianæ addesis not. ad Her. Philostrati pag. 525, apud quem Protesilaus hanc narrationem οὔ φησιν ὑγιᾶ εἶναι. Sed Protesilaus ille auctoritate prorsus caret. Ipse de se fatetur Sabini Ulysses : «quum mea fictus De» tinuit patrio litore vela furor.» Thersites, ignava hac vesania audita, κατεγέλασέ τε καὶ λόγους ἔλεγε πρέποντας τῇ τοιαύτῃ μανίᾳ, ob hoc laudatus a Libanio t. IV, pag. 944. Et laudatur ab Aristotele, Poet. c. 17, Homerus quod non versibus exposuerit quæcumque Ulyssi acciderunt, οἷον πληγῆναι μὲν ἐν τῷ Παρνάσῳ, μανίαν δὲ προσποιήσασθαι ἐν τῷ ἀγερμῷ. De hoc argumento Parrhasii et Euphranoris, nobilium artificum, pictæ exstiterunt tabulæ : cf. Wyttenbachius ad Plutarchum de aud. Poet. pag. 18 B.

(1) Male legit *illa* pro *ulla*. Rescribe, οὐδένα, vel (si hoc plurale displicet, etsi probatissimis non displicuerit), ὁ μὴ ἀνεχ. μηδαμῶς ὅπλα λαβ. Ceterum in Nostro plurale οὐδένα stare recte possit, qui alibi τὸ οὐδένες scripsit; v. c. infra ad N. 183, 564; supra pagg. 489, 522, μηδέσιν : etc.

(2) Codex, ποιάντοιε, permutatis ι et οι, quod obvium est. In Dione Chrys. t. I, pag. 191, ubi ὁπότε προσίδοι τις editum legitur, hæc fuit adscripta a Reiskio notula : «possit quoque προ» σίδῃ esse. In Veneta est προ» σίδι, ambigue ad utrumque.» Non puto ambiguum esse προσίδι in hac sententia; nam ὁπότε προσίδῃ τις vix stare poterit.

» ἄντρους, κυνεῖς (1) καὶ λίθους ταῖς οἰμωγαῖς, καὶ
» τοῦ Λαερτιάδου καλεύχη (2). Καὶ νῦν αὐτὸς φεῦ! ὁ
» πρὸς τὰ αὐτὰ συνομωμοκὼς ἡμῖν ὅπλα, καὶ μέ-
» ρος τῶν ἡγεμόνων τυγχάνων, ᾧ διαδόχῳ τὰ βέλη
» τοῦ Ἡρακλέους εἰσὶν ἐν χρήσει, καλαπονηθεὶς τῇ
» τε νόσῳ καὶ τῷ λιμῷ θηρεύει (3), καὶ τρέφεται ὄρνισι,
» καὶ, σπανὰ διώκων, ταῖς Τρωϊκαῖς μοίραις ὀφει-
» λόμενα βέλη μεταχειρίζεται. Ἐκεῖνος μέντοι ζῇ,

(1) Cod. κυνοῖς pro κυνεῖς : ut ad 207, πίχεα : ad 234, διδυκόπας. Ubique librarii sic ει et οι permutant. Dion Chrys. Or. XXXIII, pag. 14 : εἴ τις ἐν λοιμῷ, διὰ τὸ πάντας ἢ τοὺς πλείστους νοσεῖν, μηδεμίαν ἐθέλοι ποιεῖσθαι φροντίδα ὥστε αὐτὸς ὑγιαίνειν, ἢ, νὴ Διά, ἐν θαλάττῃ χειμαζόμενος, ἔπειτα πάντας ὁρᾷ τοὺς ἐν τῇ νηὶ κινδυνεύοντας, ἀμελεῖ τῆς σωτηρίας : « malim » Reiskius ait « ἀμελεῖν ob præmis- » sum ἐθέλοι, aut saltem ἀμελῇ. » Miram crisin ! Scribe ἀμελοῖ, quod exhibet cod. Reg. 2958. Nec non pro ὁρᾷ forsan leg. ὁρῶν. Statim Dion : γελοῖον γάρ, εἴ τις πρὸς τὸν ὅλως οὐκ ἐπισταμένον κυβεύειν, ἔπειτα ὡς ἔτυχε κρούοντα, ἐπιχειρεῖ λέγειν ὅτι ἥμαρτεν : ubi vides post ἔπειτα participium κρούοντα. Reiskius hic malit ἐπιχειρῇ : equidem malim ἐπιχειρῶν, quod in eodem codice legi. Dion alibi Orat. XXX, p. 550 : ἐκπλήττεσθαι γὰρ ἐκάστοτε ὑπ' αὐτῶν καὶ φοβεῖσθαι τοὺς ἀνθρώπους, ὁπότε συμβαίνει : codex idem, συμβαίνοι, electione ancipiti. Alciphro II, Epist. 4, 23 : χαίρεις οὖν ἀπολειπομένη, ἔφασαν · τὸ δὲ οὐκ ἦν : cod. Reg. 2832, χαίρεις, quod omnino loci sententia postulat. Libanius t. III, pag. 18 : ἐνεθυμήθη πρὸς αὐτὸν (scr. αὑτὸν) ὁ κατήγορος ὅτι τοῖς μὲν πράγμασι καὶ τοῖς ἐκ τῆς ἀληθείας οὔτ' ἂν τοῦτον, οὔτ' ἄν ἄλλον οὐδένα τῶν τοιούτῳ πεπλησιακότων, ἔλοι, τὰ δ' ὄντα αὐτῷ καλὰ Σωκράτους οὐκ ἂν ὑπάρχοι καλὰ τῶν ἄλλων. Ibi Reiskius : « F. ὑπάρχοι aut ὑπάρχῃ. » Omnino illud scribendum, non hoc.

(2) Latina « Quæ meruit : quæ, » si dii sunt, non vana pre- » caris » omisit interpres, vel librarius, τῷ ὁμοιοτελεύτῳ deceptus. Reponendum fere : ὧν ἐστὶν ἄξιος· ἄ γε, εἰ μὲν εἰσὶ θεοί, οὐκ ἄλλως καλεύχη.

(3) Habuit Planudes lectionem multorum codd. *venatur*, quæ mihi quidem non displicet, nam auget miserationem, quum fractus morbo cogatur heros infelicissimus venari et per rupes dumosque perreptare, non sine ingenti dolore. Philoctetes Sophocleus vitam sustentat θηροβολῶν.

» ὅτι μὴ κοινωνεῖ (1) τῷ Ὀδυσσεῖ τῆς ὁδοῦ. Ηὐξαλο
» ἂν ἐγκαλαλειφθῆναι καὶ ὁ δύσπνους Παλαμήδης·
» ἔξη γὰρ ἂν νῦν, ἢ θανάσιμον, ὡς ἀληθῶς εἰπεῖν, δίκα
» καθηγεμόνος ἂν ἔλαχεν· ὃν οὗτος, ὁ σφόδρα τῆς
» ἐλεγχθείσης μνημονεύων μανίας, περιδιδύναι τὰ τῶν
» Δαναῶν ἐπλάσατο πρόγραμμα, καὶ τὸ συμπλα-
» σθὲν ἐβεβαίωσεν ἔγκλημα, καὶ ὑπέδειξεν ὃν ἤδη
» χρυσὸν περικλώρυξε (2). Τοιγαροῦν ἡ ὑπεροψία τὰς
» τῶν Ἀχαιῶν δυνάμεις ἢ θανάτῳ ὑπάγει· οὕτω
» μάχεται, οὕτω φοβερός Ὀδυσσεύς ἐστιν, ὃς, εἰ
» καὶ τῇ εὐγλωττίᾳ οἷός τ' ἦν τοῦ πιστοῦ Νέστορος
» ὑπερέχειν, οὐ μέντοι καὶ ἐξανύσειεν ἂν, ὥστε τὸ
» ὑπ' αὐτοῦ ἐγκαλαλειφθῆναι τὸν Νέστορα μηδεμίαν
» εἶναι καθηγεμόνα ὑπολαβεῖν με· ὃς, ἀποσκοπήσας (3)
» τὸν Ὀδυσσέα, σχολαιότερον ἰὼν τῷ τοῦ ἵππου
» περιύμαλι, καὶ τῷ χείνῳ τοῦ γήρως καμών, ὑπὸ
» τοῦ ἑταίρου περιυδόθη. Ταύτην δ' οὐκ ἀπ' ἐμαυτοῦ
» τὴν καθηγεμόνα συντίθημι· κάλλιστα ταῦθ' ὁ Τυ-
» δείδης ἐπίσταται, ὃς, ἐξ ὀνόματος αὐτὸν πολλάκις
» καλέσας, καθήψατό τε τούτου, καὶ ἐπιχότι τῷ
» φίλῳ τὴν φυγὴν ἐξωνείδισε. Δικαίοις ὀφθαλμοῖς οἱ
» θεοὶ τὰ θνητῶν βλέπουσιν· ἀπορήσει (4) νῦν βοη-
» θείας ὁ μὴ ταύτην ὀρέξας, καὶ τὸν ἴσον, ὃν τρόπον
» ἐγκαλέλιπεν, ἐγκαλαλειφθήσεται. Τοῦτον γὰρ ἑαυτῷ
» τὸν νόμον εἰσήνεγκε. Καί τοι συνεκαλεῖτο μὲν οὗτος

(1) Legit *comitatur*, non *comitavit*.

(2) Rem narrat Philostratus Her. pag. 154; sed aliam iræ Ulyssis causam fuisse tradit: vide locum.

(3) Non hæc est latinæ vocis *imploraret* apta versio. Rescribendum forsan, *ἱκετεύσας*.

(4) Hoc futurum sententias prorsus turbat. Scr. vel *ἀπορεῖ δὲ* vel *ἀπόρησε*, et *ἐγκαλαλειπτός ἦν*.

» πολε τοὺς ἑταίρους· ἐγὼ δ' αὐτίκα παρῆν· καὶ
» ὁρῶ τρέμοντά τε καὶ ὠχριῶντα τῷ δέει, καὶ τὸν
» ὅσον οὐκ ἤδη φοβούμενον θάνατον. Ἀντέστησα δὴ
» τὸ τοῦ σάκους ἄχθος, καὶ κείμενον ἔσκεπον,
» καί οἱ διέπρησα (ἐνταῦθα δὴ οὐ (1) τὸ πλεῖστον
» τῶν ἐπαίνων ἐστί) τὴν νωθρὰν ψυχήν. Εἰ τοίνυν
» πρὸς ἐμὲ διαγωνίζεσθαι νῦν ὁρμᾷς, ἐπανίωμεν εἰς
» ἐκεῖνον τὸν χῶρον· ἀπόδος τοὺς ἐχθροὺς καὶ τὴν
» ὄψιν σαυτοῦ (2), καὶ τὸν εἰωθότα σοι φόβον, καὶ
» κρύπτου ὑπὸ τὸ σάκος, καὶ, κλασίας ὑπ' ἐκεῖνο,
» τότε μοι ἀμφισβήτει. Ἐπεὶ δὲ καὶ ἐῤῥυσάμην τοῦ-
» τον, ᾧ τοῦ ἴσασθαι δύναμιν οὐδαμῶς ἐδίδου τὰ
» τεθύμαλα, τότε δὴ φεύγει μηδενὶ βαθύμενος
» τεθύμαλι. Πάρεστι δὲ καὶ ὁ Ἕκτωρ, καὶ σὺν ἑαυτῷ
» τοὺς θεοὺς εἰς τὸν πόλεμον ἄγει, καὶ ὅποιπερ ἂν
» ἐμβάλῃ, οὐ σὺ μόνον, Ὀδυσσεῦ, καὶ Παλαμήδη,
» ἀλλὰ δὴ καὶ οἱ ἄριστοι· τοσοῦτόν τι τοῦ δέους
» Ἕκτωρ ἐφείλκετο. Τοῦτον δ' ἐγὼ, τοῖς εὐτυχή-
» μασι τῶν φόνων σκιρτῶντα, ἐγγύθεν τῷ ὑπερφυεῖ
» ἄχθει (3) ἀναῤῥέψας συνέσχεα. Τοῦτον ἐγὼ, ζηλοῦντα
» μεθ' οὗ μόνος ἀγωνιεῖται, ὑπέμεινα (4)· καὶ τὸν
» ἐμὸν κλῆρον ἔγνωτε, Ἀχαιοὶ, καὶ αἱ ὑμέτεραι
» ὑπερέσχον εὐχαί. Εἰ δὲ καὶ ταύτης ζηλεῖτε τῆς
» μάχης τὴν τύχην, οὐκουν ἐπλεονεκτήθην ὑπὸ τοῦ

(1) Inserui οὐ, vel, pro πλεῖστον, reponendum erit ἐλάχιστον.

(2) Habuit ergo non *vultum*, sed *vultum*, quod conjiciebat Schepperus.

(3) Codex, σάκει, quod mutandum fuit omnino. Lat. *pondere*. Modo ex τῷ ἐγγύθεν patet Planudem legisse *cominus*.

(4) Ut distincta sunt latina, in græcis legi oporteret, μεθ' οὗ ἀγων., μόνος ὑπέμεινα. Mox invenit *novistis*, ἔγνωτε, pro *vovistis*, non perspicue.

» Ἔκτορος. Ἰδοὺ δὲ φέρουσιν οἱ Τρῶες καὶ πῦρ καὶ
» σίδηρον καὶ τὸν Δία καλὰ τοῦ στόλου τῶν Δαναῶν.
» Ποῦ ποτ' ἦν ὁ ῥητορικώτατος Ὀδυσσεύς; Ἀληθῶς
» εἰπεῖν, ἐγὼ ταῖς χιλίαις ναυσὶ τῷ ἐμαυτοῦ στήθει
» ἐπήμυνα, ταῖς ἐλπίσι τῆς ὑμετέρας ὑποστροφῆς.
» Δότε δή μοι τὰ ὅπλα τῶν τοσούτων νηῶν ἕνεκα.
» Καὶ μήν, εἴ μοι τἀληθῆ λέγειν ἔξεστι, τοῖς ὅπλοις
» ἢ ἐμαυτῷ μείζονα ζητῶ τὴν τιμήν, καὶ ἡ ἐμὴ
» κἀκείνων δόξα συνῆπται, καὶ τὰ ὅπλα τὸν
» Αἴαντα, οὐχ ὁ Αἴας τὰ ὅπλα αἰτεῖ. Τούτοις ὁ
» Ἰθακήσιος ἀντιτιθέτω Ῥῆσόν τε καὶ τὸν ἀπει-
» σάλπιγκτον Δόλωνα, καὶ τὸν Πριαμίδην Ἕλενον
» δὺν τῷ ληφθέντι Παλλαδίῳ (1) ἁλωκότα. Ἀλλ'
» ἡμέρας αὐτῷ οὐδὲν διαπέπραχται, οὐδὲν ἀπόν-
» τος τοῦ Διομήδους. Εἰ δ' ἅπαξ τάδε τὰ ὅπλα
» τοῖς οὕτως εὐτελέσι (2) τῶν ἔργων δίδοτε, διέλεσθε
» ταῦτα καὶ ἡ μείζων ἕστω τοῦ Διομήδους μερίς. Τί
» μέντοι πρέπει ταυτὶ τῷ Ἰθακησίῳ; ὃς λάθρα, ὃς
» ἄοπλος ἀεὶ πρᾴττει, καὶ τοῖς δόλοις ἀφύλα-
» κτον ἀπαλᾷ τὸν ἐχθρόν. Αὐτὴ τοῦ χράνους ἡ σιλ-
» βηδὼν ὑπὸ τῷ εὐρίζῳ (3) χρυσῷ σελαγοῦντος
» προδώσει τὴν ἐνέδραν καὶ τὸν κρυπτόμενον φανε-
» ρώσει. Ἀλλὰ γὰρ οὐθ' ἡ Δουλίχιος κεφαλὴ ὑπὸ
» τοῦ Ἀχιλλέως κρίνος τὸ τοσοῦτον σίσει δὴ βά-
» ρος· οὐθ' ἡ βαρεῖα Πηλιὰς αἰχμὴ δύναται μὴ
» δυσβάστακτος τοῖς ἀπολέμοις εἶναι χερσί· οὔτε μὴν

(1) Quæ Gierigius de Palladio notat augeri commode possunt notatis ab Heynio ad Apollod. t. II, pag. 295.

(2) Cod. ἁπλέσι : de permutatione syllabarum α et ευ cf. p. 412.

(3) De χρυσῷ εὐρίζῳ egi in Notit. MSS. t. XI, part. 11, pag. 257, hoc ipso Planudis loco usus, et ad Aristænet.

» ἡ τῷ τοῦ μεγάλου κόσμου καλυπτομένη (1) ἀσπὶς
» σχήματι ἁρμόσει τῇ ἀτόλμῳ καὶ θεὸς κλοπὰς
» γεννηθείσῃ λαιᾷ. Τί τὸ ἐκλῦσον καὶ χαυνῶσόν σε
» ζηλεῖς, ἀδύκιμε, δῶρον; ὅπερ, εἰ πλανηθεὶς ὁ τῶν
» Ἀχαιῶν σοι δῆμος δωρήσεται, ἵνα δὴ σκυλευθῇς
» τοῦτο γενήσεται, οὐχ ἵνα φοβερὸς τοῖς ἐχθροῖς δό-
» ξῃς. Καὶ ἡ μέλλουσα δὴ (2) φυγὴ, καθ' ἣν μόνην
» πάντας, φοφοδεέσταλε, ὑπερβάλλεις, σχολαιοτάτη
» σοι θεὸς γενήσεται, τοσαῦτα ἐφελκομένῳ φορτία.
» Πρόσθες ὅτι τὸ μὲν σὸν τουτὶ σάκος, οὕτω σπα-
» νίως ὑπομεῖναν τὰς μάχας, σῶόν ἐστι· τῷ δ'
» ἡμελέρῳ, ὅπερ τὰ βέλη δεχόμενον μυρίαις πλη-
» γαῖς ἀναπέπλαται, νέον σάκος διάδοχον ἐποφείλεται.
» Ἐπὶ πᾶσι, τίς χρεία τῶν λόγων; ἔργοις διαχρι-
» θῶμεν. Εἰς μέσους τοὺς πολεμίους τὰ τοῦ γενναίου
» ἀνδρὸς ὅπλα ῥιπτέσθω, κἀκεῖθεν αἰτεῖν αὐτὰ
» κελεύσατε, καὶ τὸν ἀναχομίσαντα τοῖς ἀναχομι-
» σθεῖσι κοσμήσατε. »

Συνετέλεσε μὲν τὸν λόγον ὁ Τελαμώνιος παῖς· θεοῦς δέ τις τοῦ δήμου τοῖς τελευταίοις ῥήμασιν ἐπηκολούθει, μέχρις ὁ Λαέρτιος ἥρως ἔστη, καὶ τοὺς ὀφθαλμοὺς, βραχύ τι τῇ γῇ διαλείψαντας (3), ἦρε

(1) Putavit *celatum* clypeum esse *celatum* et absconditum. Dele putidum istud καλυπτομένη, et repone γλυμμένη. Cf. p. 564.

(2) Codex, δὲ, quod mutavi. Lucianus Nigr. 16, ὑφ' ἧς δὲ ῥεούσης.... cod. Reg. 3010, δὴ melius. Ibid. 37, οὕτω δὲ καὶ φιλοσόφων ἀκούοντες.... cod. idem, οὕτω δὴ καὶ οἱ φιλ. et hic melius.

(3) Codex, διαλείψαντες. Sæpe peccatur in finalibus syllabis, ut jam notavi. Sic ad 182, εὐβοϊνὴν ἐπλήρωσε, pro Εὐβοϊκὴν ἐπλήρωσαν: ad 205, μαχρὰν pro μαχρά: ad 263, αὐτῷ pro αὐτήν: ad 359, Ἀτρείδης pro Ἀτρείδου: ad 384, μόνον pro μόνος: ad 535, δυσλυχὲς pro δυσλυχής: ad 552, κοινὸν pro κοινούς: ad 584, λελυμένην pro λελυμένη: ad 658, ἀποσπᾷν pro ἀποσπᾷ.

πρὸς τοὺς ἐν τέλει (1), καὶ, τὴν αὐτοῦ φωνὴν πάντων ἐκδεχομένων, τὴν γλῶτταν ἔλυσε· καὶ τῆς εὐπορίας τῶν λόγων οὔκουν χάρις ἀπῆν.

«Εἰ μὲν τὰς ἐμὰς εὐχὰς ἦν, Ἀχαιοὶ, σὺν ταῖς » ὑμετέραις ἰσχύσαι, οὐδεὶς ἂν ἀρτίως ἐπ' ἀμφι- » βόλοις ἐκληρονόμει τοῦ τοσούτου ἀγῶνος· σύ τε » γὰρ ἂν τοῖς ὅπλοις σαυτοῦ, καὶ ἡμεῖς σοι ἐχρώ- » μεθα, Ἀχιλλεῦ· ἐπεὶ δὲ τοῦτον Μοῖραι ἄδικοι » ἐμοί τε καὶ ὑμῖν ἀπείπαντο» (καὶ ἅμα τῇ χειρὶ ὡσὰν δακρύοντας τοὺς ὀφθαλμοὺς ἀπεμόρξατο), « τίς ἂν ἄμεινον τὸν μέγαν διαδέξαιτο Ἀχιλλέα, » ἢ δι' οὗ τοῖς Δαναοῖς ὁ μέγας ὑπῆξεν Ἀχιλλεύς; » Μόνον μήτε (2) τοῦτον ἡ ἑαυτοῦ φύσις ὠφελείτω, » ἥτις, ὥσπερ ἐστὶ, καὶ ἀμβλυτάτη φαίνεται εἶναι· » μήτε με πάλιν ἡ ἐμαυτοῦ βλαπτέτω, ἥτις » ὑμῖν (3) ἀεὶ δήποτε εἰς ὄνησιν γέγονεν, Ἀχαιοί. Καὶ » τῆς ἐμῆς δὲ τῶν λόγων εὐπορίας, εἴ τίς ἐστιν, ἢ » νῦν μὲν ὑπὲρ ἐμοῦ τοῦ ἑαυτῆς δεσπότου, ὑπὲρ » ὑμῶν δὲ πολλάκις διείλεκται, φθόνος ἀπέστω. Μηδὲ » γάρ τις τὸ οἰκεῖον ἀγαθὸν παραιτείσθω. Καὶ γὰρ » γένος τε καὶ προπάππους, καὶ ἅπερ αὐτοὶ οὐκ » εἰργάσμεθα, μόλις ἡμέτερα ταῦτα καλῶ. Ἀλλὰ » γὰρ, ἐπειδὴ τοῦτ' εἰς μέσον ἤγαγεν Αἴας τὸ Διὸς » ἀπέγγονος εἶναι, καὶ αἵματος δὴ τοῦ ἡμετέρου Ζεύς » ἐστιν ἀρχηγὸς, καὶ τοὺς ἴσους ἐξ ἐκείνου βαθμοὺς » διϊστάμεθα. Καὶ γὰρ ἐμοὶ μὲν ὁ Λαέρτης πατήρ

(1) Locutionem illustravi ad Basilii Scholia p. 59, in t. XI Notit. MSS.

(2) Cod. δάκρυον—Mox, μετὰ cod. pro μήτε, permutatione jam notata pag. 151. Pro ὑπῆξεν, qui de ὑπῆρξεν cogitaret, egregie erraret: ὑπῆξεν, *advenit, successit.*

(3) Codex, ἤ τί ἡμῖν. Mox, pro ὑμῶν, codex ἐμῶν.

» ἐστὶ, τῷ δ' Ἀκρίσιος (1), ἐκείνῳ δὲ Ζεύς· καὶ οὐδεὶς
» ἐν τούτοις ὑπεροψίαν ἢ τινα ζημίαν καταδικάσθη.
» Ἔστι δ' ἡμῖν καὶ πρὸς μητρὸς ὁ Κυλλήνιος, εὐγε-
» νείας ἄλλη πρόσθηκη. Καὶ θεὸς ἐν ἑκατέρῳ τῶν
» τεκόντων ἐστίν. Ἀλλ' οὐθ' ὅτι τῇ μητρώᾳ βλάστῃ
» εὐγενέστερός εἰμι, οὐθ' ὅτι μοι (2) πατὴρ ἐστιν
» ἀδελφικοῦ ἀνεύθυνος αἵματος, τὰ προκείμενα
» ὅπλα ζητῶ. Τοῖς δ' ἡμῶν καλοῦσι τὴν κρίσιν
» οἰκονομήσατε· εἰ μόνον ὅτιπερ ἀδελφοὶ Τελαμών
» τε καὶ Πηλεὺς ἐγένοντο, μηδαμῶς τοῦτο τοῦ
» Αἴαντος εἴη κατόρθωμα, μηδὲ τοῦ γένους κατά-
» λογος, ἀλλὰ τιμὴ τῆς ἀρετῆς ἐν τοῖσδε ζητηθείη
» τοῖς ὅπλοις. Εἰ δὲ καὶ συγγένεια καὶ ὁ πρῶτος
» κληρονόμος ἐπιζητεῖται, ἐστὶν ἐκείνῳ πατὴρ ὁ Πη-
» λεύς, ἐστὶν υἱὸς ὁ Πύρρος. Τίς τόπος ἐνταῦθα τῷ
» Αἴαντι; Πρὸς τὴν Φθίαν ἢ τὴν Σκῦρον κομιζέσθω
» τὰ ὅπλα. Ἔστι δ' οὐδὲν ἧττον τούτου καὶ ὁ
» Τεῦκρος ἀνεψιὸς τῷ Πηλείδῃ· ἀλλ' οὐ μέντοι
» γε τὰ ὅπλα ἐκεῖνος αἰτεῖ· ἢ, εἰ καὶ αἰτήσειε,
» λήψεται (3); Γυμνὸς ἄρα καὶ μόνον τῶν καλοῦ-
» μάτων ὁ ἀγὼν περιέσται. Πλείω μὲν οὖν ἔγωγε
» εἰργασάμην ἢ ὅσα ἂν ἐξ ἑτοίμου μοι τῷ λόγῳ
» διαλαβεῖν γένοιτο· τῇ τάξει δ' ὅμως ἐνεχθήσο-

(1) Latin. *Arcesius*, Ἀρκήσιος.

(2) Codex, μή. Sic ad 749, πῆς pro τῆς. Proclus in tractatu de conscribendis Epistolis, definita Epistola μικτὴ (μικτή ἐστιν, inquit, ἡ ἐκ διαφόρων συνεστῶσα: leg. ἐκ διαφ. χαρακτήρων συν. e codice Reg. 1630), exemplum profert hocce: οἶδα μὲν ὡς εὐσεβῶς ζῆς καὶ σεμνῶς πολιτεύῃ· καί τοι τῆς ἀνεπιλήπτου τε καὶ ἀγνῆς πολιτείας ἀρετῆς, τὸ πελαργόπλουτον αὐτὸ τῆς φιλοσοφίας κοσμεῖς ὄνομα: cod. idem melius: καὶ τῇ τῆς—ἀρετῇ τὸ πελ.

(3) Lectionem vertit codicis sui, recepta, judice doctissimo Editore nostro, meliorem.

» μαι τῶν πραγμάτων. Ἡ τοῦ Νηρέως θυγάτηρ,
» ἡ μήτηρ, λέγω, τοῦ Ἀχιλλέως, προειδυῖα τὸν
» μέλλοντα (1) τῷ παιδὶ θάνατον, μεταῤῥυθμίζει
» τούτῳ σολήν, καὶ καλεσοφίσατο πάντας, ἐν οἷς
» καὶ τὸν Αἴαντα, ἡ τῆς ληφθείσης ἐσθῆτος ἀπάτη.
» Ἐγὼ δ' ὅπλα, ψυχὴν ἀνδρικὴν ἂν κινήσοντα,
» γυναικείοις ἐμπορεύμασιν ἐγκαλέμιξα. Καὶ οὔπω (2)
» μὲν τὴν παρθενικὴν σκευὴν ὁ ἥρως ἀπέθελο· ἐγὼ
» δ' εὐθὺς αὐτῷ δόρατος καὶ ἀσπίδος ἐπαφωμένῳ,
» Παῖ θεᾶς (3), εἶπον, σοὶ καθαιρεθησόμενα τὰ Πέρ-
» γαμα ταμιεύεται. Τί διστάζεις τὴν μεγάλην Ἴλιον
» ἀναιρέψαι; Καὶ δὴ τὴν χεῖρα ἐπέβαλον; καὶ πρὸς
» τὰ γενναῖα τὸν γενναῖον ἐνέβαλον. Ἆρ' οὖν (4) ἐμὰ
» τἀκείνου ἀνδραγαθήματα. Ἐγὼ τὸν Τήλεφον μα-
» χόμενον ἐδάμασα δόρατι, καὶ νικηθέντα καὶ ἱκε-
» τεύοντα πάλιν ἀνεκτησάμην. Ὅπερ αἱ Θῆβαι
» πεπλώκασιν, ἐμόν ἐστιν. Ἐμὲ πεισθῆτε τὴν Λέσβον,
» ἐμὲ τὴν Τένεδον, Χρύσην τε καὶ Κύλλαν, τὰς
» Ἀπόλλωνος πόλεις, καὶ Σκῦρον (5) εἰληφέναι. Τῇ
» ἐμῇ δεξιᾷ νομίσατε εἰς γῆν καταστεισθέντα διαπε-
» πωκέναι τὰ Λυρνήσια τείχη. Καὶ, ἵνα δὴ τοὺς
» ἄλλους (6) σιγήσαιμι, ἐγὼ δέδωκα τὸν δυνηθέντα
» τὸν δεινὸν Ἕκτορα διαφθεῖραι. Δι' ἐμοῦ ὁ περί-
» πυστος Ἕκτωρ κεῖται. Ἐκείνοις οὖν τοῖς ὅπλοις,
» οἷσπερ Ἀχιλλεὺς εὑρήθη, ταυτὶ, τὰ ὅπλα αἰτῶ.

(1) Cod. προειδ. τὰ μέλοντα.
(2) Codex, οὕτω et ἐπίθελο.
(3) Codex, τῶ θεᾶς.
(4) Codex, ἄρ' οὖν.
(5) Vertit sui codicis lectionem *Scyron*. Reponendum, Σῦρον. Facile harum insularum nomina confunduntur : cf. Interpretes ad Apoll. Dysc. Hist. Mirab. c. 5.
(6) Legit *alios*, quam lectionem merito tuetur Editor noster.

» Ζῶντι μὲν γὰρ δέδωκε· μελὰ (1) τὸ πεπρωμένον
» δὲ αὐτῷ. Καὶ μὴν καὶ νῦν τὸ πάθος ἐνὸς τοῦ
» Μενελάου πρὸς ἅπαντας ἔφθασε Δαναούς, καὶ
» τὴν Εὐβοϊκὴν Αὐλίδα αἱ χίλιαι νῆες ἐπλήρωσαν,
» ἐπὶ μήκιστον τοῦ χρόνου οἱ ἄπεμοι προσδοκώμενοι
» ἦτοι οὐδένες ἦσαν, ἢ ἐναντίοι τῷ στόλῳ, καὶ
» κλῆρος ἀπότομος κελεύει τὸν Ἀγαμέμνονα τὴν
» μηδὲν ἡμαρτηκυῖαν παῖδα τῇ θεινῇ θῦσαι Ἀρτέμιδι·
» ἀπαναλύεται δὴ ὁ πατὴρ τοῦτο, καὶ ὀργίζεται δῆτα
» καὶ αὐτοῖς τοῖς θεοῖς, καὶ βασιλεὺς μὲν ἦν,
» πατὴρ μέντοι· ἐγὼ δὲ, λόγοις τὴν τοῦ τεκόντος
» ἐξομαλίσας ψυχὴν, πρὸς τὸ κοινῇ συμφέρον πα-
» ρεπήγαγον· ὃ νῦν γε ὁμολογῶ, καί μοι ὁμολογοῦντι
» συγγινωσκέτω Ἀτρείδης. Δυσχερῆ μὲν οὖν ἔσχον
» ὑπ' ἀδίκῳ δικαστῇ τότε δίκην (2)· ὅμως γε μὴν
» τοῦτον τὸ, τε τῷ δήμῳ συνοῖσον, καὶ ὁ ἀδελφὸς,
» καὶ ἡ τοῦ δεθέντος ὑπεροχὴ σκήπτρου, παρεχέ-
» νησαν ὡς ἀντισταθμήσασθαι τὸν ἔπαινον ἅμαξι.
» Πέμπομαι τοὐντεῦθεν καὶ πρὸς τὴν τῆς χόρης μη-
» τέρα, ἥτις οὐ παρανέσεσιν, ἀλλὰ τεχνάσμασι
» πεφενάκισται. Ἥπερ (3) εἰ ὁ Τελαμώνιος ᾠχέλο,
» ἐνδεᾶ τῶν οἰκείων πνευμάτων ἦν ἂν εἰσέτι καὶ
» νῦν τὰ τῶν τειρῶν ἱστία. Πέμπομαι καὶ πρὸς
» τὰ Τρωϊκὰ τείχη τολμηρόταλος ῥήτωρ, καὶ
» εἶδον καὶ εἰσῆλθον τὰ τῆς ὑψηλῆς Τεγέας βασι-

(1) Codex, μέσον. In latinis, *post fata.*

(2) Latinum, *tenui causam*, hic puto significare, « mihi » agenda causa fuit, lis mihi » fuit. »

(3) Codex, εἴπερ : ad 256, ἐπιλειβῆσαι : ad 615, συγγενεῖ pro συγγενῆ. Julianus Epist. 8 : εἰ δὲ βούλῃ : cod. Reg. 2964, recte, βούλει. Idem mendum tollatur e Joanne Chrys. p. 69 edit. Ducæi.

» λεια· καί γε ταῦτα ἦν ἀνδρῶν ἔτι μεσιά (1)· καὶ
» ἄτρεστος ἤνυσα ἦν (2) μοι τὸ κοινὸν τῆς Ἑλλάδος
» ἐνεξείλατο δίκην. Καληγόρησά τε τοῦ Πάριδος, καὶ
» τά γε ἁρπαγέντα καὶ τὴν Ἑλένην ἀπῄτησα, καὶ
» νουθετῶ (3) τὸν Πριάμου καὶ τὸν τῷ Πριάμῳ συ-
» νημμένον Ἀντήνορα. Ἀλλ' ὅ γε Πάρις καὶ οἱ ἀδελ-
» φοὶ καὶ ὅσοι ὑπ' ἐκείνῳ τὴν Ἑλένην ἥρπακασι,
» μόλις ἐπέσχον τὰς ἀθεμίτους (οἶδας τοῦτο, Με-
» νέλαε) χεῖρας. Καὶ γὰρ ἐκείνη γέγονεν ἡμέρα
» πρώτη τοῦ ἡμετέρου σὺν σοὶ κινδύνου. Μαχεσάμε-
» νοιτ' ἂν διεξιέναι τειβὴ, ὅσα καὶ βουλῇ καὶ χερσὶ,
» τὸν τοῦ μακροῦ πολέμου χρόνον, συμφέροντα
» διεπραξάμην. Μετὰ γὰρ τὰς πρώτας παρατάξεις
» ἐκείνας, ἐν τοῖς τείχεσι τῆς πόλεως σφᾶς αὐτοὺς
» οἱ πολέμιοι συνέσχον ἐπὶ μακρὸν, οὐδὲ τῆς ἀνα-
» πεπταμένης, καὶ φανερᾶς μάχης ἀπήντησεν εὐπο-
» ρία. Τελευτῶντες δὲ τῷ δεκάτῳ πεπολεμήκαμεν
» ἔτει. Τί τοίνυν ἐν τῷ μεταξὺ σὺ διαπράττῃ, ὃς
» οὐδὲν ὅτι μὴ πολέμους ἐπίστασαι; τίνα τὴν χρείαν
» παρείχου; Εἰ γὰρ τὰς πράξεις τὰς ἐμὰς ἀνιχνεύεις,
» ἐλλοχῶ τοὺς ἐχθρούς· ὠχυρώμασι περιζώννυμι τά-
» φρους· παραμυθοῦμαι τοὺς ἑταίρους, ὡς τὴν ἐκ τῆς
» μακρᾶς ἀγανάκλησιν (4) μάχης γαληναίῳ φέρωσιν
» λογισμῷ· διδάσκω τίνα τρόπον τραφησόμεθά τε
» καὶ ὁπλισόμεθα· πέμπομαι ὅποιπερ (5) ἂν ἀπαιτῇ
» τὰ τῆς χρείας. Ἰδοὺ δὲ καὶ πρὸς τὴν τοῦ Διὸς ὑπο-

(1) Inserui μεσιά : *plena virorum.*

(2) Scripsi ἦν pro καί, quod est in codice.

(3) Vertit malam lectionem *moneo.* Lectioni meliori *moveo* respondebit græcum κινῶ, διακινῶ.

(4) Codex, ἀνάκλησιν.

(5) Codex, ὅπνπερ.

» θήκην (1) ἀπατηθεὶς ὁ βασιλεὺς τῷ ὀνείρῳ τῆς
» ὑπηργμένης ἀμελῆσαι κελεύει μάχης· ἀλλ' ὁ μὲν
» ὑπὲρ τῶν ἑαυτοῦ λόγων ἀπολογεῖσθαι δύναται, τὸν
» τούτων ἀρχηγὸν προβαλλόμενος Δία· Αἴας μέντοι
» μὴ συγχωρείτω ταῦτα, ἀλλ' ἀφανίσαι φιλονει-
220 » κείτω τὰ Πέργαμα, καὶ ἐφ' ὅσον οἷόν τε πολε-
» μείτω. Τί δὲ δή ποτε μὴ κατέχει τοὺς μέλλοντας
» ἀπιέναι; τί δὲ δή ποτε μὴ ὅπλα λαμβάνει, ὡς
» ἂν αὐτῷ καὶ τὸ δυσκάθεκτον πλῆθος ἕποιτο. Ἀλλ'
» οὐκ ἦν ὄνειδος τοῦτο (2) τῷ μηδέποτε ὅτι μὴ
» ὑπερβριθῆ φθεγγομένῳ. Τί δ' ὅτι καὶ αὐτὸς φεύ-
» γει (3); Καὶ γὰρ εἶδον καὶ ἠρυθρίασα βλέπων,

(1) Forsan, πρὸς τῆς — ὑποθήκης.

(2) Codex, τούτω, ut ad 307, θαυμάζομεν pro θαυμάζωμεν: ad 504, ὄντως, ubi malui ὄντος. ad 581, ὅπερ pro ᾧπερ: ad 637, λωβούς: ad 829, χιονόδες: ad 847, δένδρων pro δένδρον: ad 896, οὗτος pro οὕτως (cf. pag. 379): ad 932, ἀλῶντας pro ἀλόντας. Sic incipit Callimachea Polemonis Declamatio: τὸν μὲν τῆς πόλεως ἐπαινῶ νόμον, κοσμοῦντα τὸν τῶν ἀγαθῶν ἀνδρῶν τάφον καὶ λόγῳ· ἔργῳ γὰρ εὖ πραχθέντων, λόγοι ῥηθέντες καλῶς εἰσὶ τιμή· ἐμοὶ δὲ αὐτῷ μὲν προσφόρως ἡ τοῦ παιδὸς ἀρετὴ, μακρυτέρα τῆς ψυχῆς γενομένη: codex Reg. 3017, πρόσφορος, quæ mutatio ab Orellio proposita loco medebitur; præterea pro ἔργῳ cod. optime ἔργων, et καλῶς ῥηθ. ordine non pejore. Nicephorus Basilacas Ethop. pag. 176, in Allatii Excerptis: μηδὲν ἀδικῶν, Josephus ait, δοῦλος γίνομαι, καὶ σωφρονῶν παρὰ τούτῳ κολάζομαι. Cod. Reg. 2918, παρὰ τοῦτο, recte. Idem p. 200: ὦ κακοὶ φύλακες, ὦ δορυφόροι πρὸς ὕπνον διωκόμενοι. Vertit Allatius, « o satellites ad somnum decli- » ves. » Malim saltem, πρ. ὕπνων διωκ. « quos somnolentia perse- » quitur et invadit »; sed optime cod. idem, πρ. ὕπνων νικώμενοι, « somno victi. » Vasis marmorei inscriptio in Museo Italico t. I, pag. 24: ΑΝΤΛΗΣΑΤΕ, ΥΔΟΡ, ΜΕΤΑ, ΕΥΦΡΟΣΥΝΗΣ, ΟΤΙ, ΦΩΝΗ, Κ Υ, ΕΠΙ, ΤΩΝ, ΥΔΑΤΩΝ. Curæ pretium non foret, si ΥΔΩΡ fuisse scribendum monerem; utilius notabo alludi ad Isaiæ verba 12, 3: καὶ ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου· et ad Psalm. 28, 3: φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων.

(3) Legit *fugit*, non *fugis*.

» ἡνίκα σὺ τὰ νῶτα ἐδίδους, καὶ ἀτίμως τὰ ἰσχία
» καθήρπιζες. Καὶ μελλήσας μηδὲν, Τί δρᾶτε; τίς
» ὑμᾶς (1) ἐξηνέμωσεν, ἑταῖροι, προσέφην, ἀπόνοια,
» τὴν Τροίαν ἁλοῦσαν καθαλιμπάνειν; Τί δ' οἴκαδε
» μέλλετε τὸ δέκατον ἔτος, ὅτι μὴ μόνον αἰσχύνην,
» κομίζεσθε; Τοιούτοις καὶ ἑτέροις, ἃ με τὰ τῆς
» λύπης τότε δεινὸν ἀπέφηνεν εἰπεῖν, μέλαθρα-
» φέντας ἀντὶ τοῦ φεύγειν ἐκ τῶν νηῶν ἐπανήγαγον.
» Συγκαλεῖται δὲ τοὺς ἑταίρους ὁ Ἀτρείδης ταρβη-
» τομένους, καὶ οὐδὲ νῦν ὁ Τελαμωνιάδης χανεῖν τι
» τολμᾷ. Τολμᾷ δ' ὁ Θερσίτης λόγοις καθικνεῖσθαι
» τῶν βασιλέων, καὶ δι' ἐμοῦ οὔκουν ἀτιμωρήτί γε
» ἰταμὸς ἔδοξεν εἶναι. Διανίσταμαί τε δὴ καὶ δεδοι-
» κότας τοὺς ἑταίρους καλὰ τῶν πολεμίων παρα-
» καλῶ, καὶ τὴν ἀπολωλυῖαν ἐκείνων ἰσχὺν τοῖς
» ἐμαυτοῦ λόγοις ἐπανασώζω. Ἐξ ἐκείνου τοῦ χρόνου
» ὅ,τι πολὺ γενναῖον οὗτος οἷός τέ ἐστι δοκεῖν πεπρα-
» χέναι, ἐμόν ἐστιν ὁρᾶν; ὃς αὐτὸν ἐπανείλκυσα
» νῶτα διδόντα. Ἐπὶ πᾶσι, τίς σε τῶν Δαναῶν ἢ τοι
» ἐπαινεῖ, ἢ αἰτεῖ; Ἀλλ' ὁ Τυδείδης ἐμοὶ τὰς ἑαυτοῦ
» πρόξεις κοινοῦται, ἐμὲ δοκιμάζει, καὶ θαρρεῖ διὰ
» παντὸς ἐφ' ἑταίρῳ τῷ Ὀδυσσεῖ. Ἐστί τι χρῆμα τὸ
» ἐκ τοσούτων τῶν Γραικῶν χιλιάδων ἐμὲ πρὸς τοῦ
» Διομήδους ἕνα μόνον ἐπικριθῆναι· οὐ γάρ με κλῆσις
» ἐκέλευεν ἀπελθεῖν. Ἀλλὰ μέντοι καὶ καλασκοπῶ,
» καὶ ταῦτα τὸν ἐκ τῆς νυκτὸς καὶ τῶν ἐχθρῶν κίν-
» δυνον ἐπικρεμάμενον ἔχων (2), καὶ τὸν τὰ αὐτὰ

(1) Codex, ὑμᾶς: sic ad 136, ἡμῖν pro ὑμῖν: cf. not. p. 310.

(2) Lat. sic eunt: « Sic tamen « et spreto noctisque hostisque » periclo. » Ut sic verteret, puto Planudem non *spreto*, sed *specto*

» ἅπερ ἡμεῖς ἐκ τοῦ Φρυγίου γένους τελομηκότα
» Δόλωνα διεργάζομαι· οὐ μὴν (1) πρότερόν τοι
» πεῖν ἀνακαλύψαι πάντα ἠνάγκασα, καὶ ἔμαθον
» τί πολε ἡ ἀσπονδος βουλεύεται Τεγία. Καὶ ἔγνων
» ἅπαντα, καὶ οὐκ εἶχον ὅ,τι πολὲ πλέον ἂν κα-
» τοπλεύοιμι, καὶ ἤδη τοῖς ἐπαίνοις παρεπεμπόμε-
» νος (2) ἠδυνάμην ἐπανιέναι. Οὐκ ἀπέχρησε δέ μοι
» τοῦτο· ἀλλὰ καὶ πρὸς τὴν τοῦ Ῥήσου σκηνὴν
» ἀπειμι, καὶ, καλὰ τὸ οἰκεῖον σφαλόπεδον αὐτόν
» τε καὶ τοὺς ἑταίρους διεχρησάμην. Καὶ, οὕτω
» τυχὼν τῆς εὐχῆς, ἐπὶ τοῦ ἑαλωκότος ἅρ-
» ματος πρέπειμι νικητὴς, τοὺς ἡδεῖς θεράμβους
» μιμούμενος (3). Οὗ τοίνυν τοὺς ἵππους ὑπὲρ τῆς
» καλασκοπήσεως χρεὼν ὁ πολέμιος ἤτησε, τούτου
» μοι τὰ ὅπλα ἀπαγρεύσαιε, καὶ ἀγαθώτερος ὁ
» Αἴας δοκείτω (4). Τί δ' ἂν διεξερχοίμην τὴν τοῦ
» Λυκίου Σαρπηδόνος φάλαγγα, τὴν τῷ ἐμῷ σιδήρῳ
» ἐπιτριβεῖσαν; Σὺν πολλῷ γὰρ καλέβαλλον αἵματι
» Κοίρανον Ἰφιτίδην, Ἀλάστορα, Χρόμιον, Ἄλκαν-
» δρον, Ἅλιον, Νοήμονά τε καὶ Πρύτανιν, καὶ ὀλέθρῳ
» παρεδέδωκα σὺν Θερσιδάμαντι Θέωνα (5) καὶ Χά-

legisse. Rescribe : ἀλλὰ καὶ ὡς, τοῦ ἐκ τῆς ν. καὶ τ. ἐχθ. κινδύνου καλαφρονήσας.

(1) Codex, μέν. Facilis permutatio. Libanius t. IV, p. 574, 9 : καὶ μὴν ἐν τῷ μοιχὸν εἰπεῖν — Cod. Reg. 3017, καὶ μέν, male.

(2) Legit Planudes *præmissa*, non *promissa*.

(3) Hic lapsus est Poeta, seculi heroici oblitus, suique memor : « Emendaturus, si licuisset, erat. »

(4) Latina, « fueritque beni-» gnior Ajax, » valde sunt obscura. Sensus forsan hicce est: « ipse Ajax vobis, si arma ne-» gaveritis, poterit esse beni-» gnior, nec ea mihi recusare : » tantum mihi est in ea juris. »

(5) Rescribe Θόωνα ex Ovidio et Homero.

» ρωπα, καὶ τὸν κακῇ μοίρᾳ χρησάμενον Ἔννομον, καὶ
» ὅσοι γε ἤτλον ἐπιφανεῖς ὑπὸ τῷ τῆς πόλεως τείχει
» διὰ τῆς ἐμῆς χειρὸς κατακέκληνται. Εἰσὶν, ὦ ἄνδρες,
» καὶ ἐμοὶ τραύματα κατὰ χώραν αὐτὴν διαπρέπον-
» τα. Καὶ μήτοι κενοῖς πιστεύσητε ῥήμασιν. Σκοπεῖτε
» γάρ, ἴδε » (καὶ τῇ χειρὶ τὴν ἐσθῆτα παρήλατε,
καὶ) « τοῦτ' ἔστιν » (εἶπε) « τὸ σῶμα, τὸ τοῖς
» ὑμετέροις ἐναθλοῦν ἀεὶ τραύμασιν. Ἀλλ' ὁ Τελα-
» μώνιος οὐδ' ὁτιοῦν αἵματος ἐπὶ τοῖς ἑταίροις τοὺς
» τοσούτους ἐνιαυτοὺς ἐζημίωται, καὶ ἄτρωτον ἔχει
» τὸ σῶμα. Τί μέντοι τοῦτο γε διαφέρει, ἢν ὅπλα,
» τοῦ σόλου τῶν Πελασγῶν ἕνεκεν, εἰληφέναι δυ-
» σχερείᾳ τοῖς Τρωσί τε καὶ τῷ Διὶ ἐναντία.
» Εἴληφε· σύμφημι. Οὐδὲ γὰρ ἐμόν ἐστι τὰ καλῶς
» πεπραγμένα κακῶς διαβάλλειν. Μόνον μὴ τῶν
» κοινῶν μόνος ἀντιποιείσθω, καὶ δή τινα καὶ ὑμῖν
» ἀποδιδότω τιμήν. Ὁ γὰρ Ἀκτορείδης, τῇ τοῦ
» Ἀχιλλέως εἰκασίᾳ θαῤῥήσας, ἀπώσατο τοὺς
» Τρῶας σὺν Ἕκτορι (1) τῷ προμάχῳ, τῶν νηῶν ἤδη
» καυθήσεσθαι μελλουσῶν. Ναὶ μὴν καὶ οἴεται μόνον
» ἑαυτὸν οὗτος τολμηκέναι τῷ Ἕκτορείῳ συνενεχθῆναι
» πολέμῳ, ἐπιλαθόμενος τοῦ τε βασιλέως καὶ ἡγε-
» μόνος, καὶ ἐμοῦ τοῦδε, ἔνναλος μὲν ἐν τῷ ἔργῳ
» γενόμενος, τῷ δὲ τοῦ κλήρου δώρῳ πρῶτος λαχών.
» Ἀλλ' ὅμως τῆς ὑμετέρας ἔκβασις, ὦ γενναιόταλε,
» μάχης τίς πότε γέγονε; κεκάκωται ὁ Ἕκτωρ πρὸς
» μάλι οὐδενί. Οἴμοι τῷ δυσλήνῳ! πόσας ὀδύνας
» ἐκείνου τοῦ χρόνου ἀναφέρειν ἐπὶ νοῦν ἀναγκάζο-

(1) Ovidius, *cum defensore*, videlicet *Ajace*, nominare noluit. Planudes *defensorem* Troum esse putavit.

» Πλειάδας τε καὶ Ὑάδας, καὶ τὴν ἀμοιβοῦσαν
» ὕδαλος Ἄρκτον, τάς τε διαφόρους πόλεις, καὶ τὸ
» φαεινὸν ξίφος Ὠρίονος. Αἰτεῖ μέντοι λαβεῖν ἃ
» μηδαμῶς συνίησιν ὅπλα. Τί δ' ὅτι με τὰ τοῦ
» δεινοῦ πολέμου δῶρα φεύγοντα ὄφελιμον τῷ ὑπηρ-
» μένῳ (1) προσελθεῖν ἀγῶνι ὠνείδισε; Καὶ οὐδ'
» ἠσθετο ἑαυτοῦ, κακῶς τὸν μεγαλόφρονα λέγοντος
» Ἀχιλλέα. Εἰ γὰρ τὸ ὑποκρίνασθαι κακίαν καλεῖ,
» ἀμφω ὑπεκρινάμεθα· εἰ τὸ μελλῆσαι πλημμε-
» λείας ἐστὶν, ἐγὼ θᾶττον ἐκείνου παρεγενόμην. Κἀμὲ
» οὖν φιλόστοργος ἐπεῖχε γυνὴ, τὸν δ' Ἀχιλλέα καὶ
» τὰ αὐτὰ φιλόστοργος μήτηρ· καὶ τῇ μὲν δέδωκα
» τὰ πρῶτα τοῦ χρόνου, ὑμῖν δὲ δὴ τὰ λοιπά.
» Οὐκ ἂν μὲν οὖν φοβοίμην, εἴγε μὴ δυναίμην ἀπο-
» λύσασθαι ἤδη τὸ ἔγκλημα, τὸ κοινόν μοι σὺν
» τοσούτῳ ἀνδρί. Ἑάλω μέντοι ταῖς Ὀδυσσέως
» ἐπινοίαις ἐκεῖνος; οὐχὶ ταῖς Αἴαντος Ὀδυσσεύς.
» Ἀλλὰ μηδὲ θαυμάζωμεν τοῦτον κολαχέαντά μου
» τὰς τῆς ἀνοήτου γλώττης αὐτοῦ βλασφημίας·
» ἄξια γὰρ αἰσχύνης καὶ ὑμῖν ἐγκαλεῖ. Ἢ τὸ ψευδῆ
» κληδόνα καὶ ληκυθορηκέναι τοῦ Παλαμήδους ἐμοὶ μὲν
» αἰσχρὸν ἐστὶ, τοῖς δὲ κολαφισαμένοις ὑμῖν εὐ-
» πρεπές; Ἀλλὰ γὰρ οὔθ' ὁ Ναυπλιάδης τὴν
» τηλικαύτην καὶ οὕτως ἀνακεκαλυμμένην αὐτοῦ
» ῥᾳδιουργίαν ἀποσκευάσασθαι ἠδυνήθη, οὔθ' ὑμεῖς
» ἠκούσατε τὴν κατ' ἐκείνου αἰτίαν· ἀλλ' εἴδετε, καὶ
» τῷ τιμήματι τὰ ἐγκλήματα κατεφαίνετο. Ἀλλ'
» οὐδ' ὅτι τὸν Ποιαντίδην ἡ Λῆμνος ἡ τοῦ Ἡφαί-

(1) Codex, ὑπισμένῳ. Supra codex exhibuit ὑπησμένων, eodem pag. m. 402, sic pro ὑπηρσμένων mendo.

» τὴν σωματικὴν ἀπωσάμενος ῥώμην (1), κἀ τοσοῦτον
» τῶν σῶν κρατήσω (εἴη δ' εὐμενὴς ἡ τύχη) βελῶν,
335 » ὅσον τοῦ Δαρδανίου μάντεως, ὃν ἐζώγρησα, ἤδη
» κεκράτηκα, ὅσον τοὺς θεῶν χρησμοὺς καὶ τὰς
» Τρωϊκὰς ἀνεκάλυψα μοίρας, ὅσον τῆς Φρυγίας
» Ἀθηνᾶς τὸ διοπετὲς Παλλάδιον ἐκ μέσων τῶν πο-
» λεμίων ἥρπασα. Καὶ νῦν ὁ Αἴας ἑαυτὸν ἐμοὶ παρα-
» βάλλει! Καὶ γὰρ ἐκτὸς ἐκείνου ληφθῆναι τὴν Τροίαν
340 » τὰ τῶν Μοιρῶν διεκώλυε. Ποῦ τοίνυν ἐστὶν ὁ
» ῥώμης ἔμπλεως Αἴας; ποῦ τὰ τοῦ μεγάλου ἄν-
» δρος ὑπέρογκα ῥήματα; Τοῦ χάριν ἐνταῦθα δει-
» λιᾷς; τοῦ χάριν Ὀδυσσεὺς ἀποτολμᾷ πρὸς
» νυκτοφυλακήσεις ἐξέρχεσθαι, καὶ ἑαυτὸν τῇ νυκτὶ
» παρατίθεσθαι, καὶ διὰ φόβου ξιφῶν οὐχ ὅτι τὰ
» τείχη τῆς Τροίας, ἀλλὰ καὶ αὐτὴν τὴν ἀκρόπολιν
345 » εἰσιέναι, κἀκ τῆς οἰκείας ἁρπάζειν τὴν θεὰν καθι-
» δρύσεως, καὶ ἁρπαγεῖσαν διὰ τῶν ἐχθρῶν φέρειν;
» Ἅπερ εἰ μὴ πεποιήκειν αὐτὸς, μάτην ὁ Τελα-
» μῶνος υἱὸς ἐβάστασε τῇ λαιᾷ τὰ τῶν ἑπτὰ βοῶν
» νῶτα. Ἐν ἐκείνῃ δέ μοι τῇ νυκτὶ τῆς Τροίας ἡ νίκη
» πεπόρισται· τηνίκα δὲ ἐχειρωσάμην τὰ Πέργαμα,
350 » ἡνίκα χειροῦσθαι πεφυκέναι ἠνάγκασα. Παῦε τὸν
» ἐμὸν Τυδείδην καὶ βλέμματι καὶ ὑποφθέγμασιν
» ἡμῖν ἐνδεικνύμενος. Ἔστι κἀκείνῳ μερὶς τῶν ἐπαί-
» νων οἰκεία. Οὐδὲ γὰρ οὐδὲ σὺ μόνος ἐτύγχανες
» ὢν, ἡνίκα τὸ σάκος ὑπὲρ τοῦ συνόντος σοι στόλου
» κατεῖχες. Καί τοι σοι μὲν στρατὸς ὅλος εἰς ἑται-

(1) Pro lectione sana satis *longe formidine pulsa*, nempe πόρρω τὸν φόβον ἀπωσάμενος, videtur Planudes legisse *fortitudine*, pessime; hanc enim lectionem sensus et metrum respuunt.

» ρείαν, ἐμοὶ δ' εἷς μόνος διελαγχάνει, ὃς, εἰ μὴ
» τὸν πολεμιστὴν ἥτορα τοῦ σοφοῦ ὄντα ἐγίνωσκε,
» καὶ μὴ δεῖν ἐγίνωσκε (1) τῇ ἀπτήκτῳ χειρὶ τὰ
» γέρα, τῇ δ' ἀπτήκτῳ φρενήσει, καὶ αὐτὸς ἂν
» ἦτει τὰ ὅπλα· ἦτει καὶ ὁ μελεώτερος Αἴας, καὶ
» ὁ ὀξὺς Εὐρύπυλος, καὶ ὁ τοῦ περιφανοῦς Ἀνδραί-
» μονος (2) παῖς· οὐδὲν δ' ἧττον καὶ Ἰδομενεὺς ἦτει,
» καὶ ὁ τῆς αὐτῆς αὐτῷ παλαίδος σφετλθὼν Μη-
» ριόνης, καὶ ὁ ἀδελφὸς Ἀτρείδου τοῦ μείζονος. Ἀλλ'
» οἱ ἄριστοι τὴν χεῖρα, καὶ καλ' οὐδέν σοι δεύτερα
» πρὸς τὰς μάχας, τοῖς ἐμοῖς ὑπείξαν βουλεύμασι.
» Σοὶ μὲν γὰρ ὠφέλιμός ἐστιν ἐν πολέμῳ δεξιά,
» ἐμοὶ δ' ἐπιστήμη, ὥστε τῇ σῇ χειρὶ τῆς ἡμελέρας
» δεῖ διεξαγωγῆς (3). Καὶ σὺ μὲν ῥώμην λογισμῶν δίχα
» κομίζεις· ἐμοὶ δὲ φρενῖτις τοῦ μέλλοντος γένεται.
» Σὺ μὲν μάχεσθαι δύνῃ· τὸν δὲ τοῦ μάχεσθαι
» καιρὸν σὺν ἐμοὶ Ἀτρείδης ἐκλέγεται. Σὺ τῷ σώματι
» μόνον λυσιτελεῖς· ἡμεῖς δὲ καὶ τῇ διανοίᾳ. Καὶ ὅσῳ
» κυβερνήτης ὑπερέχει τῆς ἐρετῶν ἐργασίας, καὶ ὅσῳ
» μείζων στρατηγὸς στρατιώτου, τοσούτῳ καὶ ἐγὼ
» σοῦ προέχω. Ναὶ γὰρ ἐν τῷ ἡμελέρᾳ σώματι,
» νοῦς ἐστὶ τῆς χειρὸς ἰσχυρότερος, καὶ ῥώμη πᾶσα
» εἰς ἐκεῖνον ἀπήρεισται. Ἀλλὰ ὑμεῖς, ὦ δημο-
» γέροντες, δότε τῷ ὑπὲρ ὑμῶν ἀγρυπνοῦντι τὸ
» γέρας, καὶ, ἀντὶ τῶν ἐν τοῖς τοσούτοις ἐνιαυτοῖς
» φρενιτίδων, ἃς σὺν ὀδύνῃ διήνυσα, τοῦτο μοι ἀπό-

(1) Lat. « nec indomitæ *de-* » *beri* præmia dextræ. » Videtur legisse male *debere*, et inde scripsit δεῖν. Repone, καὶ μὴ ὀφείλεσθαι ἐγίνωσκε—

(2) In latinis, pro *Andremone*, malim *Andræmone*.

(3) Ad latinorum ductum, scribendum: . . . . . δεξιὰ, ῥώμη δὲ ἡ τῆς ἡμελέρας. . . . .

» δὸς τὸ ἐπίγραμμα, τοῖς ἐμοῖς αὐτὸ καλορθώ-
» μασιν ἀντιταλαντεύσαντες. Ἤδη γὰρ πρὸς τέλος
» ὁ τοῦ πολέμου πόνος ἐστὶ, καὶ τὰς ἀντικαθημένας
» ἡμῖν ἀπεσόβησα μοίρας, καὶ τὰ ὑψηλὰ Πέργαμα
» δύνασθαι πορθηθῆναι, καὶὰ μικρὸν αὐτὸς πορθῶν,
» παρεσκεύασα (1). Πρὸς τῶν ἐλπίδων τοιγαροῦν αἷς
» νῦν σύνεσὶ, καὶ τῶν πεσουμένων τῆς Τροίας τει-
» χῶν, καὶ πρὸς τῶν θεῶν οὓς ἄρτι τῶν ἐχθρῶν ἀφει-
» λόμην, δέομαι, καὶ πρὸς εἴ τι περ ὑπολέλειπται
» φρονίμως καὶ σοφῶς μελαχειρισὶέον, εἴ τι περ ἔτι
» τολμηρὸν καὶ ἐπίχρημνον αἰτηθήσεται, εἴ τι (2)
» τῶν μοιρῶν τῆς Τροίας ἔτι περιεῖναι νομίζεις,
» ποιήσασθέ μου μνήμην· ἢ, ἢν ἐμοὶ μὴ δίδῶτε τὰ
» ὅπλα, τούτῳ δότε. » Καὶ ἔδειξε τὸ μοιραῖον
Παλλάδιον.

Ἐκινήθη δὴ τῶν ἐν τέλει ἡ χεὶρ, καὶ ὅ,τί πολ' ἂν ἡ
εὐγλωττία δύναιτο τότε διαφανὲς γέγονε, καὶ τὰ
τοῦ γενναίου ἀνδρὸς ὅπλα ὁ ἀγχίνους εἱλήφει. Ὁ
δὲ τὸν Ἕκτορα μόνος καὶ σίδηρον καὶ πῦρ καὶ τὸν
Δία τοσάκις ὑπομείνας, ὀργὴν μίαν οὐκ ἤνεγκε, καὶ
τὸν ἀκίνητον ἄνδρα ἡ λύπη νενίκηκεν. Ἀφαρπάζει
δῆτα τὸ ξίφος, καὶ, « Τοῦτο γοῦν ἐμόν ἐστιν » εἶπε
« τῷ ὄντι· ἢ καὶ τοῦτο ἑαυτῷ αἰτήσεται Ὀδυσσεύς;
» Τούτῳ μοι χρησέον ἐν ἐμαυτῷ, καὶ τὸ πολλάκις
» τῷ τῶν Φρυγῶν λύθρῳ διαβεβαχὲν, τῷ τοῦ δεσπό-
» του νῦν φόνῳ διαβεβαχήσεται, ὡς ἂν μηδεὶς δύ-
» ναιτο τοῦ Αἴαντος, ὅτι μὴ ὁ Αἴας, περιγενέσθαι. »
Εἶπε, καὶ εἰς τὸ σέρνον, τότε δὴ πρῶτα τρωθὲν, ἧ

(1) Alius est latin. sensus, σθαι πορθ. παρεσκευάσας, ἐπόρθησα, hic nempe: καὶ τὰ ὑψ. Π., δυνα-

(2) Addidi π.

δὴ (1) τῷ σιδήρῳ τρωτὸν διεφαίνετο, τὸ θανάσιμον ἔκρυψε ξίφος. Οὐχ ἡ χεὶρ οἵα τε ἐγένετο τὸ ἐμπαγὲν βέλος αὖθις ἐξαγαγεῖν· ἐξηκόντισέ γε μὴν ὁ λύθρος αὐτός· καὶ ἡ γῆ, φοινιχθεῖσα τῷ αἵματι, πορφυροῦν ἄνθος ἐκ γῆς χλοαζούσης ἀνῆκεν, ὃ πρόσθεν καὶ ἐκ τοῦ Οἰβαλίου τραύματος ἀνεβλάστησε. Καὶ ἐν μέσοις τοῖς φύλλοις τοῦ ἄνθους ἐγγέγραπται γράμματα κοινὰ τῷ παιδί τε καὶ τῷ ἀνδρὶ, Ὑακίνθῳ λέγω καὶ Αἴαντι (2), τούτῳ μὲν τοῦ ὀνόματος, ἐκείνῳ δὲ τῆς ἀγανακτήσεως.

Κρατήσας τοίνυν ὁ Ὀδυσσεὺς πρὸς τὴν Ὑψιπύλης πατρίδα καὶ τοῦ περιφανοῦς Θόαντος, καὶ τὴν δεδυσφημένην γῆν τῷ φόνῳ τῶν γεραιτέρων ἀνδρῶν, διεπεραιώθη. Καὶ τέλος, τυχὼν τοῦ τε λιμένος καὶ τῆς εὐχῆς, αἴρει τὰ ἱστία, ὡς τὰ Τιρύνθια (3) τοῦ Ἡρακλέους ἐπανακομίσειε βέλη. Ἅπερ ἐπειδὴ πρὸς τοὺς Ἀχαιοὺς ἐπανήγαγε, συνεπομένου καὶ Φιλοκτήτου, καὶ βραδέως μὲν, ὅμως δὲ τελευταία τῷ πολέμῳ χεὶρ ἐπετέθη, Τροία μὲν καὶ Πρίαμος ἅμα πεπτώκασιν· ἡ δὲ τοῦ Πριάμου ταλαίπωρος σύζυγος ἀπώλεσε μετὰ πάντα καὶ τὴν ἀνθρώπου μορφὴν, καὶ χώρους ἀλλοτρίους καιναῖς κατέπληξεν ὑλακαῖς, ᾗπερ ὁ μακρὸς Ἑλλήσποντος εἰς στενὸν συγκλείεται.

Ἡ μὲν Ἴλιος (4) ἐνεπίμπρατο, καὶ τὸ πῦρ οὔπω ἐλώφησε, καὶ τὸ βραχὺ Πριάμου τοῦ γέροντος

(1) Cod. ἤδη. Mox οἷά τε, vitio solenni, ut et infra ad 660.

(2) Verba Ὑακ.—Αἴ. addidit e suo penu Planudes, hic commentatorem agens, non interpretem fidum.

(3) Codex, τερμύθια : in lat. *Tirynthia*.

(4) Vulgo sic distinguunt : «Externasque novo latratu terruit auras. Longus in angustum qua clauditur Hellespon-

αἷμα ὁ τοῦ Διὸς βωμὸς πέπωκε. Καὶ ἡ τῷ Φοίβῳ κάτοχος Κασάνδρη, τῶν τριχῶν ἑλκομένη, ἀνονήτους ἀνέτεινε πρὸς τὸν αἰθέρα παλάμας. Τὰς δὲ Δαρδανίους μητέρας τὰ τῶν πατρῴων ἔδη θεῶν περιβαλλούσας ἕως ἐξῆν, καὶ τοὺς ὑποτυφομένους ναοὺς κατεχούσας, οἱ νενικηκότες εἷλκον Γραικοὶ, γέρα ἐπίφθονα. Ῥίπτεται δὲ καὶ Ἀστυάναξ πύργων ἐξ ἐκείνων, ὅθεν μαχόμενον ὑπὲρ αὐτοῦ, καὶ τὴν ἀνέκαθεν βασιλείαν ἀσφαλιζόμενον, πολλάκις ὑπὸ τῆς μητρὸς τὸν πατέρα δεικνύμενον βλέπειν εἰώθει. Ἤδη δὲ καὶ ὁ Βορρᾶς ὑπαγορεύει τοῖς Ἕλλησι πλοῦν, καὶ οὐρίῳ πνεύματι διηχεῖ τὰ ἱστία κινούμενα, καὶ κελεύει χρῆσθαι τοῖς ἀνέμοις ὁ ναύτης. Αἱ δὲ Τρωάδες, « Τροία, χαίροις· ἁρπαζόμεθα » καὶ γάρ », ἀνακράγουσι, καὶ διδόασι τῇ γῇ φιλήματα, καὶ τοὺς τῆς ἐνεγκαμένης οἴκους καπνιζομένους ἐκλείπουσιν. Τελευταία δὲ κάτεισιν εἰς τὸν στόλον, οἰκτρὰ τὴν ὄψιν Ἑκάβη, ἐν μέσοις τάφοις εὑρεθεῖσα τῶν τέκνων, ἣν, τῶν μνημάτων τε δραττομένην καὶ τοῖς ὀστοῖς διδοῦσαν φιλήματα, αἱ Δουλιχίαι χεῖρες ἀφείλκυσαν. Ἑνὸς μέντοι τοῦ Ἕκτορος καὶ κόνιν ἀνείλετο, καὶ, ἀνελομένη, συνελκομένη (1) ἐπὶ τοῦ κόλπου φέρει. Ἐν τῷ τάφῳ τοῦ Ἕκτορος καὶ τὸν πολιὸν τῆς κεφαλῆς πλόκαμον ἐναγίσματα πτωχὰ, τὸν πλόκαμον καὶ δάκρυα καταλείπει.

» tus, Ilion ardebat. » Sed Ilium non fuit situm in Hellespontiaci freti angustiis, qui fuit Cynossematis situs. Distinctione mutata melior nunc est sententiarum ordo.

(1) Forsan, συνελκομένην. Sed vereor ut locum intellexerit.

Ἔστι δέ τις ἀντίπορθμος τῇ Φρυγίᾳ, ὅπουπερ ἦν
430 ἡ Τενία, γῆ, Βιστονίοις ἀνδράσι συνοικουμένη, ἔνθα
τὰ τοῦ Πολυμήστορος (1) τὰ βαθύπλουτα βασίλεια
ἦν, ᾧ σε, Πολύδωρε, ὁ πατὴρ τεκμησόμενον ὑπε-
ξέθετο, καὶ τῶν Φρυγίων ὅπλων μεθέστησε, βουλὴν
ποιῶν συνετὴν, εἰ μὴ καὶ, γένους τοῦ τολμήματος,
πλεῖστα χρήματα προστεθείκει, φιλαργύρου ψυχῆς
435 ἐρεθίσματα. Καὶ γὰρ τῶν Φρυγῶν τύχης πεσούσης,
λαμβάνει ξίφος ὁ τῶν Θρᾳκῶν ἀσεβὴς βασιλεύς,
καὶ καθίησι τοῦτο τῆς τοῦ τεκμήμου σφαγῆς. Ὡς
ἂν δὲ συναφανισθῆναι τῷ σώματι πεφυκότος τοῦ
πλημμελήματος, ἐκπεπνευκότα τοῦτον ἀπὸ σκο-
πέλου πρὸς τὴν ὑποκειμένην ἀφῆκε θάλατταν. Τοῦ
δ' Ἀτρείδου τὰ τοῦ σίτου πείσματα (2) τῆς Θρᾳ-
440 κίας ἠϊόνος ἐξαφαμένου, ἠνίκα τό, τε πέλαγος γα-
ληναῖον καὶ τὰ πνεύματα μαλακώτερα, ἐξαπίνης
ἐνταῦθα, ὁπόσος καὶ ζῶν εἶναι εἰώθει, ἐξῄει (3) τῆς
γῆς Ἀχιλλεὺς ἀναῤῥηγνυμένης εἰς εὖρος, καὶ, ἐοικὼς
ἀπειλοῦντι, τὸ κατ' ἐκεῖνο τοῦ καιροῦ πρόσωπον
ἀνελάμβανε, καθ' ὃν ἀγειάνας ἄδικα ξίφη καὶὰ
445 τοῦ Ἀγαμέμνονος ὥρμα. Καὶ, « Ἀμνήμονες ἐμοῦ »
φησὶν, « ἀπαίρετε, Ἀχαιοὶ, καὶ συγκαλωρύχθη μοι
» καὶ ἡ δόξα τῆς ἀρετῆς ἐμαυτοῦ; οὐδὲ πρόνοιαν
» ποιεῖσθέ τινα, ὡς ἂν ὁ ἐμὸς τάφος μὴ εἴη ἀγέ-
» νεστος (4); Ἡ Πολυξένη τυθεῖσα τὴν Ἀχιλλέως
» ἐξομαλίσει ψυχήν. » Εἶπε, καὶ τῶν ἑταίρων τῷ

(1) Cod. Πολυμήστορος, errore in hoc nomine solito.

(2) Cod. πύσματα.

(3) Codex, ἐξείη: cf. p. 466.

(4) Legebat, idque male, « Nec facitis ut meum non sit « sine honore sepulcrum. » Repone : μὴ τοῦτο. Καὶ ὡς ἂν ὁ— ἀγένεστος, ἡ Πολ. — ἐξομαλίσαιτο: ad latina, « Ne facite. Utque .....

φονῶντι πειθαρχησάντων εἰδώλῳ, ἁρπαγεῖσα τῶν τῆς μητρὸς κόλπων, ἣν δὴ τό γε νῦν ἔχον μόνη ἐψυχαγώγει, ἡ ἀνδρεία βαρυδαίμων αὕτη παρθένος, καὶ πλέον ἢπερ (1) γυνὴ, ἄγαλμα πρὸς τὸν τάφον, καὶ τῷ δεινῷ μνήματι γένεια θῦμα. Ἥτις ἑαυτῆς αὐτὴ μνημονεύουσα, ἐπειδὴ τῷ χαλεπῷ παρέστη βωμῷ, καὶ ἡσθέλο ἑαυτὴν πρὸς ἀπάνθρωπον ἑτοιμαζομένην θυσίαν, καὶ τὸν Νεοπτόλεμον εἶδεν ἑστῶτα καὶ τὸ ξίφος καλέχοντα, καὶ τῷ αὐτῆς προσώπῳ τοὺς ὀφθαλμοὺς ἀπερείδοντα, « Χρῶ τῷ ἀνέκαθεν » εὐγενεῖ » φησὶ « σπέρματι (2), καὶ, μηδὲν μελλήσας, ἤτοι τῇ σφαγῇ ἢ τῷ στέρνῳ κρύπτε μοι » τὸ ξίφος. » Καὶ τήν τε σφαγὴν ὁμοῦ καὶ τὸ στέρνον ἀπεκάλυψε. « Δῆλον γὰρ ὡς οὐδενὶ θελήσαιμ' ἂν » ἡ Πολυξένη δουλεῦσαι. Ἀλλ' οὐδὲ (3) διὰ τοιούτου » θύματος τινὰ τῶν θεῶν ἱλεώσεσθε. Εὐξαίμην δ' » ἂν μόνον τὸν ἐμαυτῆς θάνατον τὴν μητέρα λαθεῖν. » Μήτηρ μόνη ἐμποδὼν ἰσταμένη τὴν ἡδονὴν ἀχρωτηριάζει μοι τοῦ θανάτου· εἰ καὶ μὴ οὐμὸς φόνος » ἐκείνη, ἀλλ' ὁ βίος ἑαυτῆς οἰμωγῆς ἐστὶν ἄξιος. » Ὑμεῖς μόνον, ὡς ἂν ἐλευθέρα πρὸς τὰς ὑποστύγιους ἀπίω ψυχὰς, ῥᾳδίως ἴστασθε, καὶ, εἰ » δίκαια ἀξιῶ, τὰς ἀνδρώας χεῖρας τῆς παρθενικῆς » ἀφῆς ἀποστήσατε. Εὐπρεπέστερον γὰρ ἐκείνῳ, » ὅστις πολέ ἐστιν, ὃν τῷ ἐμῷ φόνῳ ἐξευμενίσασθαι » εὐτρεπίζεσθε, ἐλεύθερον μεῖναι, τοὐμὸν αἷμα γε» νήσεται. Εἰ μέντοι καί τινας τὰ τελευταῖά μοι » τοῦ στόματος ῥήματα κάμπτει, ἡ τοῦ βασιλέως

(1) Cod. ἤπερ. Lat. *plus quam.* *semine*, non *generoso sanguine?*
(2) Habuitne Planud. *generoso* (3) Bis legit *haud* pro *aut.*

» Πελάμου θυγάτηρ, νῦν δ' αἰχμάλωτος (1), ὑμῶν
» δεῖται· τῇ μηδὲ τὸ σῶμα σεσῖται ἀπόδοτε (2),
» μηδὲ σείαιτο χρυσοῦ τὴν τῆς ταφῆς οἰκέσειν
» ὁσίαν, ἀλλὰ δακρύων. Τότε γὰρ ὅτ' ἐδύατο,
» καὶ χρυσοῦ ἐλύεσθτο. » Εἶπε, καὶ ὁ δῆμος, ἅπερ
475 ἐκείνη κελεῖχε, δάκρυα οὐ κελέσχεν. Ἀλλὰ καὶ
αὐτὸς ὁ ἱερεύς, δακρύων τε καὶ ἠναλκασμένος, ἅπερ
ἐμπαρέσχεν ἐκείνη περικάρδια, τὸ ξίφος ὠσας,
ἀνέρρηξεν. Ἡ δ', ἐπὶ τῆς γῆς, τῶν γονάτων ἐκλι-
πόντων, καλολισθήσασα, ἄτρεστον τὴν ὄψιν καὶ
παρὰ τὴν ἐσχάτην διέλιπησε μοῖραν. Τότε δὲ καὶ
πιπλούσιη σεμνοια ἦν κρύπτειν ἃ κρύπτειν μέρη
480 χρεών (3), καὶ τῆς σώφρονος αἰδοῦς τὴν εὐσχημοσύνην
φυλάττειν. Αἱ τοίνυν Τρωάδες ἀναιρεῦνται τὸ σῶμα,

(1) Habuit vulgatam lectionem, « *nunc* captiva. »

(2) Codex, ἀπόδοσθε, quod mutavi. Error est, puto, librarii. In latinis, *reddite*, non *vendite*. Hanc τοῦ ἀποδιδόναι, et ἀποδίδοσθαι differentiam attigi ad Philostr. Her. p. 287, et in Notitt. MSS. t. XI, part. II, pag. 33, 151. Adde Flor. Christ. ad Pac. pag. 132; Beck. ad Aves, 17; Gail. in Philol. t. II, p. 297.

(3) De hoc cadentium pudore vide Gierigii notam, e cujus verbis fere crederes Klotzium ad Tyrt. pag. 19 (non pag. 63) sua ex Cortio et Gesnero ad Plin. sumsisse, quum ex ipso Klotzio hanc Cortii et Gesneri mentionem Gierigius sumserit. Pollianus, Polycleteam tabulam de Polyxenæ morte describens, ἴδ' ὡς πέπλοιο ῥαγίτης, Τὰν αἰδῶ γυμνὰν σώφρονι κρύπτε πέπλῳ: ubi conf. Jacobs. Multus est in his similibus Boden. ad Achill. Tat. 9; sed Klotzium flagitiose expilavit. Nilus Narr. 4, p. 47: οὕτως ὁ μακάριος πρέμα δοκηθεὶς καπέπεσεν ἐπὶ σχήματος εὐπρεποῦς, οὐδὲν οὔτ' ἀναιρέσεως, οὔτε γυμνώσεως ἐπιδειξάμενος ἄσχημον. Possunt videri quoque Barnes. ad Heracl. 561; Holsten. ad Pass. S. Perpetuæ pag. 178; Pitisc. ad Suet. Cæs. 82; Costar. in suis et Vetturii Conloquiis p. 157. Atque opportune Gierig. notat Ovidio hic Euripidem esse obversatum; qui est et Planudi obversatus: sed hanc comparationem jam instituerant Cruceus, et Bern. Martin. Variar. Lectt. II, cap. 18.

καὶ τοὺς θρηνηθέντας ἀναπεμπάζουσι (1) Πελαμίδας, καὶ πόσον τι τοῦ αἵματος εἰς οἶκος παρέσχεθο (2). Καί σε δὲ κλάουσιν, ὦ παρθένε, καί σε δὲ, ὦ μικρῷ πρόσθεν βασίλεια, σύνευνος ὀνομαζομένη καὶ βασίλεια μήτηρ, Ἀσίας τῆς εὐδαίμονος πρόσχημα, νῦν δὲ λείας φαυλὴ μερὶς, ἣν ὁ κρατήσας Ὀδυσσεὺς οὐκ ἂν αὐτῷ γενέσθαι ἠθέλησεν, εἰ μὴ ὅτιπερ εἰς φῶς τὸν Ἕκτορα τεκοῦσα προήνεγκε. Μόλις εὕρέτο τῇ μητρὶ δεσπότην ὁ Ἕκτωρ. Ἦ δὴ, καὶ κενὸν τῆς οὕτω γενναίας ψυχῆς τὸ σῶμα περιβαλοῦσα, ἃ τοσαυτάκις τῇ τε παιδὶ δέδωκε καὶ τοῖς τέκνοις καὶ τῷ ἀνδρὶ, καὶ ταύτῃ δίδωσι δάκρυα· δάκρυα τῆς πληγῆς κολαχεῖ, καὶ φιλήματα παρέχει τῷ στόματι, καὶ τὰ συνειθισμένα τύπτεται στέρνα· καὶ τὴν πολιὰν ἑαυτῆς ἐμπεπηγότι κολινδοῦσα τῷ λύθρῳ, πολλὰ μὲν, ἀλλὰ καὶ τάδε, δρυπτομένη (3) τὸ στέρνον,

(1) In codice est ἀναπιπάζουσι.

(2) Ovidius: « Et quid dederit » domus una cruoris. » In memoriam hæc legenti mihi rediit scriptoris sententia, dulcibus abundantis vitiis: « Les reines » ont été vues pleurant comme » de simples femmes, et l'on s'est » étonné *de la quantité de larmes* » *que contiennent les yeux des* » *rois.* » Idem alibi, non multo sanius: « Si tu souffres plus qu'un » autre des choses de la vie, il » ne faut pas t'en étonner; une » *grande ame doit contenir plus* » *de douleurs qu'une petite.* » Hæc sensus physici verborum cum sensu morali atque figurato mixtura et synchysis percellit quidem legentis animum, sed attentius advertenti displicet. Magna enim anima minus est doloris capax, quum sit supra casus humanos elata, et telum contra aspera ingens habeat philosophiam et rerum contemnendarum contemtum. Pylades, quum Hylas magnum Agamemnonem absone saltaret gestuque extenso quasi metiretur, e cavea clamavit, « Non *magnum* » facis, sed *longum* »; et ego clamo: « Non *magnam* facis ani» mam, sed *largam.* »

(3) Codex, κρυπτομένη. Latin. *laniato pectore.*

εἴρηκε· « Θύγατερ ὑστάτη (1) τῆς σῆς μητρὸς (τίς γὰρ
» ὑπόλοιπός ἐστι πόνος), θύγατερ, κεῖσαι, καὶ τὸ
» τραῦμα τὸ σὸν ἐπὶ τῶν ἐμῶν στέρνων ὁρῶ. Ὡς ἂν δὲ
» μηδ' ὀντινοῦν τῶν ἐμῶν ἀπολέσαιμι δίχα φόνου,
» καὶ σὺ τραῦμα φέρεις. Καὶ γάρ, ἐπεί σε, ὅτιπερ
» ἦσθα γυνή, ἀσφαλείας ᾤμην ἀπὸ σιδήρου τυγχάνειν,
» πέπλωκας, καὶ γυνὴ οὖσα, σιδήρῳ. Καὶ, ὅς σοι τοὺς
» τοσούτους ἀδελφοὺς, καί σε διέφθειρεν ὁ αὐτὸς,
» ὁ τῆς Τροίας ὄλεθρος καὶ ἡμᾶς ἀτεκνώσας, Πη-
» λείδης. Καί τοι, μέλα τὸ πεσεῖν ἐκεῖνον τοῖς τοῦ
» Πάριδός τε καὶ Φοίβου βέλεσιν, Νῦν ὄντως, εἶπον,
» οὐκέτι φοβητέος ὁ Ἀχιλλεύς· νῦν δ' ἔτι μοι φο-
» βητέος ἔμελλε γίνεσθαι. Καὶ τεθαμμένου γὰρ ἡ
» κόνις αὐτὴ καλὰ τοῦδε τοῦ γένους ἠγείρατο, πο-
» λεμίου δ' ὄντος κἂν τῷ τάφῳ τοῦ Αἰακίδου
» ἠσθήμεθα. Ὡς εὔπορος ἐν τοῖς κακοῖς (2) γέγονα!
» Κεῖται μὲν γὰρ Ἴλιος ἡ μεγάλη, καὶ ὁ μὲν τῷ
» βάρει τῆς τύχης ἐπενεχθεὶς δημόσιος φόνος ἠρέ-
» μεσεν, ἀλλὰ, καὶ ἠρεμήσαντος, ἐμοὶ μέντοι μόνῃ
» τὰ Πέργαμα ἔτι συμμένει, καὶ τὰ τῆς ἐμῆς
» ὀδύνης ἐν κινήσει τυγχάνει. Ἡ δὲ, μικρῷ σθε-
» σθεν, μεγίστη καὶ τοσούτοις γαμβροῖς καὶ παισὶν
» ἰσχύουσα καὶ νύμφαις καὶ ἀνδρὶ, νῦν, ἕλκομαι
» ὑπερήφανος, σιωπῇ, τοῦ τάφου τῶν ἡμετέρων
» ἀποσπασθεῖσα, δῶρον τῇ Πηνελόπῃ, ἥ με τὰ δι-
» δόμενα ξαίνουσαν ἐφία ταῖς Ἰθακησίαις δεικνῦσα
» μητέρα, Ἥδε ἐκείνη ἐστὶν ἡ τοῦ Ἕκτορος πε-
» ριφανὴς, ἐρεῖ, μήτηρ, ἥδε ἐκείνη ἐστὶν ἡ τοῦ

(1) Invenit lectionem Heinsianam: « Nata tuæ (quis enim superest dolor?) ultima matri. »

(2) Ad lat. εὔφορος τῷ Αἰακίδῃ.

» Πριάμου γυνή. Ἀλλὰ μὲ τοσούτους τοὺς ἀπο-
» λωλότας, καὶ σὺ νῦν, ἡ μόνη τὸ τῆς μητρὸς πένθος
» ἐκούφιζες, τὸν τοῦ πολεμίου τάφον ἐξιλεώσω· καὶ,
» ὡς ἔοικεν, ἐναγίσματα γεγέννηκα καὶ χοὰς τῷ ἐχθρῷ.
» Πῶς πολὲ ἡ σιδηρᾶ ἔτι μένω; Τί δὲ δή ποτε δια-
» τείβω; Τίνι με, γῆρας πολυέλεὲς, ταμιεύεις; Εἰς
» τί μοι τῇ γραῒ, θεοὶ ὠμόταλοι, ὅτι μὴ ὡς ἂν
» καινοὺς θανάτους ὁρῶμι, παρέλκετε τὴν ζωήν; Τίς
» ἂν φήθη τὸν Πρίαμον εὐδαίμονα, μετὰ τὰ καλε-
» ρειπωθέντα Πέργαμα, δυναλὸν εἶναι καλεῖσθαι; Ὡς
» εὐδαίμων ἐσὶ τῷ ἰδίῳ θανάτῳ! οὐ γάρ σε, θύ-
» γαλερ ἐμὴ, πεφονευμένην ὁρᾷ, τὴν δὲ ζωὴν ἐν
» ταυλῷ καὶ τὴν βασιλείαν ἀπέλιπεν. Ἀλλ' ἔντα-
» φίοις, οἶμαι, τιμηθήσῃ, βασίλεια κόρη, καί σοι τὸ
» σῶμα τοῖς τῶν προγόνων κρυβήσεται μνήμασιν.
» Ἀλλ' οὐχ ἥδε ἐσὶν ἡ τῆς ἠμελέρας οἰκίας τύχη·
» ἀλλά σε δῶρα πρεισελεῖ, τῆς μητρὸς θρῆνός τε
» καὶ ἀλλοία συναμηθεῖσα φάμμος· πάντα γὰρ
» ἀπεβάλομεν. Μόνος δ' ὑπολέλειπται, δι' ὃν ζῆν
» ἂν προὺς βραχὺν ὑπομείναιμι χρόνον, χαριέσ-
» τος ἐμοὶ τῇ μητρὶ παῖς ὁ Πολύδωρος, νῦν μὲν
» μόνος, πρότερον δὲ τῶν ἀρρένων ὕσταλος τέκνων,
» ὁ τῷ Ἰσμαρίῳ βασιλεῖ καλὰ τήνδε δοθεὶς τὴν
» χώραν. Ἀλλὰ τί μέλλω μελαξὺ τῶν θρήνων ὕδατι
» τὴν χαλεπὴν πληγὴν καὶ τὸ ῥανθὲν τῷ δειλαίῳ
» αἵματι (1) πρόσωπον ἀπολούειν »; Εἶπε, καὶ πρὸς
τὴν ἠϊόνα γραμιτέρω ποσὶ βήματι, καὶ τὴν λευκὴν
διαξάνασα τείχα, « Δότε, Τρωάδες » δυσλυχὴς (2)

(1) Inserui *αἵματι*. In latinis, « immiti *sanguine*. »

(2) Cod. *δυσλυχὲς*, ita ut urna fiat infelix. Correxi ad latina.

εἶπεν, « ἄλγος, ὡς ἂν ὕδωρ ἀρύσωμαι. » Καὶ ὀφᾷ τὸ τοῦ Πολυδώρου σῶμα ἐπὶ τῆς ἠϊόνος ἐκβεβρασμένον, καὶ τραύματα μεγάλα τὰ τῷ Θρηϊκίῳ γεγενημένα ξίφει. Αἱ μὲν οὖν Τρωάδες εὐθὺς ἀνωλόλυξαν, ἡ δ' ὑπὸ τῆς λύπης ἄφωνος ἔμεινε, κἀκ τῶν ἴσων τήν τε φωνὴν καὶ τὰ δάκρυα, εἰς τὸ ἐντὸς καλαδεδυκότα, καλαπέπωκεν (1) ἡ ὀδύνη. Καὶ, ἀπεσκληκότι λίθῳ παρεοικυῖα καλὰ πᾶν, ἀτρεμεῖ· καὶ νῦν μὲν, διασπρέφουσα τοὺς ὀφθαλμοὺς, πρὸς τὴ γῆ πήγνυσι· νῦν δὲ, βλοσυρούς τούτους αἴρει πρὸς τὸν αἰθέρα. Ἔστι μὲν ὅτε τὴν ὄψιν τοῦ κειμένου διασκοπεῖται παιδὸς, ἔστι δ' ὅτε τὰ τραύματα, καὶ μάλιστα μὴν τὰ τραύματα. Καὶ ὅλην ἑαυτὴν ὁπλίζει καὶ διανίστησι τῷ θυμῷ, ὥπερ αὐτίκα τε μάλα ἐξεκαύθη, καὶ, ὡσὰν ἔτι δέσποινα μένουσα, ἀμύνασθαι προὐθέλο τὸν ἐχθρὸν, καὶ ὅλη τῷ τῆς τιμωρίας ἐγένετο κάτοχος ἔρωτι. Ὡς δὲ λέαινα μαίνεται τοῦ σκύμνου θηλάζοντος ἔτι ὀρφανισθεῖσα, καὶ, ποδῶν ἴχνους ἐπιτυχοῦσα, διώκει, ὃν ἥκιστα εἶδεν, ἐχθρόν· οὕτως Ἑκάβη, ἐπειδὴ τὴν ὀργὴν τῷ πένθει συνέμιξε, μηδαμῶς τῆς οἰκείας ἐπιλαθομένη ψυχῆς, τῆς ἡλικίας γε μὴν ἐπιλαθομένη, εἶσι πρὸς Πολυμήστορα τὸν τοῦ δεινοῦ φόνου δημιουργὸν, καὶ εἰς κοινοὺς αὐτῷ λόγους ἐλθεῖν αἰτεῖ. Καὶ γὰρ ὑπέλαβεν ὁ Ὀδρύσιος ἐθέλειν αὐτὴν χρυσίον ὑπολειφθὲν καὶ λανθάνον αὐτῷ δεῖξαι, ὅπερ ἂν ἀποδοίη τῷ τέκνῳ (2). Καὶ τῷ τοῦ εἰωθότος ἔρωτι κέρδους εἰς ἀνα-

(1) Cod. καλαπέπωκεν, solenni permutatione, de qua cf. not. ad Aristænet. pag. 712.

(2) Paulo aliter meliusque latina, sic nempe : « Colloquium- » que petit : nam se monstrare

κεχωρηκότα χῶρον συνέρχεσθαι, καὶ μειλιχίῳ σὺν μύθῳ ὁ παμπόνηρος, « Μὴ διαλείβειν » εἶπεν, « Ἑκάβη. » Δὸς τὰ χρήματα τῷ παιδί. Ἐκείνου γὰρ εἶναι, » ὃ νῦν τε δίδως καὶ πρότερον δέδωκας, τοὺς θεοὺς » ὄμνυμι. » Ἡ δ' ἀλείως πρὸς αὐτὸν εἶδε λαλοῦντά τε καὶ τὰ ψευδῆ ἐπομνύντα, καὶ φλεγμαινούσῃ πίμπρασθαι τῇ ὀργῇ. Συναρπάσασα τοίνυν τοῦτον, τὸ τῶν αἰχμαλωτίδων μητέρων σύστημα συγκαλεῖται, καὶ τοὺς δακτύλους εἰς τοὺς παρασπονδήσαντας ὀφθαλμοὺς κρύπτει, καὶ τούτους τῆς οἰκείας ἕδρας ἐκκόπτει. Δίδωσι μὲν οὖν αὐτῇ ῥώμην ὁ θυμός. Καὶ καθίσιν αὖθις τὴν χεῖρα, καὶ λελυμασμένην (1) τῷ τοῦ ἐξαγίστου αἵματι. Ὀφθαλμοὺς μὲν οὐκουν (ὑπολελείφασι (2) γὰρ οὐδένες), τὰς δὲ τῶν ὀφθαλμῶν ἕδρας ἠρύσαλο. Τὸ τῶν Θρᾳκῶν τοίνυν ἔθνος, τῇ τοῦ οἰκείου τυράννου λώβῃ παροξυνθέν, ὅπλων τε καὶ λίθων βολαῖς τῆς Ἑκάβης ἤρξαντο καθικνεῖσθαι. Ἡ δὲ σὺν βαρυχώδει φωνῇ τοὺς βαλλομένους τῶν λίθων μέτεισί τε καὶ δάκνει, καὶ, τοῦ στόματος εἰς λόγους ἀνεφύτος, ὑλακτεῖ πειρωμένη λαλεῖν. Καὶ ὁ τόπος ἔτι συμμένει, κἀκ τοῦ πεπυρωμένου τούνομα φέρει. Ἐκείνη δὲ, τῶν ἀρχαίων κακῶν μεμνημένη, καὶ τότε διὰ τῶν Σιθονίων ἀγρῶν οἰκτρῶς ἀνωλόλυξεν. Ἡ δὲ τύχη ταύτης τοὺς οἰκείους τε Τρῶας, καὶ τοὺς ἐχθροὺς Πελασγοὺς, ναὶ μὴν καὶ τοὺς θεοὺς ἐκαμψε πάντας, οὕτω πάντας, ὡς καὶ αὐτὴν τὴν

» relictum Velle latens illi, quod » nato redderet, aurum. Credi- » dit Odrysius. » .... αἰπεῖ· καὶ γὰρ δεῖξαι αὐτῷ ὑπολειφθὲν καὶ λαθέσθαι ἐθέλειν, ὅπερ ἂν ἀποδοίη τῷ τέκνῳ, χρυσίον. Ἐπίσθη ὁ Ὀδρύσιος, καὶ τῷ τοῦ εἰωθότος—

(1) Cod. λελυσμαμένην.

(2) Codex, ὑπολελείφαι : notata toties variatione.

τοῦ Διὸς ἀδελφήν τε καὶ σύνευνον ἀπαρνήσασθαι τῆς τύχης ἐκείνης ἀπολελαυκέναι τὴν Ἑκάβην ἀξίως.

Ἦ γε μὴν Ἠὼς, εἰ καὶ τὰ μάλιστα τοῖς αὐτοῖς ηὐδόκησεν ὅπλοις, οὐ σχολάζει τοῖς κινδύνοις καὶ δυστυχήμασιν τῆς τε Τρωίας καὶ τῆς Ἑκάβης κάμπτεσθαι. Ἐγγὺς δ' αὐτὴν φερουσὶς καὶ πένθος οἰκεῖον ἀπολωλότος τοῦ Μέμνονος ἄλγει, ὃν ἡ ροδοδάκτυλος μήτηρ ἐν τοῖς Φρυγῶν πεδίοις τῷ Ἀχιλλείῳ εἶδεν ἀπολλύμενον ξίφει. Εἶδε, καὶ τὸ χρῶμα ἐκεῖνο, ὥπερ ὁ τῆς ἕω χρόνος φοινίσσεται, σύμπαν ὠχρίασε, καὶ ἐκρύβη ὁ αἰθὴρ ἐν τοῖς νέφεσιν. Ἀλλ' οὐχὶ καὶ ἐπιτιθέμενον τὸ σῶμα τῇ τελευταίᾳ πυρᾷ ὑπήνεγκεν ἡ μήτηρ ἰδεῖν· ἀλλὰ λελυμένη τὴν κόμην, ὥσπερ ἦν, οὐκουν ἀπηξίωσε τοῖς τοῦ μεγάλου Διὸς γόνασι προσπεσεῖν, καὶ σὺν δάκρυσι τὰς φωνὰς τάσδε προσθεῖναι· « Ταπεινοτέρα πασῶν ἐγὼ θεαι-
» νῶν, ἃς ὁ χρυσοῦς αἰθὴρ φέρει (καὶ γὰρ ἀνὰ πᾶσαν
» τὴν οἰκουμένην σπανιώταλοί μοι ναοὶ τυγχάνουσιν
» ὄντες), εἰμὶ μέντοι θεὰ, καὶ νῦν ἦλθον, οὐχ
» ἵνα μοι τεμένη καὶ ἡμέρας δῶς (1) ἱεροποιούς,

(1) Cod. δοῦς. Supra p. 289, vidimus ους et ως permutata. Lysias in Eratosth. t. V, p. 407: ὁμολογοῦσιν ἑκόντες πολλοὺς τῶν πολιτῶν ἀκείπους ἀποκτιννύναι: in cod. Vaticano 88 reperi ἀκείπως: quod adverbium firmari potest locis plane similibus ibidem pp. 434, 435. Eadem permutatio in Libanio t. IV, p. 568: ἔθηκεν ὁ πατὴρ νόμον ἐξεῖναι τοὺς παῖδας ἀκείπως ἀποκτιννῦναι· πόθεν καὶ ὁ παῖς νόμον ἐξεῖναι τοὺς μοιχοὺς ἀκείπως ἀποκτιννῦναι: cod. Reg. 3017, νόμον ὁ παῖ. ἔθ. ἐξεῖναι— et bis ἀκείπους, bis ἀποκτιννύναι. Atque melior hic infinitivi accentus: cf. p. 30. Infra ad 685, cod. δεικνῦναι. In Dione Chrys. t. I, pag. 308, pro δεικνῦναι cod. Reg. 2958, rectius, δεικνύναι: et pro ἀποδεικνῦναι p. 539, cod. idem ἀποδεικνύναι. Libanius Epist. 551: ὁ τρόπος

» καὶ βωμοὺς πυρὶ θηρμανθησομένους. Καί τοι, καὶ
» εἰ σκοπιὴς πόσον σοι, καὶ θῆλυς οὖσα, τηνικαῦτα
» παρέχω, ἡνίκα νέῳ φωλὶ τὸ τῆς νυκλὸς φυλάττω
» μεθόριον, κἂν ἆθλά μοι δηΐα ἔκρινας εἶναι. Ἀλλ'
» οὐχ ἥδε φερντὶς, οὐχ ἥδε νῦν κηλάσιας τῇ
595 » Ἠοῖ, ὡς τὰς ὀφειλομένας τιμὰς ἀπαιτεῖν. Ἦκω
» δὲ σπερηθεῖσα, τοῦ ἐμοῦ Μέμνονος, ὃς μάτην ὑπὲρ
» τοῦ οἰκείου παρεσδέλφου ἔλαβε γενναῖα ὅπλα,
» καὶ ἐν νέᾳ τῇ ἡλικίᾳ πρὸς τοῦ (1) σπερροῦ (οὕτως
» ἐθελήσαιτε ταῦτ', ὦ θεοί!) πέπωκεν Ἀχιλλέως.
» Δὸς δὴ τούτῳ, δέομαι, τινὰ τιμὴν τοῦ θανάτου
» παρεμύθιον, ὕπαιτε τῶν θεῶν ἡγεμών, καὶ τὸ τῆς
600 » μητρὸς ἐξομάλισον ἄλγος. » Ἐπένευσε τοίνυν ὁ
Ζεύς. Ὁπηνίκα δὲ τοῦ Μέμνονος εἰς ὕψος ἐπιδέδωκεν ἡ
πυρὰ, καὶ μέλανος καπνοῦ συσπαφαὶ τὸ τῆς ἡμέ-
ρας φῶς κηλησόλωσαν, ὥσπερ που καὶ πολαμοὶ τὰς
ἐξ αὐτῶν γεννωμένας νεφέλας ἀναδιδόασιν, δι' ὧν οὐ-
κουν ἥλιος διελθεῖν συγχωρεῖται, μέλας σπινθὴρ ἐκεῖθεν
ἀναπτάλαι, καὶ, συσπειρασθεὶς, εἰς ἓν σῶμα πυκνοῦται,
605 καὶ ὄψιν λαμβάνει, καὶ χρῶμα δέχεται καὶ ψυχὴν ἐκ
τοῦ πυρὸς, καὶ ἡ ἐμφυὶς κουφότης πτερὰ χορη-
γεῖ (2) · καὶ ὀρνῖτα μὲν ἐοικὼς ὄρνιθι, αὐτίκα δ'

αὐτὴν ἐποίει μείζω τῆς φύσεως δεικνύειν: cod. 3002, μείζω δεικνῦναι (scr. δεικνύναι) τῆς φύσεως.

(1) Cod. ποὸ τοῦ σπέρους.

(2) Cod. χρυγεῖ : sic ad 854, ἡμᾶς pro ὑμᾶς. Hanc horum elementorum in his pronominibus permutationem jam attigi pag. 327. Callinicus inde emendetur, pag. 258 Allatii Excerptorum : οὔπω ἡ καθ' ἡμᾶς γῆ πρὸς ἕτερον οὐδὲν εὐαρμόστως εἶχεν πλὴν βασιλείας : cod. Mazar. A 87 exhibet ὑμᾶς et εἶχε, illud optime ; nam puto Callinici fragmentum hocce ex ejus esse desumtum Declamatione qua Romam Romæ laudaverat. Rursus pag. 257: ποσοῦτον ἄρξας τὸν ἅπαντα χρόνον, ὅσος ἡμῖν οὐκ ἀρκεῖ τὸν

Μοῖραι· ἀλλ' ὁ Κυθέρειος οὗτος ἥρως τὰ ἱερὰ, καὶ, ἱερὰ ἕτερα, τὸν παλέρα, σεβάσμιον φόρτον, τοῖς ὤμοις φέρει. Καὶ τῶν τοσούτων χρημάτων ὁ εὐσεβὴς ἐν ἐκλέγεται λάφυρον, καὶ τὸν αὐτοῦ παῖδα Ἀσκάνιον. Ἐκ δὲ τῆς Ἀντάνδρου πρόσφυγι σὺν ὅλῳ διαπόντιος φέρεται, καὶ τοὺς ἀλιτηρίους τῶν Θρᾳκῶν ὀφθαλμοὺς (1) καὶ τὴν Πολυδωρείῳ αἵματι ῥεομένην ἀφίησι γῆν. Χρησίμοις δὲ πνεύμασι καὶ οὐρίοις ἀνέμοις, τῶν ἑταίρων συνεπομένων, τὴν Ἀπόλλωνος εἴσεισι νῆσον καὶ πόλιν. Καὶ τοῦτον ὁ Ἄνιος, ᾧ βασιλεῖ μὲν διετάττοντο οἱ ἐγχώριοι, ἱερεῖ δὲ καὶ νόμον ἐτιμᾶτο ὁ Φοῖβος, εἴς τε τὸν ναὸν καὶ τὸν οἶκον εἰσδέχεται, καὶ τὴν πόλιν ἔδειξε, καὶ τοὐπίσημον (2) τέμενος, καὶ τὰ δύο σταλέχη, ὧν ἡ Λητὼ πολὺ τίκτουσα ἐπελάθετο. Δόντες δὴ θυμίαμα τῷ πυρὶ, καὶ οἶνον τῷ θυμιάματι ἐπιχέαντες, καὶ τεθυμένων βοῶν λοβοὺς ἥπαρός ἐξ ἔθους ὁλοκαυτώσαντες, πρὸς τοὺς βασιλείους οἴκους ἀπίασι. Καὶ, ταπήτων βαθέων ὑποστρωθέντων, δώρων Δήμητρος σὺν ὑγρῷ Βάκχῳ λαμβάνουσι. Τότε τοίνυν ὁ Ἀγχίσης « Ἱερεῦ » εἶπε « τοῦ » Φοίβου ἐπίκλησις, ψευδόμαι, ἢ καὶ παῖδα, νίκα » τοῦσδε πρῶτον τοὺς πύργους ἐπεῖδον, καὶ δὶς δύο » θυγατέρας, ὅσα καὶ ἐμὲ μιμνήσκεσθαι, εἶχες. » Τῷ δ' ὁ Ἄνιος, λευκῇ μίτρᾳ τοὺς κροτάφους σκεπόμενος, ταραχθείς τε καὶ ὀδυνηθείς, εἶπε· « Οὔκουν, » μέμνησθε ἥρως, ψεύδη. Εἶδες γάρ με πέντε παλέρα

dit, glossam vocis ἐλπίδα. Ni obstaret sequens οὖπες, delevissem nomen importunum. Mox codex, ἀτάνδρου.

(1) Pro *limina* male legit *lumina*. Repone αἰχμαλοὺς, χώρους, vel τὰ ἀλιτήρια πεδία, πίχη.

(2) Vertit bonam et vulgatam lectionem, *nota*, quam pro *nobilia* habuit : melius, γνωτόν.

» παίδων, ὃν νῦν (τοσαύτη τῶν πραγμάτων ἀστασία
» τἀνθρώπεια στρέφει!), μικροῦ δεῖν, ὀρφανὸν παίδων
» βλέπεις. Τί γὰρ ἄν μοι καὶ βοήθημα ὁ υἱὸς ἀπὼν
» εἴη; ὃν, ἡ πρὸς τῆς ἐκείνου προσηγορίας Ἄνδρος
» ὀνομασθεῖσα, νῆσος κατέχει. Τούτῳ, ἀντὶ τοῦ πα-
» τρὸς, τήν τε χώραν καὶ τὴν βασιλείαν κατέχοντι,
» οἰωνιστικὴν ὁ Δήλιος ἔδωκεν. Ἔδωκε καὶ ὁ Βάκχος
» ἕτερα δῶρα τῷ θήλει γένει τῶν παίδων, εὐχῆς
» μείζω καὶ πίστεως. Πάντα γὰρ, τῇ τῶν ἐμῶν
» ἁφῇ θυγατέρων, εἴς τε σῖτον καὶ χύσιν οἴνου καὶ
» ἐλάαν Ἀθηνᾶς μετεβάλλετο, καὶ ἄφθονος ἦν τούτων
» ἀπόλαυσις. Τοῦτο γνοῦς ὁ τῆς Τροίας καθαιρετὴς
» Ἀτρείδης (νομίζοις γὰρ ἂν καὶ ἡμᾶς ἔκ τινος μέρους
» συμφορᾶς τῆς ὑμετέρας αἰσθέσθαι), χρησάμενος
» ὅπλων δυνάμει, ἀποσπᾷ ταύτας τοῦ πατρικοῦ
» κόλπου πρὸς βίαν, καὶ κελεύει τὸν Ἀργολικὸν στό-
» λον τοῖς οὐρανίοισι δωρήμασι τρέφειν. Αἱ δὲ φεύ-
» γουσιν ὅποιπερ ἂν ἑκάστη οἵα τ' ἐγένετο. Αἱ μὲν
» οὖν δύο τῶν θυγατέρων τῇ Εὐβοίᾳ προσέσχον·
» αἱ δὲ τοσαῦται ἕτεραι τὴν ἀδελφικὴν κατέλαβον
» Ἄνδρον. Ὁ στρατὸς τοίνυν πάρεστιν αὖθις, καὶ, εἰ
» μὴ ἐκδοθεῖεν αἱ κόραι, πολέμους ἀπειλεῖ. Ἡ δὲ τοῦ
» ἀδελφοῦ φιλοστοργία ἡττηθεῖσα τοῦ δέους, ὀλίγου
» δεῖν (1), τὰ σύγγονα προδέδωκε σώματα. Καὶ συγ-
» γνῶναι δύναιο ἂν τῷ ἀδελφῷ δείσαντι· οὐδὲ γὰρ
» οὗτος (2) ἦν ὁ Αἰνείας, οὐδ', ὃς ἂν ἤμυνε τῇ Ἄν-
» δρῳ, Ἕκτωρ, δι' ὃν εἰς δέκατον ἐνιαυτὸν διηρκέσατε.
» Ἤδη μὲν οὖν δεσμὰ ταῖς αἰχμαλώτοις χερσὶν

(1) Pro *pœnæ* male legit *pœne*. Repone, πμωρίᾳ.

(2) Lat. «Non *hic* Æneas.» Forsan, οὐδὲ γὰρ ἐκεῖ —

» ἡτοιμάζετο· αἱ δὲ κόραι, καὶ τότε ἐλευθέρας (1)
» τὰς χεῖρας εἰς οὐρανὸν ἀναπείνασαι, Βάκχε πάτερ,
» ἄμυνον! εἶπον. Καὶ ἤμυνεν αὐταῖς ὁ τοῦ δώρου βρα-
» βεὺς, εἰ τὸ θαυμαστὸν ἀπολλύναι τέρπον ἀμύνειν
» καλοῖτο. Οὔτ' οὖν ἔσχον αὐτὸς γνῶναι τίνα δήποτε
» τέρπον ἀπέβαλον τὴν μορφὴν, οὔτε νῦν (2) λέγειν
» ἔχω. Τοῦ μέντοι κακοῦ τὸ τέλος ἔγνωκα. Πτέρυ-
» γας ἔλαβον, καὶ εἰς λευκὰς πελαργὰς, ὄρνεις συ-
» ζύγου τῆς σῆς (3), ἀπεχώρησαν. »

Τοιούτοις καὶ ἑτέροις λόγοις τὴν συνεστίασιν συ-
νετέλεσαν, καὶ, τῆς τραπέζης ἀρθείσης, εἰς ὕπνον
ἀπίασι. Καὶ ἅμα τῇ ἕῳ ἀνίστανται, καὶ πρὸς τὸ
τοῦ Φοίβου χρηστήριον ἔρχονται, ὃς τὴν ἀρχαίαν
αὐτοὺς μητέρα καὶ συγγενεῖς πάτρας κελεύει ζητεῖν.
Προπέμπει τοίνυν αὐτοὺς ὁ Ἄνιος, καὶ ἀποῦσι δῶρα
δωρεῖται, τῷ μὲν Ἀγχίσῃ σκῆπτρον, τῷ δ' ἐγχέῳ
χλαμύδα τε καὶ φαρέτραν, τῷ δ' Αἰνείᾳ κρατῆρα,
ὃν αὐτῷ ποτὲ πέπομφε ξένος ἐκ τῶν Ἀονίων ὀρέων
ὁ Ἰσμήνιος Θέρσης. Πέπομφε μὲν αὐτῷ τοῦτον ὁ
Θέρσης, συνεχάλκευσε δ' ὁ Μυλεὺς (4) Ἀλκων,
καὶ μακρᾷ τέχνης ἀκριβείᾳ διέγλυψε (5). Πόλις ἦν
ἐν αὐτῷ, καὶ πύλας ἐπὶ ταύτης σαφῶς ἂν εἶχες
δεικνύναι. Αὗται δ' ἀντ' ὀνόματος ἦσαν τῇ πόλει,
καὶ τίς ποτ' ἂν εἴη ἐδίδασκον. Ἐκφορὰ δέ τις ἦν
πρὸ τῆς πόλεως, καὶ τύμβος καὶ πυρὰ καὶ κηδεία,

(1) Inserui ἐλευθέρας, duce Ovidio.

(2) Mutavi codicis οὔτε μή.

(3) Glossa in margine, Ἀφρο-δίτης. Modo habuit *volucres*, non *volucrem*.

(4) In codice est ὁ μυλεύς.

(5) Pessime vertit, *longo cælaverat argumento*. Reponam fere: καὶ μακρᾶν ἐτέγλυψεν ἱστορείαν, μακρὸν ἐτέγλυψε μῦθον. Laudetur tamen quod non erraverit ut p. 564.

Ἐντεῦθεν, ἀναμνησθέντες τοῦτο, τοὺς Τεύκρους ἐξ αἵματος τοῦ Τεύκρου τὴν ῥίζαν κλάσαντας, τῇ Κρήτῃ προσέσχον. Οὐκ ἔσχον γε μὴν ἐπὶ πολὺ τὸν ἀέρα τῆς χώρας ἐνεγκεῖν· τὴν δ' ἑκατόμπολιν νῆσον ἀπολιπόντες, τοῖς Αὐσονίοις ἐπιθυμοῦσι προσοικεῖλαι ναυσιάθμοις. Ἡγεμὼν δ' αὐτοῖς ὁ χειμών, καὶ χειμάζει τοὺς ἄνδρας, καὶ τοῖς τῶν Στροφάδων ἀπίστοις λιμέσιν (1) ὑποδεχθέντας αὐτοὺς ἡ ὄρνις ἐξεφόβησεν Ἀελλώ. Καὶ δὴ τοὺς Δουλιχίους ὅρμους, Ἰθάκην τε καὶ Σάμον καὶ τὰς Νηρικίους κλαγγὰς, τὴν τοῦ πολυτρόπου βασιλείαν Ὀδυσσέως, παρίασι ταῖς ναυσί. Καὶ τὴν ἀμφισβητηθεῖσαν τῇ μάχῃ τῶν θεῶν Ἀμβρακίαν ὁρῶσι, καὶ τὴν εἰς λίθον μεταβληθεῖσαν ὄψιν τοῦ δικαστοῦ, ὃς καὶ νῦν ἔτι πρὸς (2) τοῦ Ἀκτιακοῦ Ἀπόλλωνος ἔγνωσται, καὶ γῆν τὴν Δωδωνίδα τὴν τῇ οἰκείᾳ δρυὶ φωνοῦσαν, καὶ κόλπους τοὺς Χαονίους, ἧπερ οἱ τοῦ βασιλέως Μολοσσοῦ παῖδες, πτερῶν ὑποβληθέντων αὐτοῖς, τὴν ἀσεβῆ φλόγα διέφυγον.

Μετὰ δὲ τοῦτο τὰ πλησίον πεδία τῶν Φαιάκων ζηλοῦσι, τὰ τῷ πλήθει τῆς ὀπώρας εὐδαίμονα. Ἤπειρος ἐκ τούτων καὶ τὸ βασιλευόμενον ἐκ τοῦ Φρυγίου μάντεως Ἑλένου Βουθρωτὸν (3), καὶ πρὸς τὴν Τρωίαν ἐξεικασθὲν, αὐτοὺς δέχεται. Ἐντεῦθεν βεβαιωθέντες τὰ μέλλοντα, ἃ πάντα (4) πιστοῖς ὑποθήκαις ὁ Πειραμίδης Ἕλενος ὑπηγόρευσε, τὴν Σικελίαν εἰσπλέουσι, τεισὶ γλώτταις ἐκπρέχουσαν

(1) Cod. male πιστοῖς λιμέσιν.
(2) Codex, προ.
(3) Codex, βρυθρωτὸν.
(4) Codex, ἄπαντα, quod fuit dividendum, Ovidio ipso duce, apud quem, *quæ cuncta.*

εἰς τὸ πέλαγος. Ὧν ἡ μὲν Πάχυνος πρὸς τὸν ὀμβροφόρον Νότον ἀπόκειται· τὸ Λιλύβαιον δὲ πρὸς τὸν εὐκραῆ Ζέφυρον ἔκκειται· ἡ Πέλωρος δὲ πρὸς τὰς ὕδαλος ἀμοίρους Ἄρκτους καὶ τὸν Βορρᾶν ἀποβλέπει. Ἐνταῦθα κώπης εἰρεσία τε καὶ εὐφορίης ἀνέμοις οἱ Τεῦκροι καλάμενται, καὶ νυκτὸς ὁ σίδολος αὐτοῖς τῇ Ζαγκλαίᾳ προσοκέλλει ψαμάθῳ· ἧς τὸ μὲν δεξιὸν ἡ Σκύλλα πλευρὸν, τὸ δὲ λαιὸν ἡ ἀκοίμητος ἐνοχλεῖ Χάρυβδις. Αὕτη μὲν οὖν καλαβρογχθίζει τε καὶ ἐξεμεῖ πάλιν τὰς ναῦς· ἐκείνη δὲ κυσὶν ἀγρίαις τὴν δεινὴν νηδὺν ὑποζώννυται, πρόσωπον φέρουσα κόρης, καὶ (εἰ μὴ ψευδῆ πάντα κατέλιπον ἡμῖν οἱ ποιηταί) καί ποτε τοῦ χρόνου παρθένος. Ταύτης πολλοὶ μνησῆρες ἠράσθησαν, οὓς ἐκείνη διωθουμένη πρὸς τὰς τοῦ πελάγους Νύμφας ᾔει, ταῖς τοῦ πελάγους Νύμφαις χαριεστάτη, καὶ τοὺς φανακισθέντας ἐρωτας διεξῄει τῶν νέων· ἧ, κλενίζειν ἡ Γαλάτεια τὰς ἑαυτῆς τείχας παρεχομένη, τοιούτοις ὠμίλει τοῖς ῥήμασι, σπεναγμοὺς ἀναπέμπουσα· « Σοῦ μέντοι, παρθένε, γένος ἀνδρῶν οὐκουν ἀγείων ἐσσι, καὶ, καθὰ δῆτα καὶ » ποιεῖς, ἀβλαβῶς ἀπαρνεῖσθαι σαυτὴν τούτοις » ἔχεις. Ἀλλ' ἔμοιγε, ἧ παῖ ὁ Νηρεύς ἐστιν, ἢν » ἡ γλαυκὴ Δωρὶς ἔτεκεν, ἃ καὶ τῇ τῶν ἀδελφῶν » ἀσφαλίζομαι συνοδίᾳ, οὐδὲν ὅτι μὴ διὰ πένθους (1) » ἐξεγένετο τοὺς τοῦ Κύκλωπος ἔρωτας διαδράναι. » Καὶ τὰ δάκρυα τὴν φωνὴν αὐτῆς λαλούσης ἀνέκοπτεν· ἃ ἡ παρθένος Σκύλλα δακτύλοις ἀποφή-

(1) Invenit et vertit bonam recepta *per fluctus*, et ingenti lectionem *per luctus*, meliorem codicum numero firmatam.

σασα μαρμαρώδεσι, παρεμυθήσαλο τὴν (1) θεὸν, καὶ, « Ἀνάγειλον » εἶπε, « φιλάτη, μηδέ μοι τὸ » τῆς σῆς ὀδύνης αἴτιον κρύπλε. Καὶ γὰρ εἰμί σοι » πιστή. » Πρὸς ταῦθ' ἡ Νηρηὶς (2) τοῖς λόγοις ἐπηκολούθει τῆς τοῦ Κρονείδου παιδός.

« Ἦκις ἦν, Φαύνῳ τε καὶ Νύμφῃ Συμαιθίδι (3) » γεγεννημένος, μεγάλη μὲν ἡδονὴ τῷ παλεὶ τε καὶ » μηλεὶ, ἐμοιγε μέντοι πολλῷ μείζων. Ἑνὶ μόνῳ » γὰρ ἑαυλῷ με συνῆφεν ὁ περικαλλής. Ὀκλὼ δὲ » μελὰ τοῦτο (4) διεξεληλυθότων ἐνιαυλῶν, ἀμυδρὸς » χνοῦς τὴν τρυφερὰν ἐκείνῳ γένυν διέγραφε. Τού- » του (5) μὲν οὖν ἐγὼ, ἐμοῦ δ' ὁ Κύκλωψ ἀπαύστως » ἤρα. Οὐδ', εἰ ζηλοίης πότερον (6) τὸ πρὸς τὸν » Κύκλωπα μῖσος ἢ ὁ πρὸς τὸν Ἦκιν ἔρως ἀξιο- » λογώτερον γέγονε, σαφῶς ἂν ἐκφαίνοιμι. Ἴσα » μέντοι ταῦτ' ἦν ἑκάτερα. Ὦ πόση τῆς σῆς » ἀρχῆς δύναμίς ἐσλιν, Ἀφροδίτη σεμνή! Καὶ γὰρ » κἀκεῖνος ὁ ἄγριος, καὶ λόχμαις αὐταῖς φοβερὸς, » καὶ πρὸς μηδενὸς ἀπαθῶς ὀφθεὶς ξένου, καὶ οὐ- » ρανοῦ τοῦ μεγάλου θεοῖς αὐτοῖς καλαφρονήτης, » τί πολέ ἐσλιν ἔρως ἡσθελο, καὶ, πρὸς τῆς ἡμελέρας » ἀλοὺς ἐπιθυμίας, ἐμπίπρασθαι, καὶ τῶν τε δρεμ- » μάτων καὶ τῶν οἰκείων ἄντρων ἐπιλανθάνεσθαι. Καὶ » ἤδη σοι, Πολύφημε, τῆς μορφῆς, ἤδη τοῦ ἀρέ-

(1) Codex, τὸν θεόν. Eodem mendo ad 928, ὁ φίλεργος pro ἡ φίλεργος.

(2) Codex, πρὸς ταῦτ' ἠρηΐς.

(3) Codex, σμαιθίδι. Et sic infra ad 879. Eadem synchysi ad 846, πίφυκεν pro πέφυκεν.

(4) Non intellexit latina « octo- » nis iterum natalibus actis. » Repone : δὶς δὲ ὀκτὼ διεξελ. ἐνιαυλ.

(5) Codex, τοῦπον.

(6) Cod. πότερα, notata permutatione jam supra pag. 266. Mox inserui ὁ.

» σκειν ἐπιμέλεια γίνεται· ἤδη τὴν αὐχμῶσαν κλε-
» νίζεις λίσγεσις (1) χαίτην· ἤδη σοι ἄσμενόν ἐστι
» δρεπάνῃ τὴν τραχεῖαν τέμνειν ὑπήνην, καὶ κα-
» τοπτεύειν εἰς ὕδωρ, καὶ τὴν φειδὴν εὐθεῖαν ὄψιν.
» Ὁ δὲ τῶν φόνων ἔρως καὶ ἡ θηριωδία καὶ ἡ
» ἀμέλεια δίψα τοῦ αἵματος ὑπελώφησαν· καὶ
» ἄφοβοι αἱ νῆες ἐπίασι καὶ ἀπίασιν. Ἐν τούτοις ὁ
» Τήλεμος (2) πρὸς τὴν Σικελικὴν ἐνεχθεὶς Αἴτνην,
» Τήλεμος ὁ Εὐρυμίδης, ὃν οὐκ ἔστιν ἥ τις ὄρνις
» ἐψεύσαλο, τῷ φοβερῷ προσέσει Πολυφήμῳ, καὶ,
» Τὸν ὀφθαλμὸν, ὃν ἕνα φέρεις ἐν τῷ μελώπῳ,
» ἁρπάσει σοι, φησὶν, Ὀδυσσεύς. Ἐγέλασεν ὁ Πο-
» λύφημος, καὶ, Ὦ μάντεων ἀποπλόταλε, ψεύ-
» δη, φησίν· ἄλλη γάρ τις ἥρπασε τοῦτον (3)
» ἤδη. Οὕτως αὐτοῦ τἀληθῆ μάτην ὑπολιθεμένου
» καλωλιγώρει. Καὶ, ἡ βαδίζων τοῖς ἑξαισίοις βή-
» μασι τὴν ἠϊόνα βαρύνει, ἡ καμὼν πρὸς τὰ συ-
» νηρεφῆ διαλείβει τῶν ἄντρων. Περιπίπλει δ' εἰς τὸ
» πέλαγος τῷ μακρῷ τῆς ὀξύτηλος σφηνοειδής τις
» ἀγκὼν, οὗ πλευρὸν ἑκάτερον τῆς θαλάσσης πε-
» ριελύζει τὰ κύματα. Ἐκεῖσε τοίνυν ὁ χαλεπὸς
» ἄνεισι Κύκλωψ, καὶ καλὰ τὸ μέσον ἀνέπεσε. Τὸ
» δ' εἰρπόκομον εἴπερ ποίμνιον ἡγεμόνι οὐδενί. Τού-
» του δὲ τὴν πεύκην, ἥτις αὐτῷ καλαύρωπος (4)
» χρείαν παρείχετο, καθεμένου πρὸ τῶν ποδῶν,
» πεύκην οἴαξιν ὁλκάδων ἁρμόζουσαν, καὶ σύριγγα
» τὴν ἑκατὸν δόναξι συμπαγεῖσαν λαβόντος (5), ἡσθεὶς

(1) Inserui λίσγεσις, *rastris*. ἐμὴ, ἁρπάζεις τὰ πάντων ὄμματα.
(2) Cod. πίλεφος, hic et infra. (4) Codex, κλαύρωπος.
(3) Aristæn. II, 21 : ὦ μέλισσα (5) Inserui λαβόντος.

» τῶν ποιμενικῶν συριγμάτων ὄρη ξύμπαντα, ἠσθέλο
» καὶ τὰ ὕδατα. Κἀγὼ δ' αὐτὴ ὑπὸ πέτρην ὑπεπλη-
» χυῖα ῥαγάδα, καὶ καλὰ τὸν κολπὸν ἀνακειμένη
» τοὐμοῦ Ἄκιδος, πόρρωθεν τοιαῦτα τοῖς ἐμοῖς ὠσὶ
» ῥήματα ἠρυσάμην· Λευκολένα Γαλάτεια φύλλου
» τοῦ χιονώδους λιγυστικοῦ (1), λειμῶνος ἀνθηεστέρα,
» κλήθρας (2) ὑψηλῆς ἐπιμηκεστέρα, στιλπνοτέρα
» ὑέλου, ἁπαλοῦ ἐλίφου τρυφερωτέρα, κολχύτης
» λειοτέρα τῷ συνεχεῖ τῶν κυμάτων διαλειβείσης,
» ἠλίου χειμερινοῦ καὶ θερινῆς χαριεστέρα σκιᾶς,
» εὐγενεστέρα μήλων, ὑψηλῆς περιβλεπτοτέρα
» πλατάνου, διαφανεστέρα χρυστάλλου, πεπειρου
» στραφυλῆς γλυκυτέρα, μαλακωτέρα καὶ κύκνου
» πτερῶν καὶ γάλακτος ἄρτι παγέντος, καὶ, εἰ μὴ
» φεύγοις, ἐκπρεπεστέρα πομφόρυγος κήπου, εἰ δ'
» οὖν ἀλλ' ἀμειλικτοτέρα, ὦ ἡ αὐτὴ Γαλάτεια,
» ταύρου ἀδαμάστου, δρυὸς πολυέτους σκληροτέρα,
» ὕδατος ἀπαθεστέρα, καὶ λύγων ἰτέας καὶ κλη-
» ματίδος χαυνοτέρα, ἀκινητοτέρα καὶ τοὐτωνὶ τῶν
» σκοπέλων, χειμάρρου βιαιοτέρα, ἐπαινεθέντος ἀγε-
» ρωχοτέρα ταῶνος, πυρὸς ὀξυτέρα, τεραχυτέρα
» τειβόλων, ἄρκτου λοχευούσης ἀπηνεστέρα, κύμα-
» τος κωφοτέρα (3), ὕδρου παθέντος ἀγριωτέρα,
» καὶ, ὦ μάλιστα, εἴπερ οἷός τ' ἦν, ἤθελον φυ-
» δον θεῖναι, οὐχ ὅπως ἐλάφου διωκομένου ὑλακαῖς
» διωκομένης, ἀλλὰ καὶ ἀνέμων καὶ ταχινῆς αὔρας

(1) Latinum *ligustrum* non fuit græco nomine λιγυστικῷ vertendum. Forsan, τῆς χον. κώπρου. De λιγυστικῷ cf. Notitt. MSS. t. XI.

(2) Inserui κλήθρας, ut lacunulam explerem. *Alnum* non græce verterat.

(3) Codex, κουφοπέρα.

[redacted]

» δραπετεύουσα μᾶλλον· ἀλλ', εἰ καλῶς γνοίης,
» μεταμελήσειεν ἄν σοι τοῦ πεφευγέναι, καὶ τὴν
» σαυτῆς καταμέμψαιο βραδυτῆτα, καί με ταλαι-
» πωρήσειας κατασχεῖν· εἰσί μοι ἄντρα, τοῦδε τοῦ
» ὄρους μέρος, αὐτοφυεῖ λίθῳ μετέωρα (1), ἐν οἷς
» οὔθ' ἡλίου τις, κατὰ τὸ θέρος μέσον, αἰσθάνεται,
» οὔθ' ὁ χειμὼν ἑαυτοῦ τινὰ δίδωσιν αἴσθησιν. Εἰσὶν
» ὀπῶραι τοὺς τῶν δένδρων κλῶνας καταβαρύνουσαι.
» Εἰσὶν ἐν τοῖς μακροῖς κλήμασιν ὁμόχρους τῷ
» χρυσῷ σταφυλαί, εἰσὶ καὶ πορφυραῖ· καί σοι ταύ-
» τας κἀκείνας φυλάττομαι. Αὐτὴ ταῖς σαυτῆς χερ-
» σὶ τὰ ὑπὸ τὴν τῆς λόχμης σκιὰν φυέντα μαλακὰ
» συλλέξεις χαμοκέρασα (2)· αὐτὴ κράνια μετοπω-
» ρινὰ προῦνά τε, οὐ μόνον μέλανι χυλῷ πελι-
» δνούμενα, ἀλλὰ καὶ εὐγενέστατα καὶ νεοπαγῆ με-
» μιμημένα (3) κηρόν. Οὐδέ σοι Διὸς βαλανοὶ, ὑπ'
» ἐμοὶ συζύγῳ, οὐδὲ τῶν ἄλλων ἀκροδρύων (4) ἔν-
» δεια τις γενήσεται· πᾶν δέ σοι δουλεύσει δένδρον.
» Τοῦτο τὸ ποίμνιον ἅπαν ἐμόν ἐστι, καὶ πολλὰ
» δ' ἄλλα θρέμματα τὰς τῶν ὀρῶν κοιλάδας πε-
» ρινοστεῖ, πολλὰ δ' ἡ λόχμη καλύπτει, πολλὰ
» δ' ἐν τοῖς ἄντροις σηκάζεται· οὐδ', εἰ τυχὸν
» ἐρωτῴης, δυναίμην ἄν σοι πόσα τυγχάνει λέγειν·
» πένητος γὰρ ἀριθμεῖν τὸ ποιμνίον. Περὶ δὲ τοῦ
» τούτων ἐπαίνου, οὐδὲν ἄν μοι πιστεύσαις· αὐτὴ

(1) Poterat uti verbis Æschyli, ἄντρα πετρηρεφῆ καὶ αὐτόκτιτα.

(2) Χαμοκέρασα inserui ut lacunulam a librario relictam implerem; latine, *fraga*.

(3) Codex, μεμιγμένα.

(4) Lat. verba, *arbutei fœtus*, hic non cepit Planudes. Repone: οὐ δὲ τῶν μαμαικύλων ἔνδεια — vel, οὐδὲ τῶν τοῦ κομάρου καρπῶν ἔνδεια—Bene verterat ad I, 104, pag. 7. Cf. pag. 426.

» παροῦσα δύνασαι βλέπειν ὡς μόλις τοῖς σκέλεσι
» περιλαμβάνει τὸ διαλέλαμένον οὖθαρ. Εἰσί μοι,
» νεώτερον γέννημα, καὶ τὰς χλιαρὰς (1) ἐπαύλεις
» ἀμνοί. Εἰσί μοι καὶ ἥλικες τούτοις ἐν σηκοῖς ἄλ-
» λοις ἔριφοι. Καὶ γάλα μοι χιονῶδες ἀεὶ πάρεστιν·
» ὅθεν μέρος μέν μοι πρὸς πόσιν ταμιεύεται, μέρος
» δ' ἡ πιτύα λειωθεῖσα (2) σκληρύνει. Οὐδέ σοι τῶν
» εὐκόλων μόνων ἡδονῶν καὶ τῶν δημωδεστέρων χα-
» είτων μελέσται, ἀλλὰ καὶ ἄγριαι αἶγες καὶ λα-
» γωοὶ καὶ κάπροι, καὶ ζεῦγος πρεμστερῶν, καὶ ἦν
» ἔλαβον νῦν ἐξ ὄρους (3) κριλιάν. Εὗρον καὶ γὰρ δι-
» δύμους ἐν ἄκροις τοῖς ὄρεσιν, οἳ σύν σοι δύνανται
» παίζειν, ἀλλήλοις ὁμοιοτάτους, ὡς καὶ μόλις
» διαγινώσκειν δύνασθαι, δασυτάτης ἀρκτίδεῖς ἄρκτου.
» Εὗρον, καὶ εἶπον· Τῇ δεσποίνῃ τούτους φυλάξομεν.
» Μόνον ἤδη τὴν φαιδρὰν κεφαλὴν ἔξαιρεις τῆς
» γλαυκῆς θαλάττης· μόνον ἔλθοις ἤδη, Γαλάτεια,
» μηδὲ τῶν ἡμετέρων δώρων ὑπερηφανῶς ἔχοις.
» Ἀληθῶς εἰπεῖν, ἔγνων ἔγωγε ἐμαυτόν· ἀρτι γὰρ ἐν
» ἐσόπτρῳ (4) διαφανοῦς εἶδον ὕδατος, καὶ ὁρῶντι ἡ
» ἐμαυτοῦ ἤρεσέ μοι μορφή. Σκόπει πόσος τίς εἰμι·
» οὐκ ἔστι τοῦδε τοῦ σώματος μείζων ὁ Ζεύς, ὃν
» ὑμεῖς ἐν οὐρανῷ δινεῖσθαι εἰώθατε, ἀγνοῶ τίνα
» Δία, κρατεῖν. Ἀλλὰ μηδ', ὅτι κόμη πλείστη τῷ
» πρόσωπῳ (5) μοι ἐπικρέμαται καὶ τοὺς ὤμους ὡς

(1) Codex exhibet γλιαρὰς.

(2) Latinum *liquefacta* vertendum erat, opinor, τακεῖσα. Forsan λυθεῖσα scripserat. Infra cod. ἀρτίδεις.

(3) Lat. *cacumine* græce hic vertendum fuit, ἐκ δένδρου κορυφῆς. Et statim delendum γάρ.

(4) Codex, ἐσόπρῳ.

(5) Lat. « *torvos* prominet in » vultus. » Vel casu omisit epithetum, vel de industria, quod

» τις λόχμη σκιάζει, καὶ θριξὶ πυκναῖς τε καὶ
» τραχείαις τοὐμὸν σῶμα πέφρικεν, αἰσχρὸν οἴου.
» Αἰσχρὸν δίχα τῶν φύλλων δένδρον· αἰσχρὸς ἵπ-
» πος, εἰ μὴ τὸν στίλβοντα τράχηλον χαίτη κα-
» λύπτει· σκέπει πτερὰ μὲν τοὺς ὄρνεις, τοῖς δὲ
» προβάτοις τὸ ἴδιον ἔριον κόσμος· ὑπήνη δὲ τοῖς
» ἀνδράσι καὶ τραχεῖαι τρίχες ἐν τῷ σώματι πρέ-
» πουσιν. Εἷς ἐστὶν ὀφθαλμὸς ἐν μέσῳ μοι τῷ
» μετώπῳ, ἀλλὰ παραπλήσιος ἀσπίδι μεγάλῃ.
» Τί γάρ; οὐχὶ τόδε τὸ πᾶν ὁ μέγας ἥλιος ἐξ
» οὐρανοῦ βλέπει; ἀλλ' ὅμως ὁ τοῦ ἡλίου κύκλος
» μοναδικός ἐστι. Πρόσθες ὅτι κατὰ τὴν ὑμετέραν
» θάλασσαν ὁ ἐμὸς βασιλεύει πατήρ· τοῦτόν σοι
» δίδωμι πενθερόν. Μόνον με οἴκτειρον, καὶ τῶν δεή-
» σεων ἄκουσον. Σοὶ καὶ μόνῃ γὰρ ὑποπέπτωκα,
» καὶ ὃς Δία, καὶ οὐρανὸν, καὶ (1) τὸν διϊκνούμενον
» πάντα κεραυνὸν, παρ' οὐδὲν τίθεμαι, σὲ, Νηρηΐς,
» εὐλαβοῦμαι· χαλεπωτέρα κεραυνῶν ἡ σή μοι ὀργή.
» Ἐγὼ δὲ τήνδε καρτερικώτερον ἂν ἤνεγκα τὴν ὀλι-
» γωρίαν, εἴπερ ἅπαντας ἔφευγες. Ἀλλὰ τί δήποτε,
» τὸν Κύκλωπα διωθουμένη, Ἄκιδος ἐρᾷς, καὶ τῶν
» ἐμῶν προτιμᾷς τὸν Ἆκιν περιπλοκῶν. Ἐκεῖνος
» μέντοι, εἰ καὶ τὰ μάλιστα ἑαυτῷ ἀρέσκει, καὶ
» σοὶ δ', ὅπερ οὐκ ἂν ἤθελον, ἀρέσκει, Γαλάτεια,
» εὐκαιρία μοι μόνον εἶναι δοθείη, αἰσθήσεται οὖσάν

ipsi videretur inepte ab ipso Cyclope de se loquente usurpatum. Repone, τῷ φοβερῷ προσώπῳ, vel, si mavis variantem lectionem *fortes*, τῷ γενναίῳ πρ. Ceterum non abhorrere videtur a stulto et absurdo Cyclopis ingenio hæc suæ torvitatis importuna prædicatio.

(1) Inserui καί.

» μοι ῥώμην ἀνάλογον τῷ τοσῷδε σώματι. Ζῶντος
» γὰρ ἂν αὐτοῦ τὰ ἔγκατα ἐξελκύσαιμι, καὶ, δια-
» σπάσας τὰ μέλη, διά τε τῶν ἀγρῶν καὶ τῶν σῶν
» κυμάτων (οὕτως ἑαυτόν σοι συμμίξειε!) διασπεί-
» ρειμι. Πίμπρασμαι γὰρ, καὶ τὸ πῦρ ἀδικηθὲν
» ὀξύτερον ἐκπυρῶται, καί μοι δοκῶ τὴν Αἴτνην,
» αὐτῷ πυρὶ μεμενεχθεῖσαν, ἐν τῷ ἐμῷ στέρνῳ φέ-
» ρειν. Σὺ δ' οὐδὲν ὑποκλίνῃ, Γαλάτεια.
» Τοιαῦτα μάτην διαμεμφάμενος (καὶ γὰρ πάντα
» ἑώρων), ἀνίσταμαι, καὶ, ὡς ταῦρος οἰστρηλατούμενος
» ἀποσπασθεὶς (1) δαμάλεως, οὐχ οἷός τέ ἐστιν ἵστα-
» σθαι, ἐν τοῖς δρυμοῖς τε καὶ διαβάθραις περινο-
» στεῖ ταῖς οἰκείαις. Ἰδὼν δ' ὁ δεινὸς (2) ἐμὲ καὶ τὸν
» Ἄκιν, ἀγνοοῦντάς τε καὶ τοιοῦτο φοβουμένους μη-
» δὲν, Ὁρῶ τε, ἀνακράζει, καὶ τήνδε τὴν τελευταίαν
» ποιήσω τῆς ὑμετέρας ἀφροδίτης δμοφροσύνην. Το-
» σαύτη δὲ φωνὴ, ὁπόσην ὁ Κύκλωψ ὤφειλεν ὀργι-
» σθεὶς (3) ἔχειν, ἐκείνη γέγονε. Ἡ δ' Αἴτνη τῇ βοῇ
» ὑπερέφερεν. Ἐγὼ δὲ, καταπλαγεῖσα, ὑπὸ τὴν
» ἐγγὺς καταδύομαι θάλατταν. Φυγῇ δὲ τὰ νῶτα
» δίδωσι στρέψας ὁ Συμαίθιος ἥρως, καὶ, Βοήθησον,
» φησὶ, Γαλάτεια· βοηθήσατέ μοι, τεκόντες, καὶ
» ἀπολούμενον ἐπὶ τῆς ὑμετέρας δέξασθε βασιλείας.
» Ὁ δὲ δὴ Κύκλωψ ἐπίκειται, καὶ, μέγας ὄγδους ἀνε-
» σπακὼς, ἐπ' αὐτῷ βάλλει, κἂν εἰ καὶ τὰ μά-
» λιστα τὰ τῆς τοῦ λίθου γωνίας ἔσχατα πρὸς ἐκεῖ-
» νον ἔφθασεν, ὅλον καταχώννυσιν ὅμως τὸν Ἄκιν.
» Ἡμεῖς δ', ὃ μόνον ἐξῆν γενέσθαι διὰ τῶν Μοι-

(1) Forsan leg. ἀποσπασθείσης.
(2) Codex, εἰδεπός.
(3) Inserui ὀργισθεὶς, latina secutus, *Cyclops iratus.*

» ρῶν, πεποιήκαμεν, ὡς ἂν παππῴαν τὴν δύναμιν
» Ἄκις λάβοι. Ἐρυθρὸς τοίνυν ἀπελείβετο λύθρος τῆς
» ἀποῤῥῶγος· χρόνου δ' ἐντὸς ὀλίγου ἀφανίζεσθαι
» ἤρξατο τὸ ἐρύθημα, καὶ χρόα ποταμοῦ γίνεται ἤδη
» θολωθέντος ἐξ ὄμβρου, καὶ μετὰ χρόνον εἰλικρι-
» νὴς ἐγεγόνει· καὶ τότε δὴ ἡ βληθεῖσα ῥήγνυται (1)
» ἀποῤῥώξ, καὶ διὰ τοῦ ῥήγματος θάλλοντες καὶ ἐπι-
» μήκεις (2) ἀνίστανται κάλαμοι, καὶ στόμα κοῖλον
» ἐν τοῖς λίθοις ἠχεῖ τῶν ὑδάτων σκιρτώντων. Καὶ
» (θαῦμα τοῦτο!) νεανίας μέχρι μέσης ἐξανέσχε
» γαστρὸς, εὐκαμπέσι καλάμοις τὰ καινὰ περιεζω-
» σμένος κέρα, ὃς, εἰ μὴ ὅτι μείζων, εἰ μὴ ὅτι γλαυ-
» κὸς ἦν ἅπας τὴν ὄψιν, Ἄκις ἂν ἦν. Καὶ μέντοι καὶ
» οὕτως Ἄκις ἦν, εἰς ποταμὸν μεταβαλών (3). Καὶ τὴν
» ἀρχαίαν ὁ ποταμὸς κλῆσιν κατέχει. »

Ἡ μὲν οὖν Γαλάτεια λέγειν ἐπαύσατο· αἱ δὲ Νηρηΐδες ἀποχωροῦσι τὸ σύστημα διαλύσασαι, καὶ ἠρεμοῦσι τοῖς ὕδασιν ἐπινέουσιν. Ἡ Σκύλλα δὲ ἐπάνεισιν (οὐδὲ γὰρ ἑαυτὴν ἐτόλμα τῷ μέσῳ τῆς θαλάττης πιστεύειν), καὶ ἤτοι, πλὴν ἐσθῆτος, τὴν ξηρὰν ἄμμον περινοστεῖ, ἢ, κεκμηκυῖα, πηγῆς ἀναχώρησιν ἀπῳκισμένην εὑροῦσα, κἀκεῖ τὸ σῶμα ἐγκλείσασα διέψυχεν ὕδατι. Ἰδοὺ δὲ τὰ κύματα τέμνων ὁ καινὸς τῆς θαλάττης οἰκήτωρ Γλαῦκος,

(1) Cod. πήγνυται. In latinis *dehiscit*.

(2) Habuit *procera*: si *properata* mavis, repone αὐτοσχέδιοι vel ἐσχεδιασμένοι.

(3) Cod. μεταβάλλει: correxi. — Ceterum quod Gierigius ait, Aci fluvio hodiernum esse nomen *il Fiume Freddo*, non videtur esse extra controversiam positum. Conf. Amici Lexicon Topographicum Demanæ Vallis. Amicus Catanensis hæc loca bene noverat.

κατὰ τὴν Εὐβοϊκὴν Ἀνθηδόνα ἄρτι (1) τὰ μέλη μεταβαλὼν, πάρεστι, καὶ ὀφθείσης αὐτῷ τῆς παρθένου τῷ ἔρωτι πίμπραται, καὶ, ὅσαπερ οἴεται δύνασθαι φεύγουσαν βραδυτέραν ποιεῖν, φθέγγεται ῥήματα. Ἐκείνη μέντοι φεύγει, καὶ, τῷ φόβῳ συντείνουσα, εἰς κορυφὴν ἔφθασεν ὄρους ἔγγιστα τῆς ἠϊόνος κειμένου. Ἔστι δὲ πρὸ τῆς θαλάττης ὑπερμεγέθης κορυφὴ, εἰς μίαν ὀξύτητα συνηγμένη καὶ δένδρεσι συνηρεφὴς, ἐκφερομένη πρὸς τὰ μακρὰ κύματα. Ἐκεῖ γοῦν ἡ παρθένος ἔστη, καὶ τῆς ἐκ τοῦ χώρου ἀπολαύουσα ἀσφαλείας, πότερον τέρας ὁ φανείς ἐστιν ἢ θεὸς ἀμφιγνοεῖ, καὶ τήν τε χρόαν θαυμάζει, καὶ τὴν χαίτην ὤμους τε καὶ τὰ ὑποκείμενα σπέκουσαν νῶτα, καὶ ὅτι δὴ τὰ περιέσχατα τῶν βουβώνων εὐκαμπὴς διαδέχεται ἰχθύς (2). Ἤσθετο τούτων ὁ Γλαῦκος, καὶ, τῇ σύνεγγυς ἱσταμένῃ διερεισθεὶς (3) ἀπορρῶγι, « Οὔκουν ἔγωγε τέρας » εἰμί » φησὶν, « οὐδ' ἄγριον θηρίον, παρθένε, θεὸς » δέ γε θαλάττιος· οὐδὲ μείζω κατὰ τὴν θάλατ- » ταν ὁ Πρωτεὺς ἔχει δύναμιν, οὐδ' ὁ Τρίτων, οὐδ' » ὁ Ἀθαμαντιάδης Παλαίμων. Θνητὸς μέντοι πρό- » τερον ἦν· ἀλλὰ δηλαδὴ τῇ βαθείᾳ θαλάττῃ ἐκ- » δοὺς ἐμαυτὸν, τοσόνδε κατ' αὐτὴν ἤσκουν. Καὶ » γὰρ νῦν μὲν σαγήνην ἰχθῦς ἕλκουσαν εἷλκον, νῦν δ',

(1) Inserui ἄρτι. Ovid. *nuper*.

(2) Inserendum fuit ἰχθύς.

(3) Cod. διαρεθείς. Lat. « *innitens* quæ stabat proxima moli. » Possit proponi διαρθείς: sed VIII, 727, pag. 361, latina, « *nixus* » cubito », vertit Planudes, ἐπ' ἀγκῶνος ἐρεισθείς. Memini Polemonis Callimacheæ p. 18, §. 58, Orell., sic editæ: πᾶς ἐφονεύετο καὶ τῷ Καλλιμάχῳ προσέπιπτεν, ὃς, καθάπερ προνενευκότι λίθῳ πρὸς θάλασσαν ἐρείσας τὸ ἑαυτοῦ σῶμα, τελευταῖον τοιοῦτον εἶπε τὸν λόγον: ubi nihil mutaverim, nisi τελευταῖον: codex enim Reg. 3017 τελευτῶν exhibet, quod verbum equidem præfero.

» ἀπορρῶγος ὑπερκαθήμενος (1) ἀνέκρυον τῷ κελάδῳ
» τὴν ὁρμιάν. Ἰιόνες δ' ἧσαν ὁμορροῦσαι λειμῶνι
» χλοάζοντι, ὧν μέρος μὲν θάτερον κύματι, θάτερον
» δὲ διαζώννυται πόα, ἣν οὔτε κερασφόροι δαμάλειες
» νεμόμεναι ἐλυμήναντο, οὔθ' ὑμεῖς, πρωτόγονοι
» οἷες, ἐδρέψασθε, οὔθ' ὑμεῖς, αἶγες τραχεῖαι· οὔθ'
» ἡ φίλερως ἐκεῖθεν ἀπανθισαμένη τι μέλιττα ἀπη-
» νέγκαιο, οὐδὲ γαμήλιος ἔδθη τῇ κεφαλῇ στέφανος,
» οὐδὲ δρεπανηφόροι πολὺ χεῖρες ἐκεῖθεν ἐθέρισαν.
» Ἐγὼ πρῶτος ἐπ' ἐκείνης ἐκάθισα τῆς βώλου, καὶ
» τὰ βεβρεγμένα διεξήεργινον δίκλυα. Ἀναλεξάμενος
» δὲ τοὺς ἁλόντας τῶν ἰχθύων καλὰ τάξει μέσον
» τοῦτο (2) διέθηκα, οὓς ἤτοι πρὸς τὰ δίκλυα ἤνεγκεν
» ἡ τύχη, ἢ πρὸς τὸ ἐπικαμπὲς ἄγκιστρον τὸ
» ἑαυτῶν εὐπειστον. Πρᾶγμα τοίνυν ψεύδει παρα-
» πλήσιον γέγονεν· ἀλλὰ τί τὸ ψεύδεσθαί με λυ-
» σιτελήσει; Ἡ ἄγρα μοι τῆς χλόης ἁψαμένη
» κινεῖσθαι ἠρξατο, καὶ περιδινεῖν τὴν πλευρὰν, καὶ
» ἐπὶ τῆς γῆς ὡς ἐπὶ θαλάττης ἐρείδεσθαι. Διαλεί-
» βοντι δέ μοι καὶ ἅμα θαυμάζοντι, φεύγει τὸ
» πλῆθος ἅπαν πρὸς τὴν ἑαυτοῦ θάλατταν, καὶ
» τόν τε καινὸν δεσπότην καὶ τὴν ἠιόνα καλαλιμ-
» πάνουσιν. Ἐγὼ δ' ἀπηνεώθην, καὶ ἐπὶ μακρὸν ἀμ-
» φιβάλλω, καὶ τὴν αἰτίαν ἀναζητῶ, μήποτέ τις
» τοῦτο θεὸς, μήποθ' ἡ τῆς βοτάνης ποιότης εἰργά-
» σατο. Τίς μέντοι πόα ταύτην, εἶπον, ἔσχε τὴν

(1) Plerumque in rupibus piscatum exercebant. Aristæn. 1, 7: πρὸς τὴν ἀκτὴν ἐστηκότα μοι καλὰ πίτυρας καὶ τῷ ἀγκίστρῳ — ἰχθῦν ἀναστῶντα: ubi conf. interpretes. Phanias Epigr. 7: Ἀκτίτα καλαμευτὰ πολὺ ξεστὸν ἔλθ' ἐπὶ πίτυρας.

(2) Forsan, τούτους.

» δύναμιν; Καὶ τῇ χειρὶ χόρτον ἐδρεψάμην ὀλίγην,
» καὶ, δρεψάμενος, τοῖς ὀδοῦσι διέτριγον. Μόλις κα-
» λῶς ὁ λαιμὸς τὸν ἀγνοούμενον χυλὸν καταπέπω-
» κεν, αὐτίκα δ' ἐξαπίνης παλλομένων ἐντὸς τῶν
» περικαρδίων ᾐσθόμην, καὶ, φύσεως ἄλλης ἔρωτι τῆς
» ψυχῆς συναρπαζομένης, οὐδ' οἷός τ' ἐγενόμην ἀντι-
» βῆναι μέχει πολλοῦ, καὶ Οὐδέποτ' ἀναζητηθησο-
» μένη χαίρεις, εἶπον, ὦ γῆ, καὶ ἐμαυτὸν εἰς τὸ
» κῦμα ἐβάπτισα. Οἱ δὲ θαλάττιοι θεοί με ὑποδε-
» ξάμενοι τῆς ἴσης ἑαυτοῖς ἀξιοῦσι τιμῆς, ἵνα δέ μοι
» καὶ ὅ, τιπερ ἂν φέρωμι θνητὸν ἀφέλοιντο, Ὠκεα-
» νοῦ δέονται καὶ Τηθύος. Ἐγὼ δ' ὑπ' ἐκείνων πε-
» ριοδεύομαι, καί μοι τὴν τὰ βέβηλα καθαίρου-
» σαν ἐπωδὴν ἐννεάκις ἐπάσαντες, ἐκτὸν κελεύουσι
» ποταμοῖς ὑποθεῖναι τὰ σέρνα. Αὐτίκα δ' ἐκ με-
» ρῶν διαφόρων συρρέουσι ποταμοί, καὶ ὅλαι θάλατ-
» ται ὑπὸ τὴν ἐμὴν συστρέφονται κεφαλήν· αἵτινες
» ἐπειδή με ὅλῳ τῷ σώματι ἕτερον ἀποδεδώκασιν
» ἢ μικρῷ πρόσθεν ἦν, οὐδὲ γὰρ αὐτὸν ἐκεῖνόν με
» ἐπὶ νοῦν φέρω· μέχει γὰρ (1) τούτου σοι τὰ μνη-
» μονευόμενα τῶν ἔργων ἀπαγγέλλειν ἔχω, μέχει
» γὰρ τούτου καὶ μέμνημαι, καὶ τῶν λοιπῶν οὐ-
» κουν μοι αἰσθάνεται ἡ διάνοια· τότε δὴ πρῶτον
» ἐγὼ τὴν ἀνθηράν μοι τῇ πορφύρᾳ τὴν ὑπήνην, καὶ
» χαίτην, ἣν διὰ τῆς μαχρᾶς ἕλκω θαλάττης,
» τούς τε ὑπερμεγέθεις ὤμους καὶ τοὺς γλαυκοὺς
» βραχίονας εἶδον, καὶ πλερωτὸν εἰς ἰχθῦν τελευ-

(1) Verba valde impedita, et turbata, ut vix intelligas quid in codice suo legerit. Videtur fere, pro *utque animus rediit*, legisse pessime, *utque reddidere*, nec non reliqua miscuisse.

» ταῖα τὰ σκίλη κεμπτόμενα. Τί μέντοι με τοῦτο
» τὸ εἶδος ὠφελεῖ; τί τὸ τοῖς θαλατθίοις ἀρέσαι
» θεοῖς; τί τὸ θεὸν εἶναι; εἰ σοῦ ταῦτα μηδὲν
» ἄπτεται. »

Τοιαῦτα δὴ λέγοντα καὶ μέλλοντα πλείω λέγειν ἔτι, ἡ Σκύλλα τὸν θεὸν καταλέλοιπεν. Ὁ δ' ἐκμαίνεται, καὶ, ὀργισθεὶς ἐκ τοῦ διεσθῆναι, πρὸς τὴν πετρώδη τῆς Τιταναίδος (1) Κίρκης αὐλὴν ἄπεισιν.

(1) Cod. τανίδος: sic XIV, 376, exhibet τανίδα.

Ut impleatur quod chartæ superest, legendam exponam inscriptionem trimetris iambicis viginti quatuor constantem, quam Cockerellius Phinecæ in Lyciæ litore descripsit. Vulgata jam fuit inter Itinera a Walpolio collecta pag. 539. Sed liber ille in Gallia est rarissimus, et a paucis e nostris lectoribus fuisse visum opinor. Editor ait partem tantum esse inscriptionis; sed, quum alphabeti literæ una suo ordine quæque unicuique versui præfigantur, patet nihil inscriptioni deesse, cujus XXIV versus alphabeti literis XXIV adamussim respondeant. Nonnulla supersunt poematiola hoc artificio conscripta, et ipse unum alterumque, si se dederit occasio, inedita proferre potero. Inscriptionem cursivis literis exhibeo, ne, majoribus si uterer, spatio præfixo male caperetur; atque, lapicidæ sphalmatum neglecta mentione, statim scripsi quod legi statim posset et intelligi, de dubia nonnullarum vocum lectione infra moniturus. Oraculi videtur esse responsum.

Ἅπαντα σκέψεις εὐτυχῶς· θεὸς
λέγει. Βοηθὸν ἕξεις μᾶλλα τύχης
τὸν Πύθεον. Γῆ σοι πλεῖον καρ-
πὸν ἀποδώσει πόνων. Δύναμις ἄκαι-
ρος ἐν νόμοισιν ἀσθενής. Ἐκᾶς δι-
καίων ἐκ χάμων ἰδεῖν σπερά·
Ζάλην μεγίστην φεῦγε μήπω καὶ βλα-
βῆς. Ἥλιος ὁρᾷ σε λαμπρὸς ὃς
τὰ πάνθ' ὁρᾷ. Θεοὺς ἀρωγοὺς τῆς
ὁδοῦ ταύτης ἔχεις. Ἱερῶπες εἰσιν·
πλὴν ἀπάντων πειθοῦ. Κύμασι
μάχεσθαι χαλεπόν· ἀνάμεινον, φί-
λε. Λαιὸς ἐλθὼν πάντα σημαίνει
καλῶς. Μοχθεῖν ἀνάγκη· μελαθο-
λὴ δ' ἔσται καλή. Νικηφόρον δω-
ρημα τὸν χρησμόν τι (λεῖ). Ξηρῶν
ἀπὸ κλάδων καρπὸν οὐκ ἔσται λα-
βεῖν. Οὐκ ἔσθι μὴ σπείσαντα θε-
είαν κάρπιμα. Πολλοὺς ἀγῶνας δια-
νύσας λήψῃ σέφος. Ῥᾴον διάξεις
ἔτι βραχὺν μείνας χρόνον. Σαφῶς
ὁ Φοῖβος ἔντεπεν· μεῖνον, φίλε.
Τῶν νῦν παρουσῶν συμφορῶν ἕξεις
λύσιν. Ὑπόσχεσιν τὸ πεῖσμα χει-

ναίαν ἔχει. Φαύλως τι πράξας μετὰ χρόνον ἐνίψῃ θεοῖς. Χρυσοῦν ποιήσεις χρησμὸν ἐπιτυχὼν, φίλε. Ψῆφον δικαίαν τήνδε παρὰ θεῶν ἔχεις. Ὠμὴν ὀπώραν εἰ λάβῃς, οὐ χρήσιμον.

Versu 11, pro λαιὸς Blomfield. proponit opportune λόγος. — 13. Addidi ultimam syllabam verbi τελεῖ, quum in lapide prior tantum supersit. Blomf. conjecit, χρησμόν τ' ἔχειν. Sed quis particulam τε exspectabat? Correctionem bonam esse neutiquam præstiterim; meliorem facias.

Aliam etiam ex eodem Walpolii opere, pag. 506, inscriptionem metricam proferam, eamque non inelegantem. Tribus heroicis elegiacus unus subjectus est.

Γαῖα μὲν εἰς φάος ἦρε Σίβυρτιν· γαῖα δὲ κεύθει Σῶμα, πνοὴν δ' αἰθὴρ ἔλαβεν πάλιν ὅσπερ ἔδωκεν. Πατρὶ δὲ σῷ καὶ μητρὶ λιπὼν λύπας, ὑπ' ἀνάγκης Ὤχου ἀναρπασθεὶς ἑπτὰ ἔτη γεγονώς.

ARGUMENTUM

LIBRI XIV

EX CANTERI NOVIS LECTIONIBUS.

Scyllam Circe mutat in *monstrum*. Æneas autem in Africam venit, ubi eum *Dido* excipit. Tandem ut, Pithecusas prætervectus, ubi *Cercopes* ex hominibus in *simias* mutati, in Italia appulit, in Caietano litore e Macareo multa de *Ulysse* atque *Circes* veneficio comperit, quo etiam *Picus* rex in *picum* avem mutatus erat. Mox bellum cum *Turno* suscipit. Is, quum per Venulum peteret auxilium a *Diomede*, cujus *socii* in *aves* erant transformati, repulsam tulit : redeunte Venulo per ea loca in quibus *Appulus* pastor quondam in *oleastrum* conversus erat. Postea Æneæ *naves Nymphæ* fiunt in prælio, sicut et ex *Ardeæ* urbis, incendio deletæ, cineribus *ardea* avis; atque *Æneas* in *Deum* transit. Successerunt huic reges alii, quorum inter ceteros sub Phoca floruit *Pomona*; quam quum *Vertumnus* amaret, sumta primum *anus* forma, et *Anaxaretes* exemplo in *saxum* conversæ usurpato, deinde rursum *juvenis* factus, voto potitur. Inde sub *Numitore* aquæ *frigidæ* redduntur *calidæ*. Cui qui successit, *Romulus* factus est *Quirinus*, ejusque uxor *Ora* Dea.

ΟΒΙΔΙΟΥ

ΜΕΤΑΜΟΡΦΩΣΕΙΣ.

ΒΙΒΛΙΟΝ ΤΕΣΣΑΡΕΣΚΑΙΔΕΚΑΤΟΝ.

Ἤδη μὲν οὖν τὴν ἐπιῤῥιφεῖσαν τοῖς Γιγαντείοις φάρυγξιν Αἴτνην καὶ τὰ Κυκλώπων πεδία, τὰ μὴ δρέπανον εἰδότα μηδὲ χρῆσιν ἀρότρου, μηδὲ μὴν ζεύγεσι βοῶν καθ' ὁτιοῦν ὀφειλόμενα (1), καὶ Ζάγκλην καὶ τοὺς ἀντιπέρας αὐτῇ τοῦ Ῥηγίου πύργους καταλέλοιπεν ὁ Εὐβοϊκὸς οἰκήτωρ τῆς οἰδαινούσης θαλάσσης, καὶ τὸν κινδυνώδη πορθμὸν, ὃς διτταῖς ἠϊόσι περισφιγγόμενος τῆς Αὐσονίας τε καὶ Σικελικῆς κατέχει τὰ μεθόρια γῆς· ἐκεῖθεν δὲ χειρὶ μεγάλῃ διὰ τῆς Τυῤῥηνῆς ἐνεχθεὶς θαλάττης, ὁ Γλαῦκος πρὸς τοὺς ποιηροὺς (2) ἄπεισι λόφους καὶ τὴν πλήρη ποικίλων (3) θηρῶν αὐλὴν (4) τῆς Ἡλίου

(1) Lat. « nec quidquam *debentia* », quibus nitidius responderent græca μηδὲ μὴν ζ. β. ὁτιοῦν ὀφείλοντα. Supra pag. 487, in hoc verbo pariter peccatum est.

(2) Codex, πονηρούς. Lat. *herbiferos*.

(3) Codex, ποικίλην, frequenti nec semel notata finalium depravatione. Sic ad 102, παρῆλθον pro παρῆλθεν : ad 154, τοιαύτη pro τοιαῦτα : ad 559, ἐπιλαθόμενοι pro feminino ; ad 578, σώματα pro σώματι (qua de peculiari variatione cf. pag. 290) : ad 719, ἡμᾶς pro ἡμῶν : ad 765, ταύτην pro ταῦτα : ad 766, νέω pro νέου : ad 787, δίκαιαι pro δίκαια.

(4) Cod. αὖλιν : sic ad 130, θεατὴς pro θεά τις : ad 702, ἱκέτις pro ἱκέτης : ad 738, ἀπήωρετο : ad 776, πύλιν pro πύλην. Eodem modo peccavit librarius in Oraculo apud Lydum de Mens. ubi luna ταυρώπης dicitur, ταυρῶπις

» ἄξιος ἦσθα, καὶ ταῖς ἀληθείαις (1) ἠδύνασο ἰκε-
» τεύεσθαι μᾶλλον ἢ ἰκελεύειν, καὶ, εἴπερ ἐλπίδας
» δοίης, πίσλευέ μοι, μᾶλλον ἰκελευθήσῃ. Μηδὲ δι-
» σλάσῃς· προσέσλω γάρ σοι τὸ τῆς μορφῆς θάρ-
» ρος. Ἴδε γὰρ, ἐγὼ, καί τοι θεὸς οὖσα καὶ τοῦ
» καθαροῦ θυγάτηρ Ἡλίου, καὶ τοσοῦτον ἐπωδαῖς
» ὅσον καὶ ταῖς βοτάναις ἰσχύουσα, δι' εὐχῆς τίθέ-
» μαι σὴ γενέσθαι. Ὀλιγώρει γοῦν τῆς ὀλιγοροῦσης·
» τὸ δ' ἀνάλογον ἀπόδος τῇ ἑπομένῃ, καὶ δι' ἑνὸς
» ἔργου τῇ μὲν τιμώρει, τὴν δὲ τιμωροῦ. » Τοιαῦτα
τῇ Κίρκῃ πειρωμένῃ « Πρότερον » εἶπεν ὁ Γλαῦκος
« ἐν τῇ θαλάσσῃ δένδρα, καὶν ταῖς τῶν ὀρῶν
» ἄκροις κύμαλα (2) φύσεται, ἢ, τῆς Σκύλλης σώας
» μενούσης, οἱ ἡμέτεροι μεταπεσοῦνται ἔρωτες. »
Ἐδυσχέρανε τοιγαροῦν ἡ θεὰ, καὶ, ἐπεὶ μήτε βλά-
πτειν αὐτὸν οἷά τ' ἦν, οὔτ' ἤθελε (ἦρα καὶ γάρ),
ὀργίζεται τῇ ταύτης προλιμηθείσῃ, καὶ, δυσανασχε-
τήσασα τῷ τῆς ἐπιθυμίας διακορυσθῆναι, αὐτίκα
μάλα φοβεροῖς χυλοῖς δυσφήμους βοτάνας τινὰς
συλλειοῖ, καὶ λειωθείσαις Ἐκατείους μίγνυσιν ἐπῳ-
δὰς, καὶ γλαυκὰς ἐσθῆτας ἐνδύεται, καὶ, δι' ἀγέ-
λης θηρίων, ὑποσαινόντων ἐκ μέσης προΐεισι τῆς
αὐλῆς. Καὶ, πρὸς τὸ ἀντικείμενον ἐλθοῦσα τῷ Ζα-
κλαίῳ σκοπέλῳ Ῥήγιον, εἴσεισι τὰ (3) καχλά-

ἐμοὶ ad βουλομένη, et σοὶ ad εὐχομένη τὰ αὐτά: hoc vere, illud non item. Nam ad βουλομένη melius subaudietur τινί. De βούλεσθαι, ἐθέλειν, latinoque *velle*, in eroticis, egi ad Aristænetum.

(1) De formula ταῖς ἀληθείαις conf. quæ sunt notata ibidem.

(2) Lat. *algæ*. Repone, φύκη. Infra cod. οἷά τ' ἦν, errore consueto.

(3) Firmatur Gierigiana latinorum distinctio : « petens.... « Rhegion, ingreditur..undas. »

Ἐθρήνησε πρὸς ταῦτα ἐρῶν (1) ὁ Γλαῦκος, καὶ τῆς πάνυ πολεμίως τῇ τῶν βοτανῶν χρησαμένης δυνάμει Κίρκης τὴν συνάφειαν φεύγει. Ἡ δὲ Σκύλλα κατὰ χώραν ἔμεινε, καὶ, ἡνίκα δὴ πρῶτον ἁπάντων εὐκαιρίαν εἰλήφει, εἰς μῖσος τῆς Κίρκης τὸν Ὀδυσσέα τῶν ἑταίρων ἐγύμνωσεν. Αὐτίκα δ' ἂν ἡ

cam τοῖς ὑπερανεστηκόσι τῆς γαστρός.

(1) Inserui ἐρῶν, *amans Glaucus*. Mox, ad 75, inserui καὶ post νῆες: ad 108, εἶπεν: δι' ad 122; prius τις ad 123; ad 123 scripsi ἦν ἐν ἐκείνῃ pro ἦν ἐκείνῃ: ad 758, προσθεν ἦν ἐν τῇ pro πρόσθεν ἐν τῇ.—Atque sibi pariliter nocuerunt ἦν et ἐν apud Lysiam in Eratosth. pag. 400, R., sic editum: εἰ μὲν γάρ τις ἐν τῇ πόλει ἀρχὴ ἰσχυροτέρα αὐτῆς. Taylorus conjecit εἰ μ. γάρ τις ἦν τῇ π. Meliorem lectionem reperi in Vaticano cod. 88, εἰ μὲν γ. τ. ἦν ἐν τῇ π. Polemo in Declam. Callimachea §. 13, p. 10, H. St. ἐπειδὴ δὲ οἱ Βάρβαροι τὰ μὲν πεπονηκότες, τὰ δὲ ἀφωπλισμένοι, τὰ δὲ πεφοβημένοι, τραπέντες ἔφυγον εἰς τὰς ναῦς... πολλὴ μὲν τοῖς βουλομένοις σχολή: cod. Reg. 3017, πολλὴ μὲν ἦν τοῖς β. Idem liber habet ἐπεὶ δ' οἱ B. Qui nuper ἐπειδὰν dedit, compendium Stephanianæ male legit; Stephanus enim ἐπειδὴ δὲ exhibet. Et verba τὰ δὲ ἀφωπλ. in hac nupera editione omissa sunt.—Ad N. 108, inserui τε: ad 223, πέλαγει: ad 256, prius ἥτις: ad 311, τεσσάρων: ad 661, πτελέα: ad 665, τῇ πτελέᾳ: ad 810, ἐγγόνῳ. Sic in hoc libro codicis unici lacunas e conjecturis semper probabilissimis, et forsan semper veris, ad latinorum ductum, explere visum est. Ut hoc temeritatis levidensis peccatum redimam, judicesque philologos et criticos mihi conciliem, lacunas nonnullas, codicum ope, in aliis scriptoribus obiter supplebo. Polemo in Euphorionis Oratione §. 15, p. 3, H. St. ἐγὼ δὲ καὶ πάντων αἱρετὸν εἶναι: ad sensum Possinus bene conjicit, λέγω δὲ pro ἐγὼ δέ. Cod. Reg. 3017, plenius, ἐγὼ δὴ κ. π. αἱρ. εἶναί φημι. Ibid. §. 30, pag. 5, ὁ κρυπτόμενος ὑπὸ τῶν βελῶν: cod. ὁ κρ. ὑ. τῶν πολλῶν β. Idem in Callimachea §. 23, pag. 11: ὧν δ' οἱ πειθόμενοι καὶ κελευόμενοι ποιοῦσιν, αἴτιοι οἱ τούτους πείσαντες καὶ κελεύσαντές εἰσιν: cod. melius, αἴτιοι τούτων οἱ πείσ. Callistratus, in Stat. 7, de Orpheo: εἶδες ἂν.....πέτρας πληττομένας μουσικῇ: cod. Reg. 1696, πέτρας αἰσθήσει πληττ. μουσικῆς. Id. Stat. 10: τῆς ὑγείας τὴν οὐσίαν ἑαυτῇ φέρουσα: cod. Reg. 1038, ἐν ἑαυτῇ φ. Philostratus Icon. 1, 12: θερμὸν γὰρ νᾶμα ὑπεκρέον τὰ τῆς Φρυγίας ὄρη: cod. 1696, τῆς κάτω Φρ. Epistola Diogenis Διονυσίῳ in editt. inscripta est; cod. Vatic. 1353, plenius, Κύων Διον.

ζῶα τοὺς ἄνδρας μετέβαλεν, ὡς τοὺς αὐτοὺς ἀνομοίους τε τοῖς ἀνθρώποις καὶ ὁμοίους δύνασθαι φαίνεσθαι. Καὶ γὰρ τά τε μέλη τούτοις συνέστειλε, καὶ τοὺς μυκτῆρας τοῦ μετώπου διϊσταμένου συνήγαγε (1), καὶ πρεσβυτικαῖς ῥυτίσι τὸ πρόσωπον διηυλάκισε, καὶ τὸ σῶμα σύμπαν λάχνῃ ξανθῇ καλυφθέντας εἰς τοῦτον διαφῆκε τὸν χῶρον. Πρότερον μέντοι τὴν τοῦ λόγου χρῆσιν ἀφείλετο, καὶ τῇ γεννηθείσῃ πρὸς τὰς δεινὰς ἐπιορκίας γλώττῃ τὸ δύνασθαι μόνον ἀγανακτεῖν βραγχώδει κριγμῷ καταλέλοιπεν.

Ἐπεὶ δὲ τοῦτον παρῆλθεν τὸν χῶρον, καὶ τῇ μὲν δεξιᾷ τὰ Παρθενόπαια τείχη ἀφῆκε, τῇ δὲ λαιᾷ τὸν τοῦ Αἰολίδου Κανώρου (2) τάφον καὶ τοὺς κομῶντας ἑλείοις ὕδασι (3) τόπους, τὴν τῆς Κύμης ἠϊόνα, καὶ τὸ τῆς πρεσβυτάτης Σιβύλλης εἴσεισιν ἄντρον, καὶ δεῖται τῇ πατρῴᾳ ὑπὸ τὸν ᾅδην ψυχῇ συνελθεῖν. Ἡ δὲ τὴν ὄψιν ἐπὶ πλεῖστον τῇ γῇ διατρίψασαν, ἐπῆρεν ἄνω, καὶ, τέλος, ὑπὸ τοῦ θεοῦ κατασχεθεῖσα, καὶ κορυβαντιάσασα, « Μεγάλα ζητεῖς » εἶπεν, « ἄνερ τοῖς κατορθώμασι μέγιστε, οὗ » διὰ σιδήρου μὲν ἡ δεξιὰ, ἡ δ' εὐσέβεια διὰ πυρὸς » τεθαυμάστωται. Ἀλλὰ καὶ ὣς ἀπόθου τὸν φόβον· » καὶ γὰρ τεύξῃ τῶν ζητουμένων, καὶ τὰς Ἠλυσίας » καταγωγὰς καὶ τὴν ἐσχάτην βασιλείαν τοῦ κόσμου, ἐμοὶ ἡγεμόνι, θεάσῃ, καὶ τὸ φίλον τοῦ » πατρὸς εἴδωλον. Τῇ γὰρ ἀρετῇ οὐκ ἔστιν ὁδὸς

(1) Lat., « naresque a fronte » resimas Contudit », Planudes non cepisse videtur, quæ sic fere verti possunt : καὶ τοὺς μυκτῆρας ἀπὸ μετώπου κατεσίμωσε.

(2) Lat. *canori* nomen esse putavit proprium ! Scribe Αἰολίδου τοῦ λιγυφθόγγου.

(3) Legit *undis* male pro *ulvis*. Repone, φύκεσι.

» ἀδιόδευλος (1). » Εἶπε· καὶ χρυσῷ λάμποντα κλάδον
ἐν τῷ τῆς καλαχθονίας Ἥρας ἔδειξεν ἄλσει, καὶ τοῦτον
ἀναστᾶν ἐκ τοῦ οἰκείου σελέχους ἐκέλευσεν. Ὑπήκουσε
δ' ὁ Αἰνείας, καὶ σὺν δειλίᾳ (2) τὸν τοῦ Πλούτωνος πλοῦ-
τον καλεῖδε, καὶ τοὺς ἑαυλοῦ φοβπάπους, καὶ τὴν
τοῦ (3) μεγαλόφρονος Ἀλχίσου γηραλέαν σκιὰν, καὶ τὰ
τῶν τόπων ἔμαθε πάτεια, καὶ τίνες αὐτῷ κίνδυνοι νέων
πορσελεύσονται ἐκ πολέμων. Ἐντεῦθεν ἀντισλόφῳ πο-
ρείᾳ κεκμηκότας τοὺς πόδας φέρων, ἡγουμένης αὐτῷ
τῆς Κυμαίας, ὁμιλίᾳ λόγων ὑπομαλάτλει τὸν κάμα-
τον. Καὶ δὴ τὴν ὁδὸν ἀφέλγους δι' ἀμφιλύκης ἀπύων,
« Εἴ τέ τις θεῶν σὺ » φησὶ « πάρει, εἴ τέ τις ἐπί-
» χαρις τοῖς θεοῖς, ἐμοὶ μέντοι διὰ παντὸς ἰσοσλάσιος
» ἔσῃ θεῷ, καὶ ἐμαυλὸν σὸν εἶναι δῶρον ὁμολογήσω, ἥ
» με πρὸς τὸν τοῦ θανάτου χῶρον ἐλθεῖν, ἥ με τὸν
» τοῦ θανάτου χῶρον ἰδόντα ὑπεκδύναι πυδόκησας.
» Ὑπὲρ ὧν χαείτων, ἀποσωθεὶς νεὼν εἰς τὰς ἀειίους
» αὐρας σοι ἀνασλήσω (4), καὶ τιμὴν παρέξω θυμια-
» μάτων. » Ἡ μάντις τοίνυν ἀπεῖδε πρὸς αὐτὸν, καὶ,
» πνεῦμα συλλεξαμένη, « Οὔθε θεά τις εἰμὶ, μήθ' ἱερῶν
» θυμιαμάτων τιμῆς κεφαλὴν ἀνθρωπίνην ἀξίου. Ὡς
» ἂν δὲ μὴ ἀγνοῶν πλανῶο, ἐμοὶ φῶς αἰώνιόν τε καὶ
» ἀτελεύτηλον προελείνελο, εἰ τὴν ἐμὴν παρθενίαν ὁ
» Φοῖβος ἐρῶν δρέψαιτο. Ἐν ὅσῳ μέντοι ταύτην ἡλπι-
» ζεν, ἐν ὅσῳ προδιαφθεῖραί με δώρεις ἔσπευδεν, Ἐπί-

(1) Codex, οὐκ ἔσλιν ὁδὸς ἐσλιν ἀδ—

(2) Verba *formidabilis orci* non apte reddidisse Planudes videtur. Repone: καὶ τὸν τοῦ φοβε-ροῦ Πλ. πλ. Crediditne *formidabilem* eum esse qui formidat?

(3) Codex, καὶ τοὺς τοῦ.

(4) Ut latinis græca respondeant, rescribe inverso ordine: εἰς τὰς ἀειίους ἀποσωθεὶς αὖρας, νεών σοι ἀνασλ.

» λεξαι, φησὶ, παρθένε Κυμαία, τί ποτ' ἂν εὔξαιο,
» καὶ τεύξῃ σὺ (1) τῆς εὐχῆς. Ἐγὼ δὲ, κόνεως συναμη-
» θείσης σωρὸν ἐπεδείξασα, ὅσαπερ ἂν ὁ χοῦς ἐκεῖνος
» σώματα φέροι, τοσαύτας μοι γενεθλίους ἡμέρας
» ηὐξάμην ἡ ματαία! γενέσθαι. Ἐξέπεσε δέ μου τῶν
» λογισμῶν καὶ νεάζοντας αὐτίκα μάλα τοὺς ἐνιαυτοὺς
» ἀεὶ τούτους αἰτῆσαι. Τούτους μέντοι μοι ἐκεῖνος
» ἐδίδου, καὶ ἥβην ἐπὶ τούτοις ἀθάνατον, εἰ τὴν
» ἀφροδίτην ἐνέγκαιμι. Ἀλλὰ, καταφρονήσασα τῶν
» δώρων τοῦ Φοίβου, ἄγαμος διαμένω. Ἀλλὰ γὰρ
» ἤδη μοι τὸ τῆς ἡλικίας εὐδαιμονέστερον νῶτα δέ-
» δωκε, καὶ τρομεροῖς βήμασι τὸ ἀσθενὲς γῆρας
» ἔπεισιν· ὅπερ ἐπὶ μακρὸν (2) ὑπομεῖναί με δεῖ. Καὶ
» γὰρ ἤδη μοι ἑπτὰ διεξεληλυθότας ἐνιαυτοὺς (3)
» ὁρᾷς· ὑπολέλειπται δ', ὥστε τὸν τῆς κόνεως ἀρι-
» θμὸν ἐξισῶσαι, τρὶς μὲν ἑκατὸν ἀμήτους, τρὶς δ'
» ἑκατὸν τρυγήτους θεάσασθαι. Καὶ δὴ καιρὸς ἔσται,
» καθ' ὃν ἐκ τοῦ τοσοῦδε σώματος ἐλαχίστην ἡ τῶν
» ἡμερῶν με ποιήσει παράτασις, καί μοι τὰ μέλη,
» καταναλωθέντα τῷ γήρᾳ, εἰς βραχύτατον ἀπενε-
» χθήσεται βάρος, καὶ δόξω μήτε ποτὲ πεφιλῆσθαι,
» μήτε τῷ θεῷ ἀρεστὴ γεγονέναι, καὶ αὐτὸς δ' ἴσως
» ὁ Φοῖβος ἤτοι με οὐκ ἀναγνωριεῖ (4) ἢ ἀπαρνήσεται

(1) Codex, σοι : conf. p. 527.

(2) Sic codex cum varietate, μακροῦ. Sed ἐπὶ μακρὸν supra pp. 283, 304, et infra ad xv, 147, 446, 540, et alibi.

(3) Imo αἰῶνας, *sæcula*.

(4) Codex, ἀγνοριεῖ. Librarii sic nonnunquam voces properantiore calamo mutilant. Ad 159, καρεὺς inveni pro Μακαρεύς: ad 248, ἐξάψαμεν pro ἐξαψάμενοι : supra pag. 87, pro ἐπικεχειρήκει, cod. A, ἐπιχειρήκει : conf. pp. 446, 448, 449, 509. Versa vice auctæ alibi sunt præter rem voces : sic ad 286, ἐγκλειόμεναι pro ἐγκλειόμαι : ad 291, κυλληνίκιος, pro Κυλλήνιος.

» τὸν Αἰνείαν ἥτλόν τι τοῦ γεννησαμένου σεβάζομαι.
» Οὐδὲ γὰρ ἄλις πολὲ χάειλας ἀποδοῦναι δυναίμην,
» οὐδ' εἰ πάντα παρέσχοιμι. Ὁ γὰρ λαλῶ καὶ
» ωνέω (1), καὶ οὐρανὸν καὶ τὸν ἀσλέρα ἡλίου βλέπω
» (ἆρ' ἂν δυναίμην ἀχάειστος φαίνεσθαι καὶ ἀμνή-
» μων;), ἐκεῖνος ἔδωκε, καὶ ὅτι μὴ (2) εἰς τὸ σλόμα
» τοῦ Κύκλωπος τοῦτό μοι τὸ ψυχίδιον ἦλθε, καὶ
» ὡς μὴ τὸ ζωλικὸν ἀπολιπεῖν με φῶς ἐν τάφῳ, ἢ,
» τἀληθὲς εἰπεῖν, μὴ ἐν ἐκείνῃ ταφῆναι τῇ γασλεί (3).
» Τίς ἦν μοι τότε ψυχὴ (εἰ μὴ ὅτι πᾶσαν αἴσθησιν
» καὶ ψυχὴν ὁ φόβος ἀφείλετο), ἡνίκα, καλαλει-
» φθεὶς, τὸ σαλὺ πέλαγος ὑμᾶς ζητοῦντας ἑώρων;
» Ἠθελον γὰρ καλέσαι· ἀλλ' ἔδεισα ἐμαυτὸν σφε-
» δοῦναι τῷ ἀλάσλοει. Καὶ γὰρ καὶ ἡ τοῦ Ὀδυσσέως
» κρυγὴ μονονουχὶ τὴν ὑμελέρην. (4) καλέδυνεν ναῦν.
» Εἶδον ὁπότε σκόπελον ὅτι μέγισλον, ὄρους ἀπο-
» σπάσας, εἰς μέσα διαφῆκε τὰ κύμαλα. Εἶδον αὖθις
» ὡς ἀπὸ μηχανῆς τινὸς ἐρρωμένης ὑπερμεγέθεις ἀκον-
» τίζοντα λίθους τῇ γλαντεία χειρὶ περιαγομένους.
» Καὶ ὑπερέδεισα μή πολε τὴν ναῦν ἤτοι τὸ ῥόθιον
» ἢ ὁ λίθος βαπλίσῃ· ἐπελαθόμην γὰρ ὡς οὐκ ἔτι
» ἐγωγε ἦν ἐν ἐκείνῃ. Ἐπεὶ δ' ὑμᾶς φυγὴ τῆς πικρᾶς
» ἐξέσωσε τελευλῆς, ἐκεῖνος, οἰμώζων, ἀνὰ πᾶσαν
» τὴν Αἴτνην διαφοιτᾷ, καὶ τὰς λόχμας ἐπιφη-

nem : εἰ ταύτης ἡδίων μοί ἐσλιν οἶκος καὶ Ἰθάκη τῆς πώς.

(1) Horatius IV, O. III : « Quod » spiro.... tuum est. »

(2) Codex μοι.

(3) Erravit a sensu, qui hæc vel talia poscit : ...ἦλθε, καὶ, εἰ νῦν τὸ ζωλικὸν ἀπολείψω φῶς, ἢ ἐν τάφῳ, ἢ, τἀληθὲς εἰπεῖν, οὐκ ἐν ἐκείνῃ ταφήσομαι γασλεί.

(4) Codex ἡμελέρην. Et infra ἡμᾶς. Permutatio hæc jam sæpius notata fuit : conf. supra pagg. 327, 561, 581.

» ἐρώλι τῷ ἐμῷ δεδουλῶσθαι· μέχει καὶ ἐς τοῦτο
» ἀλλοιουμένη μελενεχθήσομαι· καὶ ὁρωμένη παρ'
» οὐδενὸς, τῇ φωνῇ μέντοι γνωσθήσομαι· φωνὴν γάρ
» μοι (1) καλαλείφουσιν (2) μόνον αἱ Μοῖραι.»

Τοιαῦτα καλὰ τὴν ἀνάντη πορείαν τῆς Σιβύλλης διαμνημονευούσης, εἰς τὴν Εὐβοϊκὴν πόλιν (3) ἐκ τῶν Στυγίων ἀνέδυ χώρων ὁ Τρὼς Αἰνείας, καὶ θυμάτων, ὡς ἔθος, σφαγιασθέντων, ἄπεισι πρὸς τὴν ἠϊόνα, τὴν μήπω τὸ τῆς αὐτοῦ τροφοῦ φερούσης τὸ ὄνομα. Ἐνταῦθα δὲ, μελὰ τὴν μαχρὰν τῶν πόνων ἀγανάκλησιν, ἔσλη καὶ ὁ Νηίκιος Μαχαρεὺς ὁ τοῦ πολυπειρλάτου Ὀδυσσέως ἑταῖρος, ὃς τὸν ἐν μέσαις ἐγκαλαλειφθέντα πολὲ ταῖς ἀπορρῴξι τῆς Αἴτνης Ἀχαιμενίδην ἀνέγνω, καὶ, τοῦτον ἀπροόπλως εὑρεθέντα θαυμάζων ὅπως βιοῖ, « Τίς σε » φησὶν, « Ἀχαιμενίδη, εἴτε τύχη, εἴτε θεὸς, φυλάτλει; Πῶς » πολὲ Βάρβαρος ναῦς κομίζει σε τὸν Γραικόν; Τίς » γῆ τῇ ὑμελέρᾳ νηὶ ζηλεῖται; » Τοιαῦτα ἐρωῶντι ὁ Ἀχαιμενίδης οὐκ ἔτι τραχὺς τὴν περιβολὴν, ἀλλ' ἤδη ἐλεύθερος, καὶ ἀκάνθαις ἔσλιν οὐχ αἷς συνυφασμένῃ σλολῇ χρώμενος, ἐξεβόησεν· « Εἴθε τὸν Πολύ-» φημον αὖθις, καὶ τὸ καλάῤῥυλον ἐκεῖνο σλόμα τοῖς » ἀνθρωπείοις αἵμασι, θεασαίμην, εἰ μὴ βελλίων » ἥδε μοι διαλειβὴ καὶ τῆς Ὀδυσσέως νεὼς (4), εἰ

(1) Cod. *μι*, quod mutavi. Supra pag. 49, *σι* et *σοι* vidimus permutata, et p. 304, pro *τοῦτό μι*, cod. A exhibet *τοῦτό μοι*. Heliod. II, 4, *σι*, ubi Venet. *σοι*, male. Cf. ad Aristæn. p. 640.

(2) Cod. *καλαλήφουσιν* et supra *πφιλεῖσθαι*, permutatione solenni vocalium *η* et *ει*. Sic ad 302, *ἐπῆδιν* pro *ἐπῇδειν*: ad 445, *πώδη* pro *πώδει*: ad 577, *ἀπηρεῖσθαι*: ad 576, *πρέπει* pro *πρέπῃ*: ad 597, *ζεύγη* pro *ζεύγει*.

(3) In codice *πάλιν*.

(4) Repone ad meliorem quam nunc habemus in latinis lectio-

» τὸν Αἰνείαν ἦτλόν τι τοῦ γεννησαμένου σεβάζομαι.
» Οὐδὲ γὰρ ἄλις πόλε χάρις ἀποδοῦναι δυναίμην,
» οὐδ' εἰ πάντα παρασχοίμι. Ὁ γὰρ λαλῶ καὶ
» πνέω (1), καὶ οὐρανὸν καὶ τὸν ἀστέρα ἡλίου βλέπω
» (ἆρ' ἂν δυναίμην ἀχάριστος φαίνεσθαι καὶ ἀμνή-
» μων;), ἐκεῖνος ἔδωκε, καὶ ὅτι μὴ (2) εἰς τὸ στόμα
» τοῦ Κύκλωπος τοῦτό μοι τὸ ψυχίδιον ἦλθε, καὶ
» ὡς μὴ τὸ ζωϊκὸν ἀπολιπεῖν με φῶς ἐν τάφῳ, ἢ,
» τἀληθὲς εἰπεῖν, μὴ ἐν ἐκείνῃ ταφῆναι τῇ γαστρί (3).
» Τίς ἦν μοι τότε ψυχὴ (εἰ μὴ ὅτι πᾶσαν αἴσθησιν
» καὶ ψυχὴν ὁ φόβος ἀφείλετο), ἡνίκα, καλαλει-
» φθείς, τὸ σαλοῦ πέλαγος ὑμᾶς ζητοῦντας ἑώρων;
» Ἠθελόν γὰρ καλέσαι· ἀλλ' ἔδεισα ἐμαυτὸν σφε-
» δοῦναι τῷ ἀλάστορι. Καὶ γὰρ καὶ ἡ τοῦ Ὀδυσσέως
» κραυγὴ μονονουχὶ τὴν ὑμέλεραν (4) καθέδυνεν ναῦν.
» Εἶδον ὁπότε σκόπελον ὅτι μέγιστον, ὄρθους ἀπο-
» σπάσας, εἰς μέσα διαφῆκε τὰ κύματα. Εἶδον αὖθις
» ὡς ἀπὸ μηχανῆς τινὸς ἐρρωμένης ὑπερμεγέθεις ἀκον-
» τίζοντα λίθους τῇ γιγαντείᾳ χειρὶ περιαγομένους.
» Καὶ ὑπερέδεισα μή ποτε τὴν ναῦν ἤτοι τὸ ῥόθιον
» ἢ ὁ λίθος βαπτίσῃ· ἐπελαθόμην γὰρ ὡς οὐκ ἔτι
» ἐγωγε ἦν ἐν ἐκείνῃ. Ἐπεὶ δ' ὑμᾶς φυγὴ τῆς πικρᾶς
» ἐξέσωσε τελευτῆς, ἐκεῖνος, οἰμώζων, ἀνὰ πᾶσαν
» τὴν Αἴτνην διαφοιτᾷ, καὶ τὰς λόχμας ἐπιφη-

nem : εἰ ταύτης ἡδίων μοί ἐστιν οἶκος καὶ Ἰθάκη τῆς νεώς.

(1) Horatius IV, O. III : « Quod » spiro....tuum est. »

(2) Codex μοι.

(3) Erravit a sensu, qui hæc vel talia poscit : ...ἦλθε, καὶ, εἰ νῦν τὸ ζωϊκὸν ἀπολείψω φῶς, ἢ ἐν τάφῳ, ἢ, τἀληθὲς εἰπεῖν, οὐκ ἐν ἐκείνῃ ταφήσομαι γαστρί.

(4) Codex ἡμελέραν. Et infra ἡμᾶς. Permutatio hæc jam sæpius notata fuit : conf. supra pagg. 327, 561, 581.

» λαφᾷ ταῖς χερσὶ, καὶ, ἐσιερημένος τοῦ ὀφθαλμοῦ,
» προσαράττει ταῖς πέτραις, καὶ, μεμολυσμένας
» τῷ ἰχῶρι τὰς χεῖρας προβλέπων εἰς θάλατταν,
» τῷ γένει καλαρᾶται τῶν Ἀχαιῶν, καὶ φησιν· Ὢ!
» εἴ τις ἐπαναχομίσειέ μοι τύχη τὸν Ὀδυσσέα ἢ
» τινα τῶν ἑταίρων, εἰς ὃν τὸν ἐμαυτοῦ θυμὸν ἐκ-
» θηριώσαιμι, οὗ τὰ σπλάγχνα ἂν φάγοιμι, οὗ
» ζῶντα τὰ μέλη τῇ ἐμαυτοῦ διασπαράξαιμι ἂν
» δεξιᾷ, οὗ τὸ αἷμα πλημμυρήσειεν ἂν περὶ τὸν
» λαιμόν μοι, καὶ σπαίροιεν (1) ὑπὸ τοῖς ὀδοῦσι συν-
» τριβέντα τὰ ἄρθρα! Ἢ γὰρ ἂν οὐδὲν ἡ κοῦφόν
» μοι, τοῦδε γενομένου, τὸ τῆς ζημίας τοῦ ὀφθαλμοῦ
» ἐνομίζετο. Ταῦτα καὶ πλείω τούτων ὁ θηριώδης
» ἐκεῖνος εἶπεν. Ἐμὲ δὲ ὠχρὰ φόβη κατέλαβεν
» ὁρῶντα τὸ πρόσωπον ἔτι καὶ νῦν διάβροχον τῷ
» λύθρῳ καὶ χεῖρας τὰς ὠμοπλάτας, καὶ τὸν κεκε-
» νωμένον τοῦ ὀφθαλμοῦ κύκλον, καὶ τὰ λοιπὰ τῶν
» μελῶν καὶ τὸν πώγωνα τοῖς ἀνθρωπείοις πεφυρ-
» μένον αἵμασι. Θάνατος ἦν τηνικαῦτά μοι πρὸ
» ὀφθαλμῶν· οὗτος μέντοι τὸ τῶν κακῶν ἦν ἐλάχι-
» στον. Καὶ γὰρ νῦν μὲν ἐμαυτὸν ᾤμην πιέζεσθαι, νῦν
» δέ μοι τὰ ἕρκεα καταθάπτειν ἐκεῖνον εἰς τὰ οἰ-
» κεῖα· καὶ ἡ φαντασία τοῦ χρόνου ἐκείνου τῇ διανοίᾳ
» μοι προσκεκόλλητο, καθ' ὃν εἶδον σώματα δύο τῶν
» ἑταίρων ἐμαυτοῦ τοῖς καὶ τέρασιν ἐκεῖνον τῇ γῇ
» προσουδίζοντα· ἤνικα (2) γὰρ αὐτὸς ἄνωθεν κα-
» τακείμενος, δασυσθέρνου λέοντος δίκην, τά τε
» σπλάγχνα καὶ σάρκας, σὺν λευκοῖς τε ὀστᾶ μυε-

(1) Cod. σπέροιεν: sic ad 648, ὀμόσι pro ὀμόσαι.

(2) Legit *quum*, non *quæ*. Poteris rescribere ὑπὲρ ἃ αὐτὸς κατεκ.

» λοῖς, καὶ ἡμιθνῆτας ἁρμονίας εἰς γαστέρα τὴν ἀκό-
» ρεστον ἔκρυπτεν. Ἐμὲ τεῖχος ἐπολιόρκει, καὶ σπυ-
» γνάζων εἰσήκειν χωρὶς αἵματος, καὶ διάβροχον
» αὐτὸν βλέπων, καὶ τοῦ σώματος ἀποπλύοντα
» σῖτα λελυθρωμένα, καὶ οἴνῳ συνελιτόμενα τρύφη
» ἐξεμοῦντα τοιαύτας ἀνέπλατον κἀμοὶ τῷ τα-
» λαιπώρῳ τύχας παρασκευάζεσθαι. Ἐπὶ πολλαῖς
» τοίνυν ἡμέραις κρυπτόμενος, καὶ πρὸς ἅπαντα
» τρέμων φόφον, καὶ θανεῖν ἐφιέμενος, καὶ τῷ τοῦ
» θανεῖν αὖθις φόβῳ τὸν λιμὸν βαλάνοις ἀποσοβῶν
» καὶ φύλλοις ἀναμὶξ δένδρων καὶ βοτανῶν, μόνος,
» ἄπορος, ἀπεγνωσμένος, θανάτῳ καὶ κολάσεσιν
» ἀνειμένος, ταύτην, μετὰ μακρὸν τὸν χρόνον, τὴν
» ναῦν ὁρῶ πόρρωθεν. Καὶ ἱκέτευσα νεύμασι τὴν φυ-
» γήν, καὶ πρὸς τὸν αἰγιαλὸν ἔδραμον, καὶ ἔκραζα
» τοὺς ἐμπλέοντας. Καὶ ναῦς ἡ Τρωϊκὴ τὸν Γραικόν
» με ἀνείλετο. Καὶ σὺ δ', ἑταίρων χαριέστατε, τὰς
» σαυτοῦ μοι τύχας ἐκλίθου, καὶ τὰς τοῦ ἡγεμόνος,
» καὶ τῶν ἑταίρων, οἳ σὺν σοὶ τῇ θαλάττῃ κραιπα-
» σίευσαν ἑαυτούς.»

Ὁ δ' ἀπαγγέλλει τὸν Αἴολον ἐν τῷ Τυρρηνικῷ βασιλεύειν πελάγει, Αἴολον τὸν Ἱπποτάδην τὸν τοὺς ἀνέμους εἰρκτῇ κατέχοντα, οὓς (1) βύρσᾳ βοὸς ἐγκλεισθέντας, μνήμης ἄξιον δῶρον, ἡγεμόνα τὸν Δουλίχιον εἰληφέναι, καὶ οὐρίῳ πνεύματι καλῶς ἡμέρας ἐννέα πεπλευκέναι, καὶ γῆν τὴν ζητουμένην

(1) Codex, ὅς. Statim cod. κακῶς. Adverbia illa duo, κακῶς et καλῶς, sæpicule variari jam monui ad Eunap. pag. 368, ad Manassem p. 413. Cf. Rittersh. ad Isidor. Pelus. IV, 71; Peerlkamp. ad Xenophontem Ephesium, pag. 149.

ἐωρακέναι, τῇ δ' εὐθὺς μετὰ τὴν ἐννάτην, ἤδη τῆς ἕω διακινουμένης, φθόνῳ τοὺς ἑταίρους καὶ ἡμέρᾳ κέρδους ἑαλωκέναι, καὶ χρυσὸν σιομένους εἶναι, τοῖς ἀνέμοις τὰ δεσμὰ λελυκέναι· ὑφ' ὧν εἰς τοὐπίσω, δι' ἧς ἀρτι πορείας ἐληλύθει, πάλιν αὖ ἀπεληλυθέναι, καὶ τοὺς Αἰόλου τοῦ βασιλέως λιμένας αὖθις κατειληφέναι. « Ἐντεῦθεν πρὸς τὴν τοῦ Λάμου » φησὶν « τοῦ Λαισтρυγόνος ἀρχαίαν ἥλθομεν πόλιν. Ἀντι- » φάτης δ' ἦρχεν ἐκείνης τῆς γῆς. Ἀποστάλην οὖν » ἐγὼ πρὸς αὐτὸν, δυοῖν μοι συμπαρόντων ἑταίρων. » Μόλις δὴ τὴν σωτηρίαν ἐγώ τε καὶ ὁ ἑταῖρος ἐπο- » εισάμεθα. Ὁ γάρ τοι τρίτος ἡμῶν τὸ τοῦ Λαι- » στρυγόνος κάκιστ' ἀπολούμενον στόμα τῷ ἑαυτοῦ » καθέχεισεν αἵματι. Ὁ δ' Ἀντιφάτης φεύγουσιν » ἡμῖν ἐπίκειται, καὶ διεγείρει τὸ πλῆθος. Καὶ συ- » νίασι, καὶ λίθους καὶ ξύλα συνακοντίζουσι, καὶ τοὺς » ἄνδρας καθαδύουσι καὶ τὰς ναῦς. Μία μέντοι, ἥτις » ἡμᾶς καὶ αὐτὸν (1) ἔφερεν Ὀδυσσέα, διαπέφευγε, » μέρος τι τῶν ἑταίρων (2) ἀποβαλοῦσα. Ἡμεῖς δ', » ἀνιώμενοι καὶ πλεῖστον ὅσον ἐλεεινολογούμενοι, εἰς » ἐκείνην τὴν γῆν ἐξωκείλαμεν, ἣν πόρρωθεν ἐνθένδε » σκοπεῖς. Πόρρωθεν ἐνθένδε, πίστευέ μοι, χρὴ βλέ- » πειν ἢν εἶδον ἐγὼ νῆσον. Καὶ σὺ δ', ὦ δικαιότατε » Τρώων, παῦ θεᾶς Αἰνεία (οὐκ ἔτι γὰρ, τοῦ πολέ- » μου συντελεσθέντος, ἐχθρός μοι κληθήσῃ), φεύ- » γειν παρεμνῶ τὴν ἠϊόνα Κίρκης. Καὶ γὰρ ἡμεῖς, ἐν » αὐτῇ τὰ τῆς νηὸς ἐξαλφάμενοι πείσματα, τοῦ τε » Ἀντιφάτου καὶ τοῦ ἀμειλίχου Κύκλωπος μεμνη-

(1) Codex, αὖτη : Iat. *ipsum*. (2) Est in codice male ἑτέρων.

» μένοι, ἀπηλρεύομεν ἐλθεῖν, καὶ ἀγνῶτας εἰσελθεῖν
» οἴκους. Κλήρῳ γε μὴν (1) ἐπελέχθημεν. Καὶ ὁ κλῆρος
» ἐμέ τε καὶ τὸν εὔνουν Πολίτην, καὶ Εὐρύλοχον,
» ἅμα καὶ Ἐλπήνορα τοῦ οἴνου σφοδρὸν ἐρασθήν,
» καὶ ἑτέρους ἑταίρους (2) δὶς ἐννέα, πρὸς τὰ Κιρκαῖα
» συνέπεμψε τείχη. Ὧν ὁμοῦ τε ἠλάμεθα καὶ ἔσθη-
» μεν ἐπὶ τοῦ τῆς οἰκίας οὐδοῦ, μυρίοι δὲ λύκοι, καὶ
» τοῖς λύκοις ἀναμὶξ ἄρκτοι καὶ λέαιναι ἐπιδραμοῦ-
» σαι, φόβον ἡμῖν ἐνεποίησαν. Ἀλλ' οὐκ ἔστιν ἥτις
» αὐτῶν ἦν φοβηθέα· οὐκ ἔστιν ἥτις πληγήν τινα
» τῷ ἡμελέρῳ ποιήσειν ἔμελλε σώματι. Καὶ γάρ τοι
» καὶ μειλιχίους εἰς ὕψος τὰς οὐρὰς διεκίνουν, καὶ
» τοῖς ἡμελέσις ἴχνεσι εἵποντο σαίνουσαι, μέχρις
» ἡμᾶς αἱ θεράπαιναι διεδέξαντο, καὶ διὰ τῆς αὐλῆς,
» μαρμάροις πανταχόθεν διειλημμένης (3), πρὸς τὴν
» δέσποιναν ὁδηγοῦσιν. Ἡ δ' ἐν ἀνακεχωρηκότι καὶ
» περικαλλεῖ τῷ χώρῳ ἐπὶ μέλεώρου καθῆστο τοῦ
» θρόνου, καὶ ξυστίδα λαμπρὰν ἠμφίεστο, καὶ ἐπι-
» χρύσῳ ἄνωθεν χλαμύδι περιεστέλλετο. Συνῆσαν δ'
» αὐτῇ Νηρηίδες ὁμοῦ καὶ Νύμφαι, αἵτινες ἔριον
» μὲν ξαίνουσι τοῖς δακτύλοις οὐδὲ ἓν, οὐδ' ἐπόμε-
» νον νῆμα καταγνύουσιν, ἀλλὰ πόας διευθετοῦσι, καὶ
» διεσχεδασμένα ἀτάκτως ἄνθη καὶ ποικίλας τὴν
» χθόνα βοτάνας διακρίνουσιν ἐν ταλάροις. Αὐτὴ
» δ' ἀπαιτεῖ πάσας ὅπερ ἂν ἔργον ποιοῖεν· αὐτὴ καὶ

(1) Codex. π μήν. — Mox, δ' ἐπία.

(2) Delendum puto ἑπέρους, malam omnino dittographiam.

(3) Democritus Athenæi XII, 29, de Ionum vestibus : αἱ κεφαλαὶ καὶ ἴσα διειλημμέναι ζώοις. Locus hic torsit interpretes. Κεφαλαὶ sunt limbi extremi, qui æquabiliter lineis et zonis (nam propono legendum ζώναις) erant interstincti.

» τίς ἑκάστων χρῆσις καὶ ἐν τίνι (1) τῶν φύλλων ἐστὶ,
» καὶ τίς ἂν εἴη συμφωνία συναφθέντων αὐτῶν ἐπί-
» σταται, καὶ τὰς βολὰς ἴσῃσι σταθμῷ μεταφέ-
» ρουσα (2). Αὕτη τοίνυν, ἡμῖν προσσχοῦσα, καὶ
» ἀσπασμὸν δοῦσά τε καὶ δεξαμένη, διαχεχυμένον
» τε τὸ πρόσωπον ἔδειξε, καὶ φωνὰς αἰσίους ἀπέ-
» δωκεν. Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ κελεύει κειθῆς
» πεφρυγμένης (3) ἅλφιτα μίγνυσθαι, καὶ μέλι καὶ οἴ-
» νου δύναμιν σὺν ἀρτιπαγεῖ γάλακτι· προσεπιβάλ-
» λει δὲ λάθρα καὶ οἵτινες ἂν ὑπ' ἐκείνῃ τῇ γλυ-
» κύτητι χυλοὶ κρύπτοιντο. Ἐδεξάμεθα δ' ἡμεῖς τὰ
» ὑπὸ τῆς ἱερᾶς χειρὸς προσφερόμενα πόματα· ἅπερ
» ἅμα τε ἡμεῖς ἐσπάσαμεν, ἀφανισθέντες τῇ δίψῃ
» τὰ στόματα, καὶ ἡ δεινὴ θεὸς ἐκείνη ῥάβδῳ τῶν
» ἄκρων τειχῶν ἥψατο (αἰσχύνομαι μὲν, ὅμως δ'
» ἀπαγγελῶ), καὶ τότε φρίττειν ἠρξάμην, καὶ μηκέτι
» λαλεῖν δύνασθαι, ἀντὶ δὲ ῥημάτων βρυγχώδη
» γρύζειν, καὶ ὅλῳ προσώπῳ προσπίπτειν εἰς γῆν·
» καὶ ἠσθόμην τοῦ στόματος μακρῷ ῥύγχει προσχυ-
» νομένου· καὶ ὁ αὐχὴν ἐξωδήκει, καὶ οἳς πρὸ μικροῦ
» τοῦ σώματος μέρεσιν ἐδεξάμην τὸ ἔκπωμα, ἴσχνη
» ταῦτα (4) πεποίηκα. Καὶ σὺν τοῖς τὰ αὐτὰ πε-

(1) *Quoque* non divisim intelligendum fuisse videtur. Verterim, ἐν ἑκάστῳ τῶν φ.

(2) *Advertens* non intellexit. Repone, τοῦτ' προσέχουσα, vel, ob sequentia, σὺν ἐπιμελείᾳ. Statim cod. προσχοῦσα, quod mutavi, ut et προσχὰς infra, ad ν. 319. Vide not. pag. 129, coll. Blomf. ad Agam. 1249.

(3) Codex, πφειγμένη, eodem mendo quo ad ν. 487, 582, κυθήρεια pro Κυθέρεια: ad 663, ἀπυρδίασον: ad 820, ῥυτῆ. Proprium κειθῆ πφρυγμένη nomen erat κάχυος. Gloss. Nubium ad ν. 1362, κάχυος vertit πεφρυγμένας κειθάς.

(4) Non videbat præ festinatione Planudes *illa* esse ablativum, nec pendere a voce *vestigia*: nempe *illa parte*. Repone, πύπις.

» πονθόσιν (τοσοῦτον τὰ φάρμακα δύνανται) εἰς
» ἄντερον ἐγκλείομαι. Μόνον τὸν Εὐρύλοχον εἶδμεν
» τὴν χοίρου πεφευγότα μορφήν. Μόνος γὰρ τὴν δο-
» θεῖσαν ἔφυγε πόσιν. Ἦν εἰ μὴ ἐφυλάξατο, κλητῶν
» φειξαυχένων εἰς ἔτι καὶ νῦν μέρος ἂν ἔμενεν (1),
» οὐδ' ἂν Ὀδυσσεύς, ἀναδιδαχθεὶς ὑπ' ἐκείνου,
» πρὸς τὴν Κίρκην τιμωρὸς ἡμῖν ἦλθε. Τούτῳ γε μὴν
» ὁ τὸ κηρύκιον φέρων Κυλλήνιος λευκὸν ἄνθος ἔδωκεν,
» ὅπερ οἱ θεοὶ Μῶλυ προσαγορεύουσι, μελαίνης δὲ
» ῥίζης ἔχεται. Ὁ δὲ, τούτῳ τε ἀσφαλισάμενος
» ἑαυτὸν, καὶ ἅμα ταῖς τοῦ θεοῦ ὑποθήκαις, εἴσεισι
» τὴν τῆς Κίρκης οἰκίαν. Καὶ, πρὸς τὴν ἐπίβουλον
» πόσιν κληθεὶς, ἐπιχειρησάσης τῆς Κίρκης ῥάβδῳ (2)
» καλαφῆσαι τὰς αὐτοῦ τρίχας, διώσαλο καὶ τομῷ
» καλέπληξεν δείσασαν ξίφει. Ἐντεῦθεν πίστεις τε
» καὶ δεξιαὶ δίδονται, καὶ Ὀδυσσεὺς εἰς τὸν ἐκείνης
» εἰσδεχθεὶς θάλαμον, πρῶτα τοῦ γάμου τὰ τῶν
» ἑταίρων ἀπαιτεῖ σώματα. Ῥαινόμεθα τοίνυν ἀμεί-
» νονι (3) χυλῷ βολάνης ἀγνοουμένης, καὶ τυπλό-
» μεθα τὴν κεφαλὴν ἀντεσταλμένη τῇ ῥάβδῳ, καὶ
» ῥήματα ἐπάδονται τοῖς ῥηθεῖσι ῥήμασιν ἐναντία.
» Ὅσῳ δὲ μᾶλλον ἐπῆδεν ἐκείνη, τοσούτῳ μᾶλλον
» ἡμεῖς κουφιζόμενοι τῆς γῆς ἀνορθούμεθα, καὶ αἱ
» χαῖται πίπτουσι, καὶ αἱ χηλαὶ τοὺς πόδας καλα-
» λιμπάνουσι, καὶ ἐπανίασιν οἱ ὦμοι, καὶ οἱ πήχεις (4)

(1) Corrigendum, ἔμενον, ad editam nunc lectionem, *manerem*, sed quæ est conjecturalis nec necessaria.

(2) Codex, ῥαώδῳ, ut et supra ad *N*. 278, ut et infra, bis: cf. p. 446, de β et υ confusis.

(3) Cod. ἀμώνονι: sic ad 606, cod. γλυκὼ pro γλυκεῖ.

(4) Codex, αἱ πήχεις. Tales solœcismi sunt corrigendi: conf. pag. 542.

» ὡς καὶ πρόσθεν ὑποβέβληνται τοῖς βαρχίοσι.
» Κλαίοντι γῆν κλαίοντες ἐκείνῳ περιπλεκόμεθα,
» καὶ προσφυόμεθα τῷ τοῦ ἡγεμόνος τραχήλῳ, καὶ
» λόγους διελαλήσαμεν πρότερον οὐδένας, πρὸ τῶν
» φιλτάτους (1) ἡμᾶς μαλυσσόντων ἀλλήλοις.
» Ἐκταύσιος τοίνυν ἡμᾶς ἐκεῖ καλέσας διαλυθὴ,
» καὶ πολλὰ μὲν παρὼν τὸν οὕτω μακρὸν χρόνον
» ἐθεασάμην, πολλὰ δ' ἀκοαῖς ἐδεξάμην, σὺν πολ-
» λοῖς μέντοι καὶ τοῦτο ὁ λάθρα μία τῶν τεσσά-
» ρων θεραπαινίδων μοι ἐξελάλησε, τῶν ταῖς τοι-
» αύταις πράξεσιν ὑπηρετουμένων. Ἡνίκα γὰρ ἡ
» Κίρκη μόνη σὺν τῷ ἐμῷ διέτριβεν ἡγεμόνι, ἐκείνη, μοὶ
» νεωτερικὸν ἀνδριάντα χιονώδους μαρμάρου δείξασα,
» Πῖκον ἐπὶ τῆς κεφαλῆς φέροντα, ἐν ἱερῷ ἕδει καθιδρυ-
» μένον καὶ πολλοῖς ἐπίσημον στέμμασι, καί μοι τίς
» πόλ' ἂν εἴη καὶ τοῦ χάριν ἐν ἱερῷ ἕδει τιμᾶται, καὶ
» τίνος ἕνεκα τοῦτον φέρει τὸν ὄρνιν, ζηλοῦντι καὶ
» μαθεῖν θέλοντι, Δέξαι, φησὶ, Μακαρεῦ, καὶ τὰς
» τῆς ἐμῆς δεσποίνης τερθρείας τίνες πολὲ τυγχάνουσιν
» οὖσαι κἀντεῦθεν μάνθανε. Σὺ μέντοι τοῖς λεγομέ-
» νοις πρόσσχες τὸν νοῦν.
» Παῖς τοῦ Κρόνου βασιλεὺς καλὰ τὴν Αὐσονίαν
» γῆν ὁ Πῖκος ἐγένετο, περὶ τοὺς ἐν πολέμοις λυσι-
» τελοῦντας ἵππους ἐπτοημένος. Μορφὴ δὲ τἀνδρὶ,
» ἣν βλέπεις, πρόσεστιν. Ἔξεστί σοι τὸ κάλλος ἐκείνου
» καλαμανθάνειν, κἂν τῆς πεπλασμένης εἰκόνος κρί-
» νειν τὴν ἀληθῆ. Ἀνάλογος δ' ἦν καὶ ἡ ψυχὴ τῇ
» μορφῇ. Οὕπω δ' ἔσχεν ἰδεῖν, ἡνίκα ὁ τῶν Γερμικῶν

(1) Non recte Planudes cepit debuit, εὐχαρίστους, non φιλτάτους ἀλλήλοις. vocem *gratos*, quam vertere

» πόλεμος ἐξερράγη, τοὺς ἴσους ἐνιαυτοὺς τῷ τε-
» τράχις ἤδη πενταετεῖ (1)· ἐκεῖνος πρὸς τὸ ἑαυτοῦ
» κάλλος καὶ Δρυάδας τὰς ἐν τοῖς ὑψηλοῖς ὄρεσι
» γεννωμένας ἐπέστρεφεν· ἐκεῖνον καὶ Νηϊάδες, αἱ πη-
» γαῖαι θεαὶ, μελεδίωκον. Τίνας Ἄλβυλα, τίνας τὰ
» τοῦ Νομικίου, τίνας τὰ τοῦ Ἄμνηνος ὕδατα, καὶ
330 » ὁ τὸν δρόμον βραχύταλος Ἀλβὼν, καὶ ὁ Νὰρ αὐτῷ
» πρεσβύτατον δείσεις (2), καὶ ὁ τὸ ὕδωρ καθάσκιος
» Φάρφαρος, ὅσαι τε ἄλλαι Νύμφαι τὴν ἀλσώδη
» τῆς Σκυθικῆς (3) Ἀρτέμιδος λίμνην οἰκοῦσι, καὶ τοὺς
» ἀγχιτέρμονας λάκκους; Ἐκεῖνος μέντοι, ἁπάσαις
» χαίρειν εἰπὼν, μιᾶς Νύμφης ἐρᾷ, ἣν ἐν τῷ τοῦ
» Παλατίου πολὲ λόφῳ ἡ Βενατία (4) λέγεται τῷ
335 » διπροσώπῳ τεκεῖν Ἰανῷ. Αὕτη γὰρ ἡνίκα τὸ πρῶ-
» τον ὡραία τὸν ἐπίγαμον χρόνον ἐγένετο, τῷ Λαυ-
» ρεντίῳ Πίκῳ, πρωθέντι πάντων, ἐκδίδοται· σπανία
» μὲν τοιαύτη τις (5) ἂν εὑρέθη τὴν ὄψιν, σπανιωτέρα
» τὴν τοῦ ψάλλειν τέχνην. Ὅθεν καὶ (6) Κάνενς (τοῦτο

(1) Locum, quem forsan habuit male scriptum, male legit, nec bene potuit vertere. Rescribas fere ita : οὔπω δ' ἔσχεν πλεόνας ἰδεῖν τὸν πενταετηρικὸν τῆς Ἑλληνικῆς Ἥλιδος ἀγῶνα, καὶ ἐκεῖνος πρὸς— Id est, *nondum erat annos natus viginti*, et jam Dryades illum optabant.

(2) Ovidius : « Naïades, quas » Albula — Narque tulit præ- » ceps. » Noster legebat in malo codice suo, vel in bono oscitantius : « Naïades. Quas..... » Narque tulit preces ? » Præterea in nominibus fluviorum non semper diligentem se præbuit. Repone ad hunc fere modum : μελεδίωκον, ἄσλινας Ἄλβυλα, ἄσλινας τὰ τοῦ Νομίκου, ἄσλινας τὰ τοῦ Ἀνίηνος ὕδατα,—Ἀλμὼν, καὶ ὁ Νὰρ ὁ λαβρότατος ἔφερε, καὶ ὁ τὸ ὕδ., et reliqua, sine interrogatione decurrentia.

(3) Cod. σπικῆς. Statim, λάκους.

(4) Sic cod. cum glossa : Ῥώς τις ἦν.

(5) Cod. μέντοιαύτης τίς—σπανιότερα.

(6) Cod. καὶις. Et sic infra ad *N*. 417. Vocis explicationem e suo Planudes addidit.

» δ' ἔσλιν ἄδδυσα) προσηγόρευλαι. Ἄλση γὰρ καὶ
» λίθους κινεῖν, καὶ μαλάττειν θηρία, καὶ πολαμοὺς
» μεγάλους ἰσλάναι, καὶ ὄρνις ἀσλάτους τῷ ἑαυτῆς
» σλόμαλι καλέχειν εἰώθει. Ταύτης φθὰς τῇ γυναι-
» κεία φωνῇ μελπούσης, ἔξεισι τῆς οἰκίας ὁ Πῖκος
» ἐπὶ τοὺς Λαυρεντίους ἀγροὺς κάπρους θηράσων
» ἰθαγενεῖς. Ἵππου γοῦν ὀξυλάλου νώτοις ἐπικαθήμενος
» ἦν, καὶ τῇ λαιᾷ σιγύννους ἐπεφέρελο δύο, καὶ
» χλαμύδα φοινικῆν ἐμπεπορπημένος ἀπὸ χρυσίου
» ξανθοῦ. Πρὸς δὲ τὴν λόχμην ἀφίκελο τὴν αὐτὴν
» καὶ ἡ θυγάτηρ Ἡλίου Κίρκη. Καὶ γὰρ, ὡς ἂν νέας
» βολάνας ἐκ τῶν παμφόρων λόφων συλλέξειε, τὸ
» ἐκ τοῦ ταύτης κεκλημένον ὀνόμαλος Κιρκαῖον ἄν-
» τρον καλέλιπεν. Ἥτις, ὁμοῦ τε τὸν νέον καλὰ
» τὰς καλαδύσεις (1) εἶδε τῆς λόχμης, ἀπηνεώθη,
» καὶ ἐξέπεσον τῶν χειρῶν ἃς συνελέξαλο πόας, καὶ
» πῦρ ἔδοξε δι' ὅλων τῶν μυελῶν διαφοιτῆσαι. Ἐπεὶ
» δὲ πρῶτα τὸν νοῦν ἐκ τοῦ σφοδροῦ συνήγαγε
» κρύσωνος, ἀνομολογήσειν ἐμέλλησε τίνος εἰς ἐπι-
» θυμίαν ἥκοι πολ' ἄν· πεποίηκε μέντοι μὴ οἷόν τ'
» εἶναι τὸν ἵππου δρόμον προβαίνειν (2). Καὶ, Οὐκ
» ἂν ἐκφύγοις, ἀλιτήριε, καλαγηλευθείς, εἶπεν, εἰ
» καὶ ὑπὸ πνεύμαλος ἁρπαγείης, μόνον εἰ ἐμαυίην
» οἶδα, εἰ μὴ πᾶσα τῶν βολανῶν ἔφθαρλαι δύναμις,
» καί με μὴ ψεύδυσιν αἱ ἐμαυῖης ἐπῳδαί. Εἶπε,
» καὶ ψευδοῦς κάπρου φαντασίαν σὺν οὐδενὶ διέπλασε

(1) Cod. καὶ πᾶς: cf. p. 474.

(2) Ovidius: « ne posset adire » Cursus equi fecit circumfususque satelles. » Interpres prorsus cæcutiebat. Vertenda sic forsan latina sunt: ὁ τοῦ ἵππου δρόμος καὶ οἱ περισλοιχίζόμενοι δορυφόροι προσιέναι αὐτὴν οὐκ εἴων.

» σώματι, καὶ περὶ τῶν ὀφθαλμῶν διαβραμεῖν τοῦ
» βασιλέως ἐκέλευσε, καὶ δόξαι περὶς τὸ δασὺ τοῖς
» δένδρεσιν ὑπελθεῖν νέμος, ἔνθα πλείστη μὲν ἡ λόχ-
» μη, τῷ δ' ἵππῳ βάσιμος οὐκ ἔστιν ὁ χῶρος.
» Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ Πῖκος, ἀγνοῶν, αὐτίκα
» τὴν τῆς θήρας σκιὰν μέτεισιν, καὶ ταχὺς τὰ
» ἀφειῶντα τοῦ ἵππου νῶτα καλέλιπε, καὶ, κεναῖς
» ἐλπίσιν ἑπόμενος, καλὰ τὸ βαθὺ τῆς λόχμης πε-
» ρινοστεῖ. Ἡ δ' εὐχῶν ἀπάρχεται, καὶ φαρμακοὺς
» λόγους λέγει, καὶ θεῶν ἀγνώστων ἀγνώστοις ἐπῳδαῖς
» δεῖται, αἷς εἴωθε καὶ τῆς χιονώδους Σελήνης τὸ
» πρόσωπον θολοῦν, καὶ τῇ τοῦ παλαὸς Ἡλίου κε-
» φαλῇ ξηρὰς νεφέλας ἐπιπρόσθειν. Καὶ δὴ τότε τὴν
» ἐπῳδὴν ἐπαδούσῃ πυκνοῦται μὲν οὐρανὸς, ἀναδί-
» δωσι δ' ὁμίχλην ἡ γῆ, καὶ σκολειὰς ὁδοὺς οἱ τοῦ
» βασιλέως περιφοιτῶσιν ἑταῖροι, καὶ ἄπεστιν ἡ
» τούτου δορυφορία. Ἡ Κίρκη τοίνυν, καιρῷ καὶ τό-
» που τυχοῦσα, Πρὸς τῶν (1) σαυλοῦ, εἶπεν, ὀφθαλ-
» μῶν, οἳ τοὺς ἐμοὺς εἷλον (2), καὶ πρὸς τοῦδε σοῦ τοῦ
» κάλλους, διαπρεπέσταλε, ὅ με ποιεῖ δεῖσθαί σου,
» καὶ θεὸν οὖσαν, ψυχαγώγησον τὸ ἡμέτερον πῦρ,
» καὶ δέξαι κηδεστὴν τὸν τὰ πάντα διασκοπούμενον (3)
» Ἥλιον, μηδ' ἀπολόμως περιΐδῃς τὴν Τιτανίδα
» Κίρκην. Ἡ μὲν εἶπεν· ὁ δ' ἀδυσωπήτως αὐτήν τε
» καὶ τὰς δεήσεις αὐτῆς διεκρούσατο. Καὶ, Ἥτις πολὲ
» τυγχάνεις οὖσα, φησὶ, οὔκουν εἰμὶ σός· ἄλλη με

(1) Codex exhibet περὶ τον.
(2) Conf. pag. 590.
(3) Æschyleus Prometheus 91, τὸν παναίτιον κύκλον ἡλίου καλῶ: ubi Stanl. similia contulit. Adde Mitscherl. ad Homericum Hymn. in Cerer. 170; Bosscham ad Jo. Secund. t. II, pag. 217.

» ἑλοῦσα καλέχει, καὶ καλέχοι χέρνον εἰς μακρὸν
» εὔχομαι. Οὐδὲ γὰρ ἀφροδίτη δυσμία τὰ τῆς συ-
» ναφείας λυπήσω δεσμά, μέχρις ἂν μοι Κάνεντα,
» τὴν Ἰανοῦ παῖδα, αἱ Μοῖραι φυλάττωσιν. Ἡ Τι-
» τανὶς τοίνυν, πολλάκις τῶν δεινῶν ἐπαναπειρα-
» σαμένη τηνάλλως, Ἀλλ' οὐκ ἀτιμωρήτὶ, φησὶν,
» οἴσεις, οὐδ' ἀποδοθήσῃ (1) τῇ Κάνεντι. Τί δ' ἂν ἀνι-
» αθεῖσα ποιήσειε, τί δ' ἂν ἐρῶσα, τί δ' ἂν γυνὴ,
» τεχνάσμασιν αὐτοῖς ἐκμαθήσῃ. Ἀλλὰ ἀνιαθεῖσα, καὶ
» ἐρῶσα, καὶ γυνὴ, ἡ Κίρκη ἐστί. Τότε τοίνυν δὶς
» πρὸς δυσμὰς καὶ δὶς πρὸς ἀνατολὰς ἑαυτὴν ἐπι-
» στρέφει, καὶ τρὶς ἐφάψαλο τοῦ νεανίου τῇ ῥάβδῳ,
» καὶ τρεῖς ἐπῳδὰς εἶπεν. Ὁ δὲ φεύγει, καὶ ἑαυτὸν
» αὐτὸς θᾶττον τοῦ εἰωθότος θαυμάζει τρέχοντα,
» καὶ πτερὰ βλέπει περὶ τὸ σῶμα, καὶ, ἑαυτὸν
» δυσχεραίνει, ἅτε δὴ καινὸν ὄρνιν ἀθρόον ἐπὶ τὸ
» πλάτος (2) πεσούντα τῆς λόχμης, καὶ τὰ τῶν
» δένδρων ἄγεια ῥάμφει ἀπεσκληκότι κολάπτει, καὶ,
» ὀργιζόμενος, πληγὰς τοῖς μακροῖς σκελέχεσι δίδω-
» σιν. Αἱ μὲν οὖν πτέρυγες τὴν πορφυρᾶν τῆς χλα-
» μύδος ἐπεσπάσαντο χρόαν· ἡ δὲ τὴν χλαμύδα
» διαδάκνουσα χρυσῇ πόρπῃ πτερὰ γίνεται, καὶ ὁ
» τράχηλος ἐντεῦθεν ξανθῷ χρυσῷ διαζώννυται· οὐδ'
» ὁτιοῦν τῶν ἀρχαίων ὑπολέλειπται δὴ τῷ Πίκῳ,
» ὅτι μὴ τοὔνομα.

» Ἐν τῷ μεταξὺ δ' οἱ ἑταῖροι, πολλάκις τὸν
» Πῖκον διὰ τῶν ἀγρῶν ἀνακαλεσάμενοι μάτην, καὶ

(1) Cod. ἀποθήσῃ : cf. p. 611. πρ. πὰς λόχμας. Sic et infra ad
(2) Legebat Planud. *latis*, non N. 423, *latos*, non *latios*, *agros*
latiis, *silvis*. Repone, ἐπὶ λαλίνας in codice suo invenit.

» καὶ μηδένα τόπον εὑρόντες, τῇ Κίρκῃ περιτυγχά-
» νουσι (καὶ γὰρ ἤδη τὸν ἀέρα διελέπλυνεν αὔτη,
» καὶ συνεχώρησε τὴν ὁμίχλην ἀνέμοις καὶ ἡλίῳ δια-
» λυθῆναι), καὶ καθηγεμόσιν ἀληθινοῖς αὐτῆς κα-
» ταφέρονται, καὶ ἀπαιτοῦσι τὸν βασιλέα, καὶ
» ἀνάγκην ἐπάγουσι, καὶ δεινοῖς βέλεσιν ἐπεξιέναι
» ταύτῃ παρασκευάζονται. Ἡ δ' ὁλέθριον ἰὸν διαῤ-
» ῥαίνει καὶ χυλὸν φαρμάκου, καὶ τήν τε νύκτα καὶ
» τοὺς νυκτὸς θεοὺς ἐξ Ἐρέβους καὶ Χάους ἐπικα-
» λεῖται, καὶ μεγάλοις ὀλολυγμοῖς καταλιπαρεῖ τὴν
» Ἑκάτην. Αὐτίκα δ' ἐξανεδύθη λόχμης ἦχός τις
» θαυμαστὸς (1), καὶ τὸ τῆς γῆς ἔδαφος ᾤμωξε, καὶ
» τὰ γειτονοῦντα τῶν δένδρων ὠχρίασε, καὶ χόρτος
» αἱματηραῖς ῥανίσι ῥαντισθεὶς ἐφοινίχθη, οἱ δὲ λίθοι
» μυκηθμοὺς ἐδόκουν ἀποδιδόναι βαρυχώδεις, καὶ
» ὑλακτεῖν κύνες ἐδόκουν, καὶ ἡ γῆ μέλανας ὄφεις
» ἀναδιδόναι, καὶ ἰσχνὰ διΐπτασθαι εἴδωλα. Τὸ δὲ
» σῖφος ἐκεῖνο ἐμβεβροντημένον καλεῖται λάγη. Ἡ δὲ κα-
» ταπλητομένων καὶ θαυμαζόντων τῆς ὄψεως
» ἥψατο τῇ μαγικῇ ῥάβδῳ, ἧς τῇ ἐπαφῇ ποικίλων
» θηρίων τέρατα τοῖς νέοις ἐπίασι, καὶ τὸ οἰκεῖον
» εἶδος διέμεινεν οὐδενί.

» Ἤδη μὲν οὖν δύνων ὁ ἥλιος τοῖς Τεμψαίοις (2)
» αἰγιαλοῖς ἐπιπίπτει, καὶ τὸν σύζυγον ἡ Κάνενς
» ὀφθαλμοῖς καὶ φρεσὶν ἐξεδέχετο· οἱ δ' οἰκέται καὶ
» τὸ λοιπὸν πλῆθος περιτρέχουσιν ἁπάσας τὰς

(1) Latina, « Exsiluere loco » (dictu mirabile) silvæ », alio modo vertenda erant, quorum sensus est: ἐξεπήδησαν (θαῦμα!) ἐξ αὐτῶν ἕδρας αἱ λόχμαι.

(2) Sic codex. Magna in latinis varietas. *Tartesia litora*, recepta lectio in Gierigiana, græca poscit verba, τοῖς Ταρτησίοις αἰγιαλοῖς.

» λόχμας, καὶ πρὸς ὑπαντὴν φῶτα κομίζουσιν. Αλλ'
» οὐκ ἀποχρώντως (1) εἶχε τῇ Νύμφῃ κλαίειν καὶ
» κόμην σπαράττειν καὶ κόπτεσθαι (καίτοι καὶ ταῦτα
» πάντα ποιεῖ)· ἑξαρπάζει ἑαυτὴν, καὶ, μέλ' ἐμπλη-
» ξίας, τὸ πλάτος περιφοιτᾷ τῶν ἀγρῶν. Ἐξ τοίνυν
» ἐκείνην νύκτες, καὶ τοσαῦτα τοῦ ἡλίου ἐπανιόντα
» φῶτα, ἐνδεῆ καὶ ὕπνου καὶ βρώματος εἶδον διά τε
» τενόντων ὀρεινῶν καὶ φαράγγων, ὅππερ ἦγεν ἡ
» ῥύμη, φερομένην. Τελευταῖος δ' αὐτὴν ὁ Θύμβρις
» ἀπειρηκυῖαν τοῖς θρήνοις καὶ ταῖς πορείαις εἶδε, καὶ
» ἐπὶ τῆς ψυχρᾶς ὄχθης καθαθεῖσαν τὸ σῶμα. Ἐκεῖ
» τοίνυν ἡ συγγνὴ (2) κλαίουσα τὴν ὀδύνην, περιὼ-
» νυτα σὺν δάκρυσι καλέχεε ῥήματα, ὡς πόλε καὶ
» κύκνος πάλαι μὲν ᾠδὰς, ἤδη δὲ θνήσκων (3) τὰ
» τῆς ἐκφορᾶς ᾄδει. Τελευτῶσα δὲ τοῖς θρήνοις
» εἰς (4) λεπτὸν μυελὸν ἐξυδαρωθεῖσα ἐτάκη, καὶ
» πρὸς κουφὴν αὔραν ἀπῆλθε καλὰ βραχύ. Ἡ

(1) Codex, ἀποχρῶντας (idem mendum ad xv, 4). Sic ad 522, ἀχρωϊκὰ, et ἀχρωϊκὸς ad xv, 573; κώμη pro κόμη ad 554 (conf. pag. 29). Non aliter peccatum fuit a librario ad xv, 599, ubi πρόσπικον pro πρόσπικων. Inscriptio quæ attica esse dicitur sic nuper fuit edita in bonnensi Prolusione: Μνῆμα δικαιοσύνης καὶ σωφροσύνης ἀρετῆς τε Σωσίνῳ ἔθησαν παῖδες ἀποφθιμένου. Monemur opportune a doctiss. editore in marmore esse ΣΩΣΙΝΩ-ΑΠΟΦΘΙΜΕΝΟ, quem non vidisse miror O mendum esse lapicidæ pro Ω, ideoque legendum Σωσίνῳ—ἀποφθιμένῳ.

(2) Forsan legendum, ἠσυχή.

(3) Ovid. « ut olim Carmina » jam moriens canit exsequialia » cygnus. » Divisit Planudes: « ut » olim carmina, jam moriens— » Quod vix puto defendi posse. Adverbium *olim* ipsi fraudi fuit, quod hic pro *aliquando* positum esse videtur. Idemque nonnunquam est adverbii synonymi *quondam* sensus, de quo supra pag. 330, contra Gierigium monui, qui per *fere*, ut hic *olim*, vertebat, non satis accurate, si quid video.

(4) Forsan delenda præpositio, quæ potuit nasci ex ultima τοῦ θρηνοῖς syllaba.

» φήμη μέντοι ἐνεσημάνθη τῷ χώρῳ, ὃν ἐξ ἔθους οἱ
» τῶν οἰκητόρων παλαιγενέστεροι τῷ τῆς Νύμφης
» ὀνόματι Κάνεντα προσηγόρευσαν.

» Τοιαῦτα μέντοι πολλὰ καὶ τὸ μῆκος ἐκείνου
» τούτου ἔτους, Ἀχαιμενίδη, καὶ ὡράθη καὶ ἀνη-
» γέλθη· ἡμεῖς δ' ἀναπεπλωκότες ἤδη καὶ τῷ τὸν
» πλοῦν ἀπομαθεῖν ὀκνηρότεροι γεγονότες, πάλιν εἰς
» τὴν θάλασσαν ἰέναι, πάλιν ἀνέμοις κελευόμεθα
» διδόναι τὰ ἱστία. Ἡ μέντοι Τίβανις ἀμφιβόλους
» πορείας καὶ ὁδὸν ἄπορον προφαίνει, καὶ κινδύνους
» ἔτι θαλαττίους καὶ χαλεποὺς ὑπολείπεσθαι· ἐγὼ δ'
» (ὁμολογῶ γάρ) ὑπερέδεισα, καὶ τῇδε προσίσχο-
» μαι τῇ ἠιόνι (1) περιτυχών. »

Ἐπαύσατο μὲν λέγων ὁ Μακαρεύς· ἡ δὲ τοῦ Αἰνείου τροφός, ἐν ὑδρίᾳ καταρυχθεῖσα, ἐπὶ σπήλης μαρμάρου ἐπίσημον ἔσχεν ἐπίγραμμα·

« Ὧδέ με Καιήτην (2) τροφὸν, Ἀργολικοῦ πυρὸς ἄρκυς,
» Εὐσεβὲς Αἰνεία, τῷ ὀφειλομένῳ πυρὶ καῦσις. »

Μετὰ δὲ τοῦτο τὰ πρὸς τῇ ποώδει βόλῳ δεδεμένα λύεται πείσματα, καὶ πόρρω που τὰς ἐπιβουλὰς καὶ τὴν τῆς δυσφημουμένης θεᾶς οἰκίαν καταλιμπάνουσιν, πρὸς δὲ τὸ ἄλσος ἴασιν, ἔνθαπερ ὁ ταῖς σκιαῖς συννεφὴς Θύμβρις εἰς τὴν θάλασσαν, ξανθὴν ἄμμον καθασύρων, ἐκπίπτει. Καὶ τῶν Φαυνογενοῦς (3) οἰκιῶν ἀντιποιεῖται καὶ τῆς θυγατρὸς τοῦ Λατίνου· οὐ μέντοι

(1) Cod. προσίσχομαι τῇ κίονι.

(2) Codex, Καιήτην — καύσαις. Optativus sensu caret. Reposui aoristum. Mutatio levis est, ut neminem fore arbitrer qui ob rem tantillam graviter succenseat.

(3) Codex, articulo male repetito, τῶν τῶν Φαυνογ. De altero in τοῦ mutando non est cogitandum.

[redacted]

δίχα μάχης· πόλεμος δὲ σὺν ἀνδράσι χαλεποῖς ἀναῤῥήγνυται. Καὶ γὰρ ὑπὲρ τῆς κατηγυημένης αὐτῷ γυναικὸς ὁ Τοῦρνος ἐκμαίνεται. Καί τῷ Λατίνῳ (1) πᾶσα Τυῤῥηνία συντρέχει, καὶ πεφροντισμένοις ὅπλοις ἐπὶ μακρὸν ἡ περίοπτος (2) νίκη ζητεῖται. Αὔξει τοιγαροῦν ἑκάτερος συμμαχίδι χειρὶ τὰς οἰκείας δυνάμεις, καὶ πολλοὶ μὴν τῶν Ῥουτούλων, πολλοὶ δὲ τῶν Τρωϊκῶν στρατοπέδων ὑπερασπίζουσι. Καὶ ὁ μὲν Αἰνείας οὐ μάτην πρὸς τὴν Εὐάνδρου (3) πόλιν ἐλή-

(1) In latinis est *Latio*, nempe τῷ Λατίῳ, ἐν τῷ Λατίῳ χώρῳ. Facilis est in latinis et græcis codicibus ab hac voce ad illam aberratio. Λάτιον et Λατίνιον ap. Dionys. Halic. A. R. I, 72, permutantur.

(2) *Ardua* hic vertendum fuit χαλεπή.

(3) Evandri, quem literarum miraculum fecit venerabilem, Lydus meminit c. 3, de Mens., loco corrupto: ὁ Εὔανδρος πρῶτος γράμματα ἀπὸ τῆς Ἑλλάδος, τὰ λεγόμενα Κάδμου, εἰς τὴν Ἰταλίαν ἀνεκόμισεν· οὔτοι αὐτὰ μὲν ὅσα νῦν ἐστιν.....μόνα δὲ ἕξ. Ad quæ hæc legitur editoris nota: « In » cod. Barberino mendose legebatur, οὗτος αὐτὰ μὲν ὅσα, » quod, postulante sensu, levi » mutatione correxi. » Post hanc correctionem, Lydus est corruptus magis: verba οὗτος αὐτὰ male sunt divisa, quæ si divisisset editor hocce modo, οὐ τοσαῦτα, Lydi manum restituisset. Obiter de Lydi alio loco agam, ubi eadem vox τοσαῦτα male fuit a librario in textum illata: τοσαῦται μὲν τοῖς παλαιοῖς αἱ περὶ Ἀφροδίτης κατὰ μυθικὴν φάσιν καὶ θεωρίαν δόξαι. Ad quæ editor, p. 90, adscripsit: « Ita scripsi pro mendosa » codicis lectione, τοσαῦτα μὲν » τ.— κατὰ μυθικὴν καὶ φασὶν θεω- » ρίαν δ. » De restitutione vocis τοσαῦται cum ipso facio, sed circa φάσιν erravisse eum puto. Legendum omnino videtur, κατὰ μυθικὴν καὶ φυσικὴν θεωρίαν. Non possum mihi temperare quin et tertium falsæ correctionis in hoc scriptore factæ exemplum apponam. Καῖσαρ, Lydus ait p. 110, ὠνομάσθη, οὐ (καθὼς φασὶν οἱ παλαιοί) ἐκ τῆς ἀνατομῆς τῆς γαστρὸς Αὐρηλλίας τῆς αὐτοῦ μητρὸς, ἧς δῆθεν ἀποπνειούσης ἐγκύμονος, αὐτὸν ἀποτμηθείσης ἐκείνης ληφθῆναι: ubi editor in nota: « Cod. ἧς δῆθεν » ἀπομειούσης. Apogr. Mar. ἀπο- » μενούσης. Veram restitui lectio- » nem. » Imo, vir doctiss., falsam invexisti lectionem. Apographum vero proximum est. Reponendum enim fuit ἀποβαινούσης. Literas μ β et vocales ε

λυθεν· ὁ δὲ Βένουλος πρὸς τὰ τοῦ μεγάλου Διομήδους τείχη μάτην ἀφίκετο. Ὁ γάρ τοι Διομήδης ὑπὸ τῷ Ἰάπυγι Δαύνῳ μεγίστην πόλιν ἀνήγειρε, καὶ περικίδια τὰ πεδία καλεῖτο. Τοῦ δὲ Βενούλου τὰς Τούρνου τελέσαντος ἐντολὰς καὶ συμμαχίαν αἰτήσαντος, παρεγιτεῖται ταύτην ὁ Αἰτωλὸς ἥρως· καὶ μηδαμῶς βούλεσθαι μήτε τὸν τοῦ πενθεροῦ λαὸν πολέμοις καταπιστεύειν, μήτε μήν τινας τῶν οἰκείων ἔχειν οὓς ἂν ὁπλίσειεν· « Ὡς ἂν δὲ μὴ σκῆψις ταῦτα » νομίζηται (εἰ καὶ τὰ μάλιστα τῇ ἀναμνήσει καὶ » τὸ πικρὸν ἀνακαινισθήσεται πένθος), ἀνέξομαι μέν- » τοι ταυτὶ διαμνημονεύων. Ἐπειδὴ πυρὸς ἔργον » ὑψηλὴ (1) γέγονεν Ἴλιος καὶ τὰ Πέργαμα τὰς τῶν » Δαναῶν ἔθρεψε φλόγας, καὶ ὁ Νηίκιος ἥρως (2), » ἐκ τῆς παρθένου τὴν παρθένον (3) ἁρπάσας, ἣν » μόνος ὠφειλε, δίκην εἰς πάντας διένειμε, διασκε- » δαννύμεθα, καὶ ἀνέμοις δι' ἐχθρῶν κυμάτων φε- » ρόμενοι, καὶ κεραυνοὺς καὶ νύκτας καὶ ὄμβρους καὶ » καταιγίδας οὐρανοῦ καὶ θαλάττης οἱ Δαναοὶ ὑφι- » στάμεθα, καὶ τὸν κολοφῶνα τῶν συμφορῶν Καφη- » ρέα. Ἵνα δὲ μὴ βραδύνοιμι τὰς ἀθλίους τύχας » διεξιὼν καθ' εἱρμόν, ἐκεῖνον τὸν χρόνον οἷα τ' ἦν (4) » ἡ Ἑλλὰς ἀξίως θρηνηθῆναι καὶ πρὸς αὐτοῦ τοῦ » Πελάμου. Ἐμὲ δὲ σῶν ἡ τῆς ὁπλοφόρου Παλλά-

αι ubique permutari notum est. Certa hæc est restitutio.

(1) Codex, ἡ ψυχή. Sic ad 792, permutatis η et υ, σύεσσας pro σίεσσας: cf. p. 261.

(2) Cod. Νηείκιος ἥρως, cum glossa Ὀδυσσεύς. Sed, quum de Locrense Ajace sermo sit, reponendum Ναρύκιος ἥρως: cf. not. ad 563, pag. 634.

(3) Glossa ad παρθένου, Παλλάδος: ad παρθένον, Κάσανδραν.

(4) Cod. οἷά τ' ἦν. Et sic infra ad XV, 345, et supra pp. 216, 259, 265, 391, 441, 570, 605. Me tædet tantæ diligentiæ.

» δος ἐπιμέλεια τῶν κυμάτων ἐξήρπασεν. Ἀλλὰ καὶ
» αὖθις τῆς παλιρρόας γῆς ἀπελαύνομαι. Ἡ γὰρ θεὸς
» Ἀφροδίτη τὴν ὑπὲρ τοῦ παλαιοῦ τραύματος μνή-
» μονα τιμωρίαν ἐπεφάξατο. Καὶ τοσούτους ἐν τῇ
» θαλάττῃ πόνους ὑπήνεγκα, καὶ τοσούτους ταῖς
» καλὰ γῆν μάχαις, ὥστε μοι πολλάκις εὐδαίμονας
» ὀνομάζεσθαι, οὓς ὁ κοινὸς χειμὼν καὶ δυσπρόσ-
» μπλος Καφηρεὺς καλέδυσεν ἐν τοῖς ὕδασι, καὶ πυχό-
» μην τούτων μερὶς γενόναι. Οἵ γε μὴν ἑταῖροι, τὰ
» ἐσχατα πάντων πεπονθότες ὑπό τε τῆς θαλάσσης
» καὶ τῶν πολέμων, ἀπαγορεύουσι, καὶ τῆς πλά-
» νης εὔχονται τέλος. Ὁ δ' Ἄκμων, ἀνὴρ καὶ τἆλλα
» μὲν θερμουργὸς, τότε δὲ καὶ ταῖς συμφοραῖς τρα-
» χυνθεὶς, Τί ποτε, φησὶν, ὑπόλοιπόν ἐστιν, ἄνδρες,
» ὅπερ ἡ ὑμῶν καρτερία παρατιτήσαιτ' ἂν ὑπομεῖναι;
» Τί πο' ἂν ἡ Κυθέρεια περαιτέρω ποιεῖν ἔχοι; ὅ,τι
» πο' ἂν ὑποθεῖτό τις αὐτὴν ποιεῖν, ποιείτω. Καὶ
» γὰρ ἡμῖν χείρονα μὲν φοβουμένοις ἐστὶν ἔτι χώρα
» τοῦ εὔξασθαι· ἡνίκα δ' ἂν χειρίστη τῶν παρόντων
» των ἐστὶν (1) ἡ τύχη, ὑπὸ τοὺς πόδας ἡμῖν ὁ
» φόβος, καὶ ἡ τῶν κακῶν κορωνὶς, ἀσφάλεια. Κἂν
» γὰρ αὐτὴ ἡ Ἀφροδίτη τούτων ἀκούοι (2), καὶ, ὃ
» ποιεῖ, μεμίσηκε πάντας ἄνδρας τοὺς ὑπὸ τῷ Διο-
» μήδει, τὸ μῖσος μέντοι ταύτης ἡμεῖς ἀποσκεδα-
» λίζομεν πάντες. Καὶ δὴ μεγάλης ἡμῖν ζημίας ἡ με-
» γάλη ταύτης δύναμις αἰτία γενέσθω (3). Τοιούτοις

(1) Codex, ἐπὶ, quod mutavi non incommode. Facilis est harum vocularum synchysis.

(2) Facile mutavissem ἀκούοι in ἀκούῃ, sed μεμίσηκε structuram impedit nec potest corrigi. Relinquenda ergo Planudi stribligo sua.

(3) Legisse videtur : « et ma» gno *stet* magna potentia nobis.»

» ὀργιζομένην τὴν Ἀφροδίτην ὁ Πλευρώνιος Ἄκμων
» ὑπονύττει τοῖς ῥήμασι, καὶ νυττομένῃ τὸν θυμὸν
» διανίστησι. Τὰ μέντοι ῥηθέντα ὀλίγοις ἤρεσεν· ὁ
» δὲ πλείων ἀριθμὸς τῶν ἑταίρων ἐπιτιμῶμεν τῷ
» Ἄκμονι, ᾧπερ ἀποκρίνασθαι βουλομένῳ ἐπίσης ἥ τε
» φωνὴ καὶ τῆς φωνῆς ἡ δίοδος ἐλεπτύνθη· εἰς πτερὰ
» δ' ἀπῆλθεν ἡ κόμη, καὶ ὁ τράχηλος δὲ πτεροῖς
» ἐκαλύφθη, καὶ τὰ στέρνα καὶ τὰ μετάφρενα· οἵ
» γε μὴν βραχίονες μείζω πτερὰ δέχονται, καὶ οἱ
» πήχεις εἰς κούφας κολποῦνται πτέρυγας, καὶ οἱ
» δάκτυλοι μέγα μέρος ἐπιλαμβάνουσι τῶν ποδῶν,
» καὶ τὸ στόμα, κέρατι σκληρυνθὲν, ἀπέσκληκε καὶ
» εἰς ὀξὺ λήγει. Τοῦτον οὖν ὁ Λύκος, τοῦτον ὁ Ἴδας,
» καὶ σὺν τῷ Πειθήνορι (1) Νυκτεὺς, τοῦτον καὶ ὁ
» Ἄβας θαυμάζει· καὶ, θαυμάζοντες, τὴν αὐτὴν
» ὄψιν ἀναλαμβάνουσι. Καὶ ὁ μείζων ἐκεῖ τοῦ πλη-
» ρώματος ἀριθμὸς χαμαιπετεῖς φέρονται, καὶ τὰς
» κώπας περιΐπτανται κροτοῦντες τὰς πτέρυγας. Εἰ
» δὲ καὶ τίς ποτέ ἐστιν ἡ μορφὴ τῶν ἀμφιβόλων (2)
» ὀρνίθων ἐπιζητεῖς, ὥσπερ μὴ κύκνων ἐστὶν ἥδε, οὕτω

Recepta lectio aliam versionem poscit, nempe: καὶ δὴ κατὰ μικρὸν μεγάλην ποιούμεθα δύναμιν.

(1) Editiones, *Rhetenore*. Planudes videtur invenisse *Pithenore;* nam Πειθήνορι codicis lectio in mendo cubat. Mox θαυμάζει latino *miratur* respondet, quod τῷ *mirantur* prætulit merito doctiss. noster Editor.

(2) Habuit malam lectionem «volucrum *dubiarum*», non bonam, *subitarum*. Repone, αἰφνιδίων, αὐτοσχεδίων. Ælianus de hisce avibus H. A. I, 1: λέγονται δὲ οὖν οὗτοι Διομήδους ἑταῖροι εἶναι, οἳ σὺν αὐτῷ τῶν ὅπλων τῶν ἐπὶ τὴν Ἴλιον μετεσχηκότες, τὴν προτέραν φύσιν εἰς τὸ τῶν ὀρνίθων μετεβαλόντες εἶδος, ὅμως ἔτι καὶ νῦν διαφυλάττουσι τὸ εἶναι Ἕλληνές τε καὶ φιλέλληνες: cod. Reg. 1698: λέγονται οὖν — εἶναι, καὶ σὺν — μετεσχηκέναι· εἶτα τὴν — μετεβάλοντο εἶδος — Codex ille nonnulla tantum Ælianea loca exhibet.

» τῶν κύκνων ἐγγυάτω τυγχάνει. Μόλις δὴ τὸ ἐν-
» τεῦθεν ταύτην τε τὴν καθέδραν, καὶ τὰ τοῦ
» Ἰάπυγος Δαύνου ξηρὰ πεδία, γαμβρὸς γενόμενος
» τούτῳ, κατέσχον σὺν ἐλαχίστῳ μέρει τῶν ἡμε-
» τέρων. »

Μέχει μὲν τούτων ὁ Οἰνείδης· ὁ δὲ Βένουλος τήν τε Καλυδωνίαν ἀρχὴν καὶ τοὺς Πευκετίους κόλπους καὶ τὰ Μεσσαπίων πεδία κατέλιπεν· ἐν οἷς εἶδεν ἄντρα, ἃ πολλῇ λόχμῃ συνηρεφῆ, καὶ σταγόσιν ἐκ μελεώδους διάβροχα καθεστῶτα, νῦν μὲν ὁ ἡμίτραγος Πὰν κατέχει, πάλαι δὲ τοὺ χθόνου Νύμφαι κατεῖχον· ἃς ὁ ποιμὴν Ἄππουλος, φυγαδεύων ἐκεί-νου τοῦ χώρου, κατέπληξε, καὶ πρῶτα μὲν ἀθρόῳ συνελάβαξε δέει· αὐτίκα δ', ὡς εἰς νοῦν ἐπανῆλθον, παρὰ φαῦλον ἐποιήσαντο τὸν διώκοντα, καὶ, πρὸς ῥυθμὸν τοὺς πόδας κινοῦσαι, χορείαν ἐλίττουσι. Δια-χερίομεῖ δ' ὁ ποιμὴν ταύτας, καὶ, ἀγρίοις μιμού-μενος τοῖς πηδήμασιν, ἀγροικὰ προσίθησι σκώμ-ματα. Οὐδὲ πρότερον ἐσιώπησε, πρινὴ τὸν λαιμὸν δένδρῳ συνέκρυψε. Δένδρον καὶ γὰρ νῦν ἐστὶ (1), καὶ τὸν ἐκείνου τρόπον ἔξεστι τῷ τοῦ δένδρου χυλῷ διαγινώσκειν. Σημεῖον καὶ γὰρ ἡ κότινος τῇ γλώττῃ διὰ τῆς πικρᾶς ἐλάας παρέχεται· καὶ ἡ τῶν τοῦ ποιμένος ῥημάτων τραχύτης κατεχώρησεν εἰς ἐκεῖνο (2).

(1) Legit Planudes, « arbor » enim *est* », quam optimam lectionem a duobus datam codicibus recepisset. non importune Gierigius. *Est* sæpissime abest a codicibus, quia eo compendio scribitur (÷ ·|·), vel aliis quæ describentes impediunt ab iisque negliguntur. Catullus Epithal. 8 : « Sic certe, viden ut » perniciter exsiluere ? » Cod. Reg. 8071, « sic certes ·|·. » Lego, « sic certe est », quod conjecit Statius.

(2) Malim ἐκείνου vel ἐκείνην, χυλὸν nempe vel ἐλάαν.

Ἐπεὶ δ' οἱ πεμφθέντες ὑπέστρεψαν ἀπαγγέλλοντες ἀπηρνῆσθαι τὴν Αἰτωλῶν αὐτοῖς χεῖρα, οἱ Ῥούτουλοι, δίχα τῆς δυνάμεως ἐκείνης, δυσιυχῆ διαχειμάζουσι πόλεμον. Καὶ πολύ τι τοῦ αἵματος ἐξ ἑκατέρου μέρους ἐκχεῖται. Ὁ γε μὴν Τοῦρνος πῦρ λάβρον (1) ἐπὶ τὰς ναῦς φέρει· καὶ δεδοίκασιν αἱ νῆες τὸ πῦρ, ὧν τὸ ὕδωρ ἐφείσατο. Καὶ δὴ πίτυαν τε καὶ κηρὸν καὶ τὴν ἄλλην τροφὴν τῆς φλογὸς ὁ Ἥφαιστος ἐπενέμετο, καὶ διὰ τοῦ μακροῦ ἱστοῦ ἐπὶ τὰ ἱστία ἐφέρετο, καὶ τὰ καταστρώματα τῶν κοίλων νηῶν ἐτύφετο. Ἀναμνησθεῖσα δ' ἡ τῶν θεῶν ἱερὰ μήτηρ τάσδε τὰς ναῦς ἐκ τῆς Ἰδαίας κορυφῆς τετμημένας, ῥοίζου πλητομένων χαλκῶν καὶ ἐμφυσωμένων πύξων ἦχου τὸν ἀέρα ἐπλήρωσε, καὶ, διὰ κούφης αὔρας δεδαμασμένοις λέουσι φερομένη, « Μάταιον » φησὶ « πῦρ ταῖς ἱεροσύλοις χερσὶν ἐπὶ » τὰς ναῦς, Τοῦρνε, ῥίπτεις. Ἐξαρπάσω γὰρ ἐγὼ » ταύτας, οὐδ', ἀνεχομένης ἐμοῦ, τὸ παμφάγον » ἐμπρήσει πῦρ τὰ τῆς ἐμῆς λόχμης μέρη καὶ » μέλη (2). » Ἐβόντησε τοίνυν τῆς θεᾶς φθεγγομένης, καὶ τῇ βροντῇ βαρεῖς ἐπακολουθήσαντες ὄμβροι σὺν χαλάζῃ σφοδρᾷ κατηνέχθησαν· οἱ δ' Ἀσπαῖοι ἄνεμοι ἀέρα τε καὶ τὴν θάλατταν αὐτίκα φλεγμαίνουσαν ἀθρόαις ἐπιδρομαῖς συνταράττουσι, καὶ ἴασι δὴ πρὸς τὴν μάχην οἱ ἀδελφοί· ὧν ἑνὸς ἡ ἱερὰ μήτηρ χρησαμένη τῇ ῥώμῃ, τὰ ἐκ λίνου πεί-

(1) Cod. λαῦρον. Supra p. 387, hanc scripturam servavi; sed, quum XI, 519, et XV, 105, sit diserte scriptum λάβρος, et hic reponi volui. De β et υ permutatis conf. p. 619.

(2) Vide supra not. p. 495, de hac vocum junctura.

σματα τοῦ Φρυγίου ἔῤῥηξε στόλου, καὶ πρηνεῖς φέρει τὰς ναῦς, καὶ ἐν μέσῳ τῷ πελάγει βυθίζει. Ἁπαλυνάσῃ δὲ τὰς σανίδας καὶ εἰς σῶμα μεταποιησάσῃ τὰ ξύλα, εἰς εἶδος μὲν κεφαλῆς αἱ καμπύλαι πρύμναι ἀμείβονται, εἰς δακτύλους δ' αἱ κῶπαι καὶ κνήμας ἀπηνέχθησαν νηχομένας· ὃ δὲ τοῖχος (1) ἦν, νῦν πλευρόν ἐστι, καὶ ἡ ἐν μέσοις συγκεκρυμμένη τοῖς κύμασι τρόπις εἰς ἀκάνθης χρῆσιν μετεστοιχείωται· οἱ δὲ κάλωες μαλακὴ κόμη, καὶ χεῖρες τὰ πηδάλια γίνονται. Τὸ δὲ χρῶμα κυανοῦν, ᾗπερ δῆτα καὶ ἦν, σώζεται, καὶ γενόμεναι Νηϊάδες θαλάττιαι, ἃ πρόσθεν ἐδεδοίκεσαν κύματα νῆες οὖσαι, ἐν τούτοις νῦν παρθενικοῖς περισκιρτῶσιν ἀθύρμασιν, καὶ ἐν ἄκροις φυεῖσαι τοῖς ὄρεσι τὴν ὑγρὰν νέμονται θάλατταν· καὶ οὐχ ἅπτεται τούτων ὁ πρῶτος τῆς γενέσεως αὐταῖς χῶρος. Οὐκ ἐπιλαθόμεναι μέντοι ὁπόσον δὴ χαλεποὺς κινδύνους πολλάκις ὑπήνεγκαν, πολλάκις ταῖς ναυαγούσαις ἐν τῷ πελάγει ναυσὶ χεῖρας ὑποτεθείκασιν (2), εἰ μή τις ἔφερεν Ἀχαιούς. Εἰσέτι καὶ γὰρ, τῆς Φρυγίας συμφορᾶς μεμνημέναι, τοὺς Πελασγοὺς μεμισήκασι. Καὶ δὴ καὶ τὰ ναυάγια τῆς Νηρικίας νηὸς (3) ἡδομένοις ὀφθαλμοῖς ἐθεάσαντο·

(1) Cod. τεῖχος, permutatione jam notata. Navis latus proprie est τοίχος, *paries*, non τεῖχος, *murus*. Libanius t. II, pag. 65: εἰς ναῦν ἐμβιβασθεὶς, ἀντὶ τῆς ἀρούρας πέλαγος τέμνει, μικρῷ μέρει τῶν τοίχων διεστηκὼς θανάτου: quam sententiam poetica forma induit Aratus: ὀλίγον δὲ διὰ ξύλον ἄϊδ' ἐρύκει. Supra pag. 481, ubi de hac varietate egi, locum emendavi in Ingolstadiensi Jo. Chrysostomi editione, quem emendatum nunc reperio in Ducæi recensione.

(2) Codex, ἐπιτεθείκασιν. Conf. pag. 523.

(3) Pro vulgata Ovidii lectione *Naryciæque ratis*, ex Regii emendatione *Neritiæque ratis* Gierigius edidit. Noster videtur habuisse *Nericiæ*. Puto quidem

ἡδομένοις ὀφθαλμοῖς καὶ τὴν Ἀλκίνου ναῦν (1) ἐθεάσαντο πωρωθεῖσαν, καὶ τὸν λίθον αὐξανόμενον ἐν τῷ ξύλῳ.

Ἦν μὲν (2) οὖν ἐλπὶς, εἰς Νύμφας θαλαττίας ψυχαγωγηθέντος τοῦ στόλου, τὸν Ῥούτουλον οἷόν τ' εἶναι τῷ δέει τοῦ τέρατος ἀποστῆναι τῆς μάχης· ὁ δ' ἐνίσταται. Καὶ θεοὺς ἑκάτερον μέρος ἔχει, καὶ, ὅ,τι πέρ ἐστι θεῶν, ἴσους ἔχουσι τοὺς θυμούς (3). Καὶ οὐκέτι τὴν προικίδιον βασιλείαν, οὐδὲ τὸ τοῦ κηδεστοῦ σκῆπτρον, οὐδὲ σὲ, Λαβινία παρθένε, ἀλλὰ νικῆσαι μόνον ζητοῦσι, καὶ αἰσχύνῃ τοῦ ἐλαττωθῆναι συγκροτοῦσι τὰς μάχας. Τέλος γε μὴν ἡ Κυθέρεια τὰς τοῦ παιδὸς δυνάμεις περιγιγνομένας ὁρᾷ· πίπτει δ' ὁ Τοῦρνος, πίπτει καὶ ἡ Ἀρδέα, σωζομένου τοῦ Τούρνου καὶ αὐτὴ δύναμιν ἔχουσα· ἣν ἐπειδὴ βάρβαρον ξίφος ἀνεῖλε καὶ πυρὶ τὰ οἰκήματα διελύθη, ἐκ μέσης τῆς τούτων σωρείας ὄρνις, τότε πρῶτον γνωσθεῖσα, ἑαυτὴν ὑπανακουφίζει, καὶ, τὴν τέφραν συγκροτοῦσα, τὰς πτέρυγας τύπτει. Καὶ

Neritiæ doctius esse et verius, sed potuisse Ovidium *Nericiæ* ut *Ithacæ* synonymum scribere. Dionysii enim Perieg. disertissimus est versus: Τῇ δ' ἔπι Νηρικίης Ἰθάκης ἕδος ἐστήρικται. Ibi Hillius ostendit Νήριτον Ithacæ montem et Νήρικον Acarnaniæ urbem fuisse permutata. Erraveritne Dionysius, an ejus descriptores, non decernere meum est; monebo tantum codicem Reg. 36, inter Titulos, quem forte nunc ad manum habeo, perspicue Νηρικίης exhibere. Jam manifestum fit cur supra, pag. 629, glossator Νηρίκιον ἥρω Ulyssem esse significaverit.

(1) Legit, quod et vulgo olim legebatur, « *lætis* videre rigescere puppim *Vultibus* Alcinoi », non *cautibus*. »

(2) Codex, ἡ μέν.

(3) Græca vix intelligo. Latinorum, quæ legebat, « quodque deorum instar », sensus est: καὶ, ὅ, τι πέρ ἐστιν ἀντὶ θεῶν, ἀρετὴν ἔχουσι.

φθέγμα δὲ καὶ ἰσχνότης. ἔμεινεν· ἔμεινε σώματι καὶ ὠχρότης, καὶ τἆλλα πάντα οἷα ἂν πόλει ἁλωκυίᾳ πρέπῃ. Καὶ δὴ καὶ τοὔνομα τῆς πόλεως ἔμειν-
580 νεν ἐν ἐκείνῃ, καὶ ταῖς αὐτῆς αὐτὴ (1) στέρυξιν ἡ Ἀρδέα νῦν κόπτεται.

Ἤδη δὲ καὶ θεοὺς πάντας ἡ τοῦ Αἰνείου ἀρετὴ καὶ αὐτὴν δῆτα τὴν Ἥρην σῖγησαι τὴν παλαιὰν μῆνιν συνήλασεν· ἡνίκα, ἀγαθῆς ὑποβεβλημένης χρηπῖδος τῶν στεγμάτων τοῦ αὐξανομένου Ἰούλου,
585 ὡρατίος ἦν ὁ Κυθέρειος ἥρως τῷ οὐρανῷ. Καὶ δὴ πείθεται τοὺς θεοὺς ἡ μήτηρ ἀντιβολοῦσα, καὶ τῷ τεκμηρίῳ τοῦ ἐαυτῆς πειχυθεῖσα παλεῖς, « Πά-
» τερ » εἶπε, « μηδέπω τέ μοι φανεὶς ἀκαμπὴς, καὶ
» νῦν, ἀντιβολῶ, ἥπιος ἔσο. Καὶ Αἰνείᾳ τῷ ἐμῷ,
» ὅς σε πάππον ἐκ τοῦ ἡμιθέου πεποίηκεν αἴ-
» μαλος, εἰ καὶ μικράν τινα δώσεις αὐτῷ θειότητα,
590 » δὸς ὅμως, εἴ τι τούτῳ γε δίδως. Ἀπόχρη γὰρ
» αὐτῷ τὴν ἀνέφαστον ἅπαξ βασιλείαν ἐωφακέναι,
» καὶ διὰ τῶν Στυγίων ὑδάτων ἅπαξ ἐληλυθέναι. »
Συνήνεσαν οὖν οἱ θεοί· ἀλλ' οὐδ' ἡ τοῦ Διὸς σύ-
ζυγος ἀμειλίκτιον ἔσχε τὴν ὄψιν, ἀλλ' ἱλαρῷ
προσώπῳ ἐπένευσε. Τότε τοίνυν ὁ Παιὴρ αὐτὸς ἔφη·
595 « Ἄξιοί ἐστε τῆς οὐρανίου θειότητος (2), σύ τε ἡ αἰ-
» τουμένη, καὶ ὑπὲρ οὗ ταύτην αἰτῇ. Λάβε, θύγα-
» τερ, ὅπερ εὔχῃ. » Ὁ μὲν εἶπεν· ἡ δὲ χαίρει, καὶ χάριτας ὁμολογεῖ τῷ παιεί. Καὶ, πειστερῶν ζεύγει δι' αὔρας κούφης ἀχθεῖσα, πρὸς τὰς ἠιόνας ἀφί-

(1) Codex habet, αὐταῖς αὐτῆ. rem alteram, *munere*, repone, τοῦ οὐρανίου δώρου — et statim, pro ταύτην, τοῦτο.
(2) Malam lectionem *numine* vertit, quam habuit. Ad melio-

κέλο τοῦ Λαυρέντου, ἔνθα, δόναξι σκεπόμενος, εἰς τὴν ϖλησίον θάλατταν ϖολαμίοις ὕδασιν ὁ Νουμίτιος ἕρπει. Καὶ κελεύει τοῦτον ϖᾶν ὅ,τι ϖολὲ τῷ Αἰνεία ϖρόσεσθι θανάτῳ ὑπεύθυνον ἀπολοῦσαι, καὶ ἡσυχῷ ῥεύμαθι ϖρὸς τὴν θάλασσαν ἐκκομίσαι. Ὁ κερασφόρος τοίνυν ϖολαμὸς ἐκπληροῖ τὰς ἐντολὰς τῆς θεοῦ, καὶ τοῖς οἰκείοις ὕδασιν ὅ,τι ϖολ' ἦν ἐν τῷ Αἰνεία θνητὸν ἀπεκάθηρέ τε καὶ διεσκέδασε· καὶ ἡ κρᾶθις μερὶς αὐτῷ ὑπελείφθη. Ἡ δὲ μήτηρ τὸ σῶμα ϖανταχόθεν μύρῳ ϖεριέχεισε θείῳ, καὶ, ἀμβροσίαν γλυκεῖ νέκταρι συγκεράσασα, ϖροσήνεγκε τῷ στόματι τούτου, καὶ θεὸν ἀπέλεσεν (1)· ὃν τοῦ Κυρίνου δῆμος Ἰνδιγέτα (τοῦτο (2) δ' ἐστὶν ἥρωα) ϖροσηγόρευσαν. Πρὸς τούτοις, εἵς τε ναοὺς αὐτὸν καὶ βωμοὺς εἱσεδέξαντο.

Ἐντεῦθεν ὑπὸ τὴν τοῦ διωνύμου Ἀσκανίου ἐπιτροπείαν Ἄλβοι τε καὶ τὰ τῶν Λατίνων ἐγένετο ϖράγματα. Τοῦτον δὲ μεδέξατο Σίλβιος (3), οὗπερ ὁ παῖς Λατῖνος σὺν τῷ παλαιῷ σκήπτρῳ καὶ τὸ παλαιὸν ἐπαναλαβὼν ἔσχεν ὄνομα. Τὸν δὲ Λατῖνον ὁ ἐξ

(1) Hæc erat ambrosiæ vis et nectaris ut corpus mortale faceret immortale. In Homerico de Cerere hymno, Ceres', quæ Demophoontem, Metaniræ filium, reddere volebat ἀγήρων τ' ἀθανάτόν τε, illum in gremio gestabat sedule, dulci fovebat afflatu, et ambrosia ungebat : χείεσκ' ἀμβροσίῃ : ubi conf. Mitscherlich. pag. 178. Apud Pindarum P. IX, 106, Horæ et Tellus genibus Aristæum reponunt, ambrosiamque infundunt labiis et nectar, itaque faciunt immortalem. Adde Heynii Excurs. IX, ad Il. A, et præsertim Venuti Dissert. de nectare et ambrosia in Memor. Acad. Corton., quam oratione gallica elegantissime expressit Francus Pompignanus.

(2) Hæc interpretatio a Planude addita fuit; nec est mala. Nam, teste Servio ad G. I, 498, *indigetes* vocati sunt dii ex hominibus facti. Et dii id genus sæpe ἥρωες audiunt.

(3) Codex, σίλβιος.

ἐκείνου γεννηθεὶς περιφανὴς Αἴγιπος (1) διαδέχεται. Μετὰ τοῦτον Κάπιτός τε καὶ Κάπις. Ὁ μέντοι Κάπις πρότερος γέγονε. Μετ' ἐκείνους τὴν βασιλείαν ὁ Τιβερῖνος λαμβάνει, ὃς, εἰς τὰς τοῦ Τυρρήνου πολλαμοῦ πεσὼν δίνας, πεποίηκε τοῖς ὕδασιν ὄνομα· ἐξ οὗ Ῥέμυλός τε (2) καὶ Ἀκρότας ἐγένοντο· ὧν ὁ μὲν Ῥέμυλος πέπειρος τῷ χρόνῳ γενόμενος, κερκυνὸν μιμούμενος, βολῇ κερκυνείῳ διώλετο· ὁ δὲ μετριώτερος Ἀκρόταις τῷ οἰκείῳ ἀδελφῷ (3) τῷ καλερῷ Ἀβεντίνῳ τὸ σκῆπτρον παρέδωκεν· ὃς, καθ' ὃν ἐβασίλευσε λόφον, ἐν τούτῳ ταφεὶς κεῖται, καὶ τῷ λόφῳ τὴν κλῆσιν παρέσχετο.

Ἤδη δὲ καὶ ὁ Παλατῖνος τὴν γῆν τοῦ μεγάλου κατεῖχεν ἔθνους. Ἐπὶ τοῦδε τοῦ βασιλέως Νύμφη τις

(1) Latina poscebant : τὸν δὲ περιφανῆ Λατῖνον Ἄλβα διαδέχεται, ἐξ οὗ γίνεται Αἴπυτος.

(2) Melior erit prosodia, Ῥεμύλος (conf. not. ad Aristæn. de diminutivis in υλος et υλλος). Secutus esse videtur latinum tonum.

(3) Ovidius : « Fratre suo sce- » ptrum moderatior Acrota forti » Tradit Aventino. » Reponendum in græcis, τοῦ οἰκείου ἀδελφοῦ. Vix puto Planudem comparativum latino more cum dativo struxisse; legisse videtur potius *fratri suo*, invito metro, cujus leges parum callebat : ni forte librarii calamus oscitantis erraverit. Pariliter dativo pro genitivo usus est lapicida, in hac inscriptione apud Millin. Annal. Encyclop. 1818, Nov. p. 150 :

ΥΠΕΡ. ΤΗΣ. CΩΤΗΡ
Μ. ΙΟΥΛΙΟΥ. ΛΙΓΥΟΣ
ΕΠΙΤΡΟΠΩ. ΚΑΙC
ΑΓΑΘΟΚΛΗC
ΔΟΥΛΟC
ΕΥΧ. ΑΠΕ. ΠΑΝΙ

Manifestum est scribendum fuisse ΕΠΙΤΡΟΠΟΥ : fuit enim Ἰούλιος ille Λίγυς Cæsaris ἐπίτροπος, quod et ex vicina ibidem latina inscriptione patet :

PRO. SALVTE
M. IVL. LIGVR
PROC. AVG.
AGATHOCLES

Adde notata infra pag. 639.

ἣν Πωμώνη, ἧς οὐκ ἔσλιν ἥτις ἐν ταῖς Λαλίναις Ἁμα-
625 δρυάσιν ἐπιμελέσλερον τοὺς κήπους ἐφυλακόμει, οὐδὲ
σπουδαιολέρα τις ἄλλη ϖερὶ τὰς τῶν δένδρων ῥιζὰς
γέλονεν· ὅθεν καὶ τοὔνομα φέρει· πῶμα (1) γὰρ τὰς
ὀπώρας οἱ Λατῖνοι καλεῖν θέλουσιν. Οὔκουν ἐκείνη
λόχμας, οὐ ϖολυμοὺς ἐφίλει, ἀλλὰ ἀλρυὰς καὶ εὐ-
τυχῶς καρϖοφορούντα φυλά· οὐδ' ἀκοντίῳ μὴν κα-
ταβαρύνει τὴν δεξιάν, ἀλλ' ἅρϖῃ καμπύλῃ, δι' ἧς
νῦν μὲν τοὺς ἐξυβρίζοντας τῶν κλάδων ἀνασλέλλει,
630 καὶ τοὺς ἀτάκλως (2) ἐκλεινομένους ϖρέμνους ἀνα-
χαιτίζει, νῦν δὲ, τὸν φλοιὸν διασχίζουσα, κάρφος
ἐγκεντρίζει, καὶ δωρεῖται χυλὸν τῷ ἐπεισάκλῳ ϖερ-
φίμῳ· ἀλλ' οὐδ' αἰσθάνεσθαι τὰ φυλὰ δίψης ἀνέ-
χελαι, ὕδαλι δὲ ῥέοντι τὰς τῆς διψηλῆς ῥίζης ἐπι-
καμπεῖς φλέβας ϖολίζει. Οὕτος ἔρως, αὕτη τῇ
Πωμώνῃ σπουδή· μίξεως δ' ἔρως ἐξηνέλαι οὐδείς.
635 Τὴν μέντοι ϖερὶ τῶν ἀγελῶν βίαν εὐλαβουμένη,
τὸν ὀπωρϕύλακα ταύτης οἶκον ἔνδοθεν κλείει, καὶ
ϖᾶσαν ἀνδρὸς ϖερόσοδον εἴργει καὶ ἀποσλρέφελαι. Τί
γε μὴν οὐκ ἔδρασαν οἱ Σάτυροι, δεξιὰ τοῖς ἅλμασι
νεολαία, καὶ Πᾶνες (3) οἱ ϖεύκαις τὰ ἑαυτῶν κέρα
ϖεριλαμβάνοντες, καὶ Σιλβανὸς ὁ τῶν οἰκείων ἑτῶν
640 ἀεὶ δήϖοτε νεώτερος, καὶ Πρίαπος ὁ τοὺς φῶρας
ἤτοι δρεϖάνῳ ἐκφοβῶν ἢ φαλλῷ, ὡς ἂν ἀϖολαύσειε
ταύτης; Ἀλλὰ γὰρ τούτους ὁ Βερλοῦνος ἐρῶν μὲν
ἐνίκα· οὐ μέντοι εὐτυχέσλερος ἦν ἐκείνων. Ὦ ϖοσά-

(1) Hanc explicationem vocis πῶμα addidit e suo Planudes. Codex, τῆς ὀπώρας.

(2) Codex, ἀϖάκλους, quod vix ferendum erat. Supra, p. 441, 580, permutatas vidimus vocales ου et ω. Infra ad 787, cod. αἰτωμένης pro αἰτουμένης. Cf. nota penultima. Mox cod. ἐκκεντρίζει.

(3) In codice est πάτης.

κις ἐν ἀτημελήτου θεριστοῦ σχήματι ἐπὶ ταῤῥοῦ διεβάστασε δράγματα, καὶ ἀληθινοῦ θεριστοῦ τύπος ἦν. Ἔστι δ' ὅτε, τοῖς κροτάφοις νεόδρεπτον φέρων περικείμενον χόρτον, δοκεῖν οἷός τ' ἦν θερισθεῖσαν ἄρτι χλόην συστρέψαι. Ἔστι δ' αὖ πάλιν ὅτε βουπλῆγα χερσὶν ἔφερεν ἀτεράμνοις, ὥστε σε ὀμόσαι ἄρτι τοῦτον τοῦ ζυγοῦ κεκμηκότας ἀπολῦσαι τοὺς ταύρους. Ἅρπης αὐτῷ δοθείσης, θάμνων ἦν καθαρτὴς καὶ ἀμπελοκλαδής (1). Κλίμακα ἔφερε, καὶ ἀκρόδρυα τοῦτον ἂν συλλέξειν ᾠήθης. Στρατιώτης ἦν τῷ ξίφει, ἁλιεὺς, κάλαμον λαβών. Καὶ τέλος πολλάκις ἑαυτῷ διὰ πολλῶν σχημάτων εἴσοδον εὕρετο, ὡς τὴν ἡδονὴν τοῦ θαυμαζομένου λήψοιτο κάλλους. Καὶ δὴ καὶ μίτρᾳ καταγράπτῳ τοὺς κροτάφους περιελίξας καὶ σκίπωνι ἐρειδόμενος, καὶ θέμενος πολιὰς τοῖς κροτάφοις, ἑαυτὸν εἰκάζει πρεσβύτιδι, καὶ πρὸς γεωργούμενον εἴσεισι κῆπον καὶ τοὺς καρποὺς ἀπεθαύμαζε, καὶ « Ὡς ἀγχινουστάτη » φησὶ, « χαῖρε, » τῆς παρθενικῆς ἁγνείας ἀδιάφορον ἄνθος (2). » Καὶ βραχέα ἐπαινεθείσῃ φιλήματα δέδωκεν, ὁποῖα οὐκ ἄν ποτε γραῦς ἔδωκεν ἀληθής. Καὶ ἐπὶ τῆς βώλου κυρτωθεῖσα ἐκάθισεν (3). Ἦν δ' ἀπαντικρὺ σταφυλαῖς σφριγώσαις ὡραιοτάτη πτελέα, ἣν ἐπειδὴ κατ' ἴσον ἐθαύμασεν ἅμα τῷ συνημμένῳ ταύτῃ κλήματι, « Εἰ δ' ἀσυνδύαστον καὶ δίχα τῆς ἀμπέλου » φησὶν « ἐκεῖνο τὸ στέλεχος ἵστατο, οὐδὲν ἂν εἶχε πλὴν τῶν

(1) Cod. ἀμπελωκλαδής. Forsan, ἀμπελοκλαδεύς.

(2) Sic hunc locum legebat: « tantoque peritior, inquit. Salve » virginei flos illibate pudoris. »

(3) Post ἐκάθισεν versiculum omisit vel librarius vel interpres; sic fere reddendum: καμπύλους τῷ τῆς ὀπώρας βάρει ἀναβλέπουσα κλάδους.

» φύλλων, οὗ χάριν φιληθείη. Ἀλλὰ καὶ ἥδε πάλιν
» ἡ συμπλεκομένη τῇ πτελέᾳ ἄμπελος καὶ ἐπ'
» αὐτῆς ἀναπαυομένη, εἰ μὴ συνεπλέκετο, κατὰ
» γῆς ἂν ἔκειτο κεκλιμένη. Σοῦ μέντοι τοῦδε τοῦ
» δένδρου τὸ παράδειγμα οὐδαμῶς ἅπτεται, φεύ-
» γεις δὲ τὴν συζυγίαν, καὶ ἥκιστα συναφθῆναί τινι
» πρόνοιαν ἔχεις. Ἀλλὰ γὰρ ὤφειλες τοῦτο θέλειν.
» Οὔτε γὰρ ἂν ἡ Ἑλένη μνηστῆρας ἀνεπτέρωσε
» πλείονας, οὔθ' ἡ τοὺς Λαπιθαίους πολέμους κινή-
» σασα, οὔθ' ἡ τοῦ δειλοῦ ἢ τολμηροῦ (1) σύζυγος
» Ὀδυσσέως. Καὶ νῦν δέ σου φευγούσης καὶ τοὺς
» ἐρῶντας ἀποστρεφομένης, μυρίοι ὅμως ἐπτόηνται
» περὶ τοὺς σοὺς ἔρωτας ἄνδρες, καὶ ἡμίθεοι καὶ
» θεοὶ, καὶ ὅσοι δήποτε θεοὶ τοὺς Ἀλβανοὺς λόφους
» κατέχουσι. Καὶ σὺ δ', εἰ φρονοίης, εἰ σαυτὴν κα-
» λῶς συναρμόσαι καὶ ταύτης ἐθέλεις τῆς γραὸς
» ἐπακοῦσαι, ἥ σε, πλέον ἐκείνων πάντων, καὶ
» πλέον ἢ σὺ πιστεύεις, φιλῶ, ἀπόσεισαι τὸ δη-
» μῶδες πλῆθος, τὸν δὲ Βέρτουνον ἐπίλεξαι σαυτῇ
» σύνευνον· ἀνθ' οὗ κἀμὲ νῦν ἐνέχυρον ἔχε. Οὐδὲ
» γάρ οἱ μᾶλλον γνωστότερος (2) ἐκεῖνός ἐστιν ἢ

(1) Vertit malam lectionem «timidi aut audacis Ulyssei». Meliorem, quæ nunc recepta est, «timidis audacis Ulyssei», sic verte, τοῦ πρὸς τοὺς δειλοὺς τολμηροῦ.

(2) Supra pag. 305, simili τοῦ μᾶλλον pleonasmo, μᾶλλον ἀξιωτέρα: pag. 29, μᾶλλον καλλίων: pag. 19, 2, distinxi ita ut μᾶλλον, ὑγρότερον, non jungerentur; sed, si syntaxis pleonastica et ibi institueretur, nil esset quod reprehendi posset merito (oblitus sum monere, codd. pro ὑγρότ. exhibere ὑδρότερον). Aristænet. I, 13, μᾶλλον δικαιότερον: ubi fuse pleonasmum illum comparationis in græcis et latinis scriptoribus illustravi. Non abludit T. Livius Præf. extrema: «cum bonis *potius* ominibus votisque ac precationibus deorum dearumque, si, ut poetis, nobis quo-

» ἐμοί· οὐδ', ὁποιπερ ἂν τύχῃ, καλὰ πᾶσαν τὴν
» οἰκουμένην πλανᾶται· τούτους δὲ τοὺς περιφανεῖς
» τόπους οἰκεῖ. Ἀλλ' οὐδ', ὡς τὸ πολὺ τῶν μνησῆρων
» μέρος, ἦν νῦν ὁρᾷ, ταύτης ἐρᾷ· σὺ δὲ καὶ πρῶτος
» καὶ ὕσταλος ἔρως αὐτῷ γενήσῃ, καὶ ἐν σοὶ μόνῃ τὴν
» ἑαυτοῦ περιοείσει ζωήν. Πεύσθες ὅτι καὶ νέος ἐστὶν,
» ὅτι φυσικὸν δῶρον τοῦ κάλλους ἔχει, καὶ εἰς πᾶσαν
» μορφὴν ἁρμοδίως μεταπλάττεται, καὶ, ὅτιπερ αὐτὴ
» κελεύῃς, καὶ κελεύειν ἄξιόν ἐστι (1), πάντα γενή-
» σεται. Τί δ' ὅτι τὰ αὐτὰ σπουδάζεις; Τί δ' ὅτι
» τὰς σοι γεωργουμένας ὀπώρας πρῶτος ἐκεῖνος ἔχει,
» καὶ τὰ σὰ δῶρα χαριεστάτῃ χειρὶ καθέχει; Ἀλλ'
» ἤδη οὔτε καρπῶν ἐκ δένδρου δρεπομένων ἐπιθυμεῖ,
» οὔθ' ἃς ὁ κῆπος εὐχύμους τρέφει βολάνας, οὔθ'
» οὐτινοσοῦν (2) ἄλλου, ὅτι μὴ σοῦ. Οἴκλειρον αὐτὸν
» ἐμπιπράμενον, καὶ γίνωσκε τοῦτον ὅπερ αἰτεῖ τῷ
» ἐμῷ σώματι παρόντα αἰτεῖν. Τοὺς τιμωρούς δὴ
» θεοὺς δέδιθι, καὶ τὴν μισοῦσαν τοὺς ἀκαμπεῖς
» λογισμοὺς Ἀφροδίτην, καὶ τὴν μνήμονα τῆς Ῥα-
» μνουσίδος (3) Νεμέσεως μῆνιν. Ἵνα δὲ καὶ μᾶλλον
» φυλάξαις (καὶ γὰρ πολλά μοι τὸ γῆρας γινώ-

» que mos esset, *libentius* inci-» peremus »; etsi possit *potius* ad omina, *libentius* ad vota precationesque referri : sed magis, mihi quidem, placet pleonastica syntaxis. Gallicus quidam scriptor, cujus nomen proferre nolo, ne quidquid scriptum fertur, bona et pessima, promiscue legendi cacoethes mihi exprobretur, hoc usus est pleonasmo, sed qui a nostræ linguæ usu prorsus alienus esse videtur : « ils ont *mieux* aimé ne passer » que pour des imitateurs amu-» sants, *plutôt* que d'aspirer au » grand nom de génies créa-» teurs. » Cod, οὐδὲ γάρ σοι.

(1) Ovid. « jubeas licet om-» nia. » Quum *licet* hic sit pro conjunctione, reponas, κἂν πάντα κελεύῃς, πᾶν γενήσεται.

(2) Codex, ὁπωσοῦν.

(3) Conf. notata, pp. 115, 454.

» σκειν ἔδωκε), πρᾶγμά σοι διηγήσομαι γνωριμώ-
» τατον κατὰ πᾶσαν τὴν Κύπρον, ᾧπερ εὐχερῶς
» καμφθῆναί τε καὶ ἠπιωτέρα γενέσθαι σχοίης.
» Εἶδε τὴν ἀπὸ τοῦ παλαιοῦ Τεύκρου τὸ γένος
» κατάγουσαν εὐγενεστάτην Ἶφις Ἀναξαρέτην, ἐξ
» ἀφανοῦς ῥίζης γεγενημένος· εἶδε, καὶ μέχρις ὅλων
» τῶν ὀστῶν πῦρ ὑπεδέξατο. Καὶ παλαίσας ἐπὶ χρό-
» νον τῷ ἔρωτι, ἐπεὶ λογισμῷ τῆς μανίας οὐκ ἔσχε
» περιγενέσθαι, ἱκέτης πρὸς τὰς ἐκείνης πρόσεισι
» θύρας. Καὶ νῦν μὲν, τῇ τροφῷ τῆς κόρης τὸν
» ἑαυτοῦ ἐξαγγείλας ἔρωτα, πρὸς τῶν ἐλπίδων τῆς
» τροφίμου δεῖται μὴ σκληρὰν αὐτὴν τούτῳ γενέ-
» σθαι· νῦν δὲ, πολλῶν θεραπόντων ὁντινοῦν λόγοις
» θεραπεύσας ἐπιμελέσι, τὴν παρ' αὐτοῦ εὔνοιαν (1)
» μακροτέροις αἰτεῖται (2). Ἔστι μὲν ὅτε πυκτίδι
» τοὺς κόλακας αὐτοῦ λόγους, ὡς πρὸς τὴν κόρην
» κομίζοιντο, παρετίθετο· ἔστι δ' ὅτε διάβροχα ταῖς (3)
» τῶν δακρύων σταγόσι στέμματα τῆς φλιᾶς ἀπε-
» κρέμα, καὶ ἐπὶ τὸν σκληρὸν οὐδὸν πλευρὰν ἐτίθει
» τὴν ἁπαλὴν, καὶ ὀδυνώμενος προσῆγεν ὀνείδη τῇ
» θύρᾳ. Ἐκείνη δὲ μένουσα καὶ θαλάττης ἀγριω-
» τέρα, ἡνίκα πιπτόντων τῶν ἀστέρων (4) ἐγείρεται
» σκληροτέρα, καὶ σιδήρου ὃν πῦρ τὸ Νωρίκιον
» ἕψει, καὶ πέτρας ἥτις ἔτι τῇ συμφύτῳ ῥίζῃ
» προσίσχεται, περιορᾷ, καὶ καταγελᾷ τούτου.
» Καὶ ἔργοις ἡ ἀμείλικτος ἀπηνέσιν ὑπερήφανα προ-

(1) In codice male, ἔννοιαν.

(2) Non intelligo quid sibi velit inexspectatum illud μακροτέροις. Μακροτέραν valde langueret, nisi in latinis pro *propensum favorem* Planudes male legerit *protensum*.

(3) Codex, τοῖς.

(4) Male legit *astris*, pro *austris*, ἀνέμων, νότων.

» στίθησι ῥήματα, καὶ ῥήγνυσιν αὐτῷ καὶ τὰς ἐλπί-
» δας ἐρῶντι. Οὐκ ἤνεγκεν οὖν ὁ Ἶφις, πρὸς τὰς
» τῶν μακρῶν πόνων κολάσεις ἀπειρηκὼς, καὶ πρὸ
» τῶν ἐκείνης θυρῶν τούσδε τελευταίους ἀπεφθέγ-
» ξατο λόγους· Νικᾷς, Ἀναξαρέτη, καὶ οὐκέτι τὴν
» ἐξ ἡμῶν ἀγανάκτησιν οἴσεις. Ἡδεῖς τοίνυν διατίθει
» θριάμβους, καὶ παιᾶνα κάλει, καὶ φαιδρὰν δά-
» φνην ἀνάδησον. Νικᾷς, Ἀναξαρέτη· θνήσκω καὶ
» γὰρ ἑκών. Ἄγε οὖν, σιδηρᾶ, χαῖρε. Ἀληθῶς εἰ-
» πεῖν, ἐπαινέσαι τι τῶν ἡμετέρων ἀναγκασθήσῃ, καὶ
» καιρὸς ἔσται καθ' ὃν κεχαρισμένος γενήσομαί σοι,
» καὶ τοὐμὸν ὁμολογήσεις κατόρθωμα. Μέμνησο μέν-
» τοι μηδαμῶς πρότερόν μοι τὰς περὶ σοῦ φρον-
» τίδας ἢ τὸν βίον συντελεσθείσας. Καὶ διπλοῦ γε
» μὴν φωτὸς, σοῦ καὶ τοῦ τῆς ἡμετέρας ζωῆς (1),
» στεροῦμαι κατὰ ταυτόν. Σοὶ δ' οὐκ ἀγγέλλουσα
» φήμη τὸν ἐμὸν ἐλεύσεται θάνατον· αὐτὸς δ' ἐγὼ
» (μηδ' ὁτιοῦν θέλε διστάζειν) παρέσομαι, καὶ πα-
» ρὼν ὀφθήσομαι, ὡς ἐκπεπνευκότι τῷ σώματί μου
» τοὺς ἀπηνεῖς ὀφθαλμοὺς ἑστιάσῃς. Εἰ μέντοι, ὦ
» θεοὶ, τὰ θνητῶν ἔργα βλέπετε, μέμνησθέ μου
» (περαιτέρω γὰρ ἡ γλῶττα δεῖσθαι οὔκουν ἀνέχε-
» ται), καὶ κατὰ τὸν μακρὸν ἡμᾶς αἰῶνα ποιήσατε
» περιᾴδεσθαι, καὶ, ὃν τῆς ζωῆς ἀφείλεσθε, χρόνον
» τῇ φήμῃ δότε. » Εἶπε, καὶ πρὸς τὴν φλιὰν, τὴν
» πολλάκις κοσμηθεῖσαν στεφάνοις τοὺς διαβρόχους
» ὀφθαλμοὺς καὶ χεῖρας τὰς ὠχριώσας ᾖρε. Καὶ (2)
» ὑπερθύρου τὸν βρόχον ἐξαρτῶν, Οὗτοί σοι, φησὶν,

(1) Addidi ζωῆς. Ceterum hæc vocis φωτὸς interpretatio a Planude fuit Ovidianis verbis addita.

(2) Codex, καὶ τόν.

» ἀπηνεστάτη καὶ ἀσυμπαθεστάτη, ἀρέσκουσι στέ-
» φανοι. Καὶ τὴν κεφαλὴν εἰς τὸν βόθρον ἐνέ-
» βαλεν, ἀλλὰ καὶ τότε πρὸς ἐκείνην ἐπεστρεμ-
» μένος, καὶ δυσλυχὲς ἄχθος ἀπηώρητο, τοῦ φάρυγγος
» διαλυμανθέντος. Ἡ δύρα μέντοι, τυφθεῖσα τῇ
» κινήσει τῶν ποδῶν ταρταιρομένων καὶ δεδοικότων
» τῷ θανάτῳ (1), ἔδοξεν ἐνοφηκέναι, καὶ ἀνοιχθεῖσα
» τὰ τόλμημα πεφανέρωκεν. Οἱ θεράποντες τοίνυν
» ἀναβοῶσι, καὶ, μάτην αὐτὸν ἀείραντες (ὁ γάρ τοι
» παλὴρ ἐτεθνήκει), πρὸς τὴν τῆς μητρὸς οἰκίαν κο-
» μίζουσιν. Ἡ δ' ἐσκολπίζεται τὸν υἱόν, καὶ, τὰ
» ψυχρὰ τούτου μέλη περιβαλοῦσα, πρῶτα μὲν
» οἰκτρὰ τεκόντων ἀφίησι ῥήματα, καὶ μητέρων
» ἀθλίων (2) διεπεράξατο ἔργα· μετὰ δὲ τοῦτο τὴν
» ἐκφορὰν θρηνούσης διὰ μέσης ἦγε τῆς πόλεως,
» καὶ τὰ καυθησόμενα πελιδνὰ μέλη τῷ φερέτρῳ
» ἐβάσταζε. Ἔτυχε δ' ἡ τῆς Ἀναξαρέτης οἰκία
» γειτνιῶσα τῇ λεωφόρῳ, δι' ἧς ἡ δύσηνος ἤει

(1) Vertit quam habuit lectionem utique non bonam. Nam quis ferat *pedes morte paventes?* E variis lectionibus veram, puto, Burmannus elegit, «Icta pedum » motu trepidantum morte, gementem Visa dedisse sonum » est—»

(2) Invenit Planudes, « postquam *miserorum* verba parentum Edidit, et matrum miserarum facta peregit. » *Miserarum parentum* Editor noster scribere maluit, huicque lectioni apte, ut solet, et ingeniose patrocinatur. Fateor tamen, re non leviter pensitata, *miserorum parentum*, mihi ut et Planudi, Burmanno Gierigioque, placere. Sunt in jactura filii verba quæ *parentes miseri*, pater nempe et mater, plerumque eadem et similia edunt; hæc parentibus communia verba Iphis mater protulit: sunt et facta *matrum miserarum propria*, comarum nempe laceratio, lacertorum et pectoris planctus, alia, a quibus patrum, quippe virorum, dolor fortior abstinere et solet et debet; hæc facta Iphis mater peregerat.

» μήτηρ, καὶ ὁ τῆς καυγῆς ἦχος περὶς τὴν ἀκοὴν
» τῆς ἀκαμποῦς ἦλθεν Ἀναξαρέτης, ἣν ἤδη θεὸς
» τιμωρὸς ἦγεν. Ἐπικλασθεῖσα δ' ὅμως, Ἴδωμεν,
» εἶπε, τὴν δειλαίαν ἐκκομιδήν· καὶ περὶς ὑπερῷον
» θυείσιν ἀναπεπταμένον ἀπῆλθεν. Οὕτω καλῶς εἶδεν
» ἐπικείμενον τῇ κλίνῃ τὸν Ἶφιν, καὶ τοὺς ὀφθαλ-
» μοὺς ἀπεπάγη, καὶ αἷμα τὸ θερμὸν, ἀντεισα-
» χθείσης ὠχρότητος (1), ἀπέδρα τοῦ σώματος, καὶ
» ἀναποδίζειν ἐπιχειρήσασα, περισεσχέθη, καὶ,
» πειρασαμένη τὸ πρόσωπον σπρέφειν, οὐδὲ τοῦτ'
» ἐδυνήθη, καὶ, καλὰ βραχὺ, καλαλαμβάνει τὰ
» μέλη πάντα, ὃς μικρῷ πρόσθεν ἦν ἐν τῇ σκληρᾷ
» ταύτης καρδίᾳ, λίθος. Ὡς ἂν δὲ μὴ πλάσματα
» ταῦτα νομίζοις, τὸ σημεῖον ἔτι καλὰ τὸν τύπον
» ἐκείνης ἡ Σαλαμὶς συντηρεῖ· καὶ δὴ καὶ νεὼν Ἀφρο-
» δίτης Περγοίας (2) ἐπίκλησιν ἔχει. Τούτων με-
» μνημένη, καὶ σὺ, Νύμφη ἐμὴ, ἀπόθου τὴν νωθρὰν
» ὑπερφίαν, ἀντιβολῶ, καὶ τῷ ἐρῶντι συνάφθητι.
» Οὕτω σοι μηδέποτε τὸ χειμέριον ψύχος ἐγκυ-
» μονούσας καύσειε τὰς ὀπώρας, μηδ' ἐκλινάξειαν
» ἀνθησάσας ὀξεῖς ἄνεμοι! »

Ταῦτα μάτην εἰπὼν, ὁ περὶς πᾶσαν ἰδέαν ἐφαρ-
μόζων, θεὸς εἰς τὰ τοῦ νέου ἐπάνεισι, καὶ ἑαυτοῦ
τὰ περισυλικὰ τῶν ὀργάνων ἀφαιρεῖται. Καὶ τοιοῦ-
τος τῇ Πωμώνῃ ἐφάνη, ὁποῖος ὁ καθαρώτατος ἡλίου
κύκλος, περιγενόμενος τῶν ἐπιπροσθούντων νεφῶν,

(1) Cod. θερμότητος, lapsu calami.

(2) Latin. « Veneris nomine » Prospicientis. » *Venus Prospiciens* non est Ἀφροδίτη Περγοία, sed Ἀφροδίτη παρακύπτουσα, *prospiciens* a fenestra nempe. Repone, Παρακυπτούσης. Conf. Larcheri Veneres.

καὶ, μηδενὸς ἀνθισταμένου μηκέτι, ἐξέλαμψε. Καὶ δὴ βίαν ἡτοίμαζεν. Ἀλλ' οὐκ ἔτι δεῖ βίας. Ἥλω γὰρ ἡ Νύμφη τῷ τοῦ θεοῦ κάλλει, καὶ τῶν ἴσων ἐρωτικῶν τραυμάτων αἴσθησιν εἴληφε.

Μετὰ δὲ τὸν Παλατῖνον εὐθὺς, ὁ ἄδικος Ἄμουλος τὰ τῶν Αὐσόνων διῴκει πράγματα· καὶ ὁ γέρων Νουμίτωρ, ἣν ἀρχὴν ἀπέβαλε, δῶρον τοῦ ἐγγόνου λαμβάνει. Μετὰ δὲ τὰς τῆς Ἑστίας (1) ἑορτὰς τὰ τείχη τῆς πόλεως κτίζεται. Τάτιος δὲ καὶ τῶν Σαβίνων οἱ βουλευταὶ πόλεμον ἄγουσιν· ἡ δὲ Ταρπηΐα, τὴν τῆς ἀκροπόλεως ἀνοίξασα τούτοις πύλην, τὴν ἀξίαν τιμωρίας ψυχὴν, ὅπλων ἐπιφορηθέντων αὐτῇ, ἀπηρεύξατο. Ἐντεῦθεν οἱ τῶν Σαβίνων παῖδες, σιωπηλῶν δίκην λύκων, τὴν φωνὴν πιέσαντες ἐν τοῖς στόμασι, τά τε τῶν Λατίνων ὑπὸ τοῦ ὕπνου νενικημένα σώματα κατακόπτουσι, καὶ πρὸς τὰς πύλας δρόμῳ χωροῦσιν, ἃς ὁ Ἰλιάδης ἰσχυροῖς μοχλοῖς ἔκλεισε. Μίαν μέντοι ἐκείνη ἤνοιξε, καὶ ἡ Ἥρα τοῦ θαιροῦ (2) στρεφομένου ψόφον (3) ἐποίησεν οὐδένα· μόνη δ' ἡ Ἀφροδίτη πεσόντων ᾔσθετο τῶν μοχλῶν, καὶ ἔμελλεν αὖθις κλείσειν, εἰ μὴ ὅτι θεοῖς τὰ θεῶν οὐκ ἔξεστιν ἀνακόπτειν ἔργα. Νηϊάδες Αὐσόνιαι τοὺς ἐχομένους τοῦ Ἰανοῦ τόπους κατεῖχον, τοὺς ψυχροτάτῃ πηγῇ καταῤῥύτους. Ταύτας οὖν αἰτεῖται

(1) *Palilia* non sunt *Vestæ* sacri dies, sed Pali deæ.

(2) Conf. notam supra p. 140.

(3) Cod. φόβον. Par fere est permutatio in Callistrati Statua 13: ὁ δὲ θυμὸς τῇ ῥύμῃ τῆς ὀργῆς παραγραφόμενος, τὴν φύσιν πρὸς τὸ ἔργον ἤγειρε, τὴν ἐπὶ τὸν φόνον ὁρμὴν εἰσαγόμενος. Olearius bene, pro vulgato ante ipsum ψόφον, edidit φόνον. Equidem ψόφον inveni in cod. Regio 1048, sed et bonam simul recipiendamque lectionem εἰσηγούμενος.

βοήθειαν. Αἱ δὲ Νύμφαι, δίκαια τῆς θεᾶς αἰτουμένης, οὔκουν ὑπέμειναν, ἀλλ' αὐτίκα φλέβας τε πάσας καὶ ῥύσεις τῆς οἰκείας πηγῆς ἐξέπτυσαν. Οὔπω μέντοι τὸ τοῦ Ἰανοῦ πατρὸς (1) πρόσωπον ἄβατον ἦν, οὐδὲ τὸ ὕδωρ ἀπέκλεισε τὴν ὁδόν. Θεῖον τοίνυν ἄπυρον (2) ὑποτιθέασι τῇ πηγῇ, καὶ τὰς κοίλας σήραγγας ἀσφάλτῳ τυφομένῳ ἀνάπτουσι. Καὶ τούτοις δὴ τοῖς ἔργοις καὶ ἄλλοις πρὸς τὰ κατώτατα τῆς πηγῆς ἡ ἀτμὶς διεξίκετο, καὶ τὸ, πρὸ μικροῦ, τῷ τῶν Ἄλπεων ψύχει ἐρίζειν τολμῶν ὕδωρ, νῦν ὑπείκει τῷδε τῷ πυρί (3). Αἱ δὲ διτταὶ τῆς πύλης παραστάδες ἄχνῃ φλογώδει καπνίζουσι, καὶ, ἡ μάτην ἐπαγγελθεῖσα τοῖς τολμηροῖς Σαβίνοις, πύλη τῇ καινῇ πηγῇ ἀνεφράγη, μέχρις οὗ ὁ τοῦ Ἄρεως παῖς Ῥωμύλος ὅπλα περιέθετο· ἅπερ ὡς οἴκοθεν αὐτὸς προσενήνοχε (4), καὶ κατεστρώθη μὲν τοῖς

(1) Invenit Planudes « Jani » *parentis* », non *patentis*. Mihi quidem, ob prolepsin, *patens* Janus displicet.

(2) Confer supra pag. 282, ubi de θείῳ ἀπύρῳ monui. Hesychius : θεῖον, θεάφιον, ἄπυρον, ἄκαυστον. Ad quæ quum Tupii legerem notam, vix credebam oculis. Sic ergo Tupius : « quum » dicit ἄπυρον et ἄκαυστον, respexit » partem immortalem Herculis, » quæ igne consumi nequibat. » Ingeniosior fuit Tupius. Θεῖον est sulphur, et appositum est synonymum θεάφιον cum epitheto ἄπυρον (nam jungendum, θεάφιον ἄπυρον), quod vivum significat, ignem non expertum, nativum.

(3) Imo, νῦν οὐκ εἴκει αὐτῷ τῷ π.

(4) Lat. « Portaque. . . . Fonte » fuit præstructa novo, dum Martius arma Indueret miles; quæ » postquam Romulus ultro Obtulit, et strata est tellus Romana Sabinis » . . . . Puto Martium militem hic esse milites Romanos, non Romulum ipsum; et e variantibus, *quæ* (arma), *quem* (militem), *quam* (portam), hanc ferme prætulerim. Quæ Sabinis fraude fuerat tradita, hanc ipsis Romulus patentem obtulit ultro, quo in sensu nihil est quod non placeat. Planudes habuit *quæ*, idque non malum, sed male vertisse puto : forsan, ἅπερ ὡς ἑκοντὶ αὐτὸς προσεν.

Σαβίνων σώμασιν ἡ Ῥωμαίων γῆ, καὶ ἐσπρώθη δέ γε καὶ τοῖς οἰκείοις, καὶ τὰ τῶν γαμβρῶν σώματα τοῖς αἵμασι τῶν πενθερῶν ἔμιξε τὸ ἀπάνθρωπον ξίφος, ἔδοξεν εἰρηνεύσαντας καταλῦσαι τὸν πόλεμον, μηδ' εἰς ἔσχατον ὅπλοις διακινδυνεύειν, ἀλλὰ καὶ τὸν Τάτιον τῆς ἀρχῆς ἀποχωρῆσαι (1).

Μεθήλλαξε τοίνυν ὁ Τάτιος, καὶ τοῖς δήμοις ἐκλέγεις ἐπίσης, Ῥωμύλε, τὰ δίκαια διαφέρεις. Ὅ γε μὴν Ἄρης, τὸ κράνος ἀποθέμενος, τοιάδε πρὸς τὸν πατέρα ἀνδρῶν τε καὶ θεῶν λέγει· « Καιρὸς πάρεστι, » πάτερ, ἐπείπερ τὰ Ῥωμαίων πράγματα βάθρῳ » μεγάλῳ καὶ θεμελίῳ ἐρρώσατο, καὶ (2) ἡγεμόνος ἑνὸς » ἥρπασα, ἤδη τὰς ὑπεσχημένας ἀμοιβὰς ἐμοί τε καὶ » τῷ τούτων τυχεῖν ἀξίῳ καταβάλλεσθαι ἐζήνῳ, καὶ » τοῦτον τῆς γῆς ἀρθέντα τῷ οὐρανῷ ἐγγράφῆναι. » Σὺ γάρ μοι πόλε, τῆς τῶν θεῶν παρούσης βου- » λῆς (καὶ γὰρ μέμνημαι καὶ μνήμονι διανοίᾳ τοὺς » εὐμενεῖς ἐκείνους ἐνεχάραξα λόγους), εἶς, εἶπας, » ἔσται, ὃν πρὸς τοὺς οὐρανίους αὐτὸς ἀρεῖς ἀστέ- » ρας. Κεκυρώσθω τοίνυν τὸ τῶν σῶν λόγων κεφά- » λαιον. » Ἐπένευσε τοιγαροῦν ὁ Ζεὺς, καὶ τὸν ἀέρα σκολειναῖς νεφέλαις ἐπηλυγάσατο, καὶ βρονταῖς καὶ ἀστραπαῖς τὴν οἰκουμένην (3) κατέπληξεν. Ὁ δ' Ἄρης

(1) Habuit suo in codice *excedere regno*. Melior lectio *accedere* poscit, τῆς ἀρχῆς μεταστῆναι.

(2) Lat. « *nec* præside pendet » ab uno. » Planudes habuisse videtur, *et*. Repone melius, οὐδ' pro καί.

(3) Bonam lectionem *orbem* suo in libro invenit; *urbem* hic minus est aptum. Hæc nomina sæpe confusa sunt. *Urbes* merito displicuit in Horatio, ubi de Jove: « Qui terram inertem, qui mare » temperat Ventosum, et urbes » regnaque tristia, Divosque mor- » talesque turmas Imperio regit unus æquo. » Velim *orbes*. Opponuntur terra et mare, *orbes*

ἠσθέλο τῶν διδομένων αὐτῷ συνθημάτων τῆς ὑπεσχημένης τοῦ παιδὸς ἁρπαγῆς, καὶ δὴ τῷ δόρατι ἐρεισθείς, ἄτρεστος ἀνέβη τοὺς ἵππους πιεζομένους τῷ καθημαλμένῳ ῥυμῷ, καὶ ἅμα τῇ ῥιπῇ τῆς μάστιγος ἐξκεραγὼν, καὶ διὰ τοῦ ἀέρος καλάστης ῥυεὶς, ἐπ' ἄκρου τοῦ λόφου τοῦ ἀλσώδους ἔστη Παλατίου, καὶ, χρημαλίζοντα τοῖς οἰκείοις πολίταις εὑρὼν, τὸν Ἰλιάδην ἁπήρπασε. Τὸ δὲ θνητὸν τούτου σῶμα, διὰ τοῦ λεπτοῦ φερόμενον ἀέρος, ὥσπερ μολιβδοῦς (1) βάλανος ἀπὸ σφαλείας πεμφθεὶς σφενδόνης καλὰ μέσον εἴωθε τήκεσθαι τὸν ἀέρα, κάλλος ὑπέδραμεν (2) ἐκτρεπίσταλον· καὶ τιμῶν ὑψηλῶν ἠξιώθη, οἵα καὶ νῦν ἡ εἰκὼν δείκνυσι τοῦ τὴν ἀλουργίδα φορεῦντος Κυρίνου· Κυρῖνος γὰρ οὗτος ἁρπαγεὶς μελωνόμασται (3).

Ἡ μέντοι σύζυγος Ἐρσίλεια ἀπολωλότα τοῦτον ἐθρήνει· ἡ δὲ βασιλὶς Ἥρα τὴν Ἶριν περιφερεῖ (4) πορεία καλεῖσθαι ὡς αὐτὴν ἐπιτάττει, καὶ τῇ χήρᾳ τὰς αὐτῆς ἐντολὰς οὕτω κομίσαι· « Ὦ καὶ τοῦ » Λατίνων, ὦ καὶ τοῦ Σαβίνων γένους ἐξαίρετον, εὐ» γενεστάτη, καλλώπισμα, ἀξιωτάτη μὲν καὶ σεβ» σθεν τοῦ τοσούτου ἀνδρὸς εἶναι σύζυγος, καὶ νῦν » δὲ τοῦ Κυρίνου, στῆσόν σου (5) τὸν θρῆνον, καὶ, » εἴ σοι μέλοι τῆς τοῦ συνεύνου θέας, δεῦρ' ἴθι » πρὸς τὴν λόχμην, τὴν ἐν τῷ τοῦ Κυρίνου θαλ» λουσαν λόφῳ, καὶ τὸν νεὼν τοῦ Ῥωμαίων βασι-

æthérii et regna infera. Fateor tamen *orbes* sine epitheto durum esse.

(1) Codex, πῦ μολιβδῦς.

(2) Junxit Planudes *corpus subit*, non male.

(3) Hæc annotatio de Quirini nomine Planudea tota est.

(4) Non περιφερεῖ, sed λοξῷ, πλοειδεῖ, *curvo*.

(5) Codex, στῆσόν μου. Lat. » siste *tuos* fletus. »

» λέως καλασκιάζουσαν. » Πειθέλα, καὶ, ἐπὶ τὴν γῆν περικαλλεῖ καλολισθήσασα σώμαλι (1), τὴν Ἐρσίλειαν διανίσλησι καλὰ τὰ ἐντελαλμένα. Ἡ δ' αἰδουμένῳ προσώπῳ μόλις τοὺς ὀφθαλμοὺς διάρασα, « Ὦ » θεά (καὶ γὰρ οὔ μοι πρέχειρον εἰπεῖν τίς πόλε » οὖσα τυγχάνοις, καὶ δοκεῖς εἶναι θεά), ἤγησαι, ὦ (2) » ἤγησαι » λέγει, « καί μοι τὴν τοῦ ἀνδρὸς ὄψιν » προσένευκαν, ὃν εἰ δυνηθῆναι μόνον ἅπαξ ἰδεῖν » δοῖεν αἱ Μοῖραι, τοῦ οὐρανοῦ δόξω (3) ἐπιλαθέ- » σθαι. » Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ σὺν τῇ Θαυμαντείᾳ παρθένῳ τὸν Ῥωμύλειον εἴσεισι λόφον· ἔνθαπερ ἀσπὶρ ἀπ' αἰθέρος καλολισθήσας εἰς γῆν πέπλωκεν· οὗπερ ἐκ τοῦ φωλὸς ἡ τῆς Ἐρσιλείας εὐωδιάσασα (4) κόμη, ἅμα τῷ ἀσπίδι, πρὸς τὰς αὔρας ἐχώρησε. Ταύτην δέ γε συνήθεσι χερσὶν ὁ τῆς Ῥωμαίων πόλεως ὑποδέχεσθαι κλισπὶς, καὶ τὴν παλαιὰν ἐπίσης σὺν τῷ σώμαλι καλαλίθησι κλῆσιν,

(1) *Artus* male legit, non *arcus*. Repone, ἐν ποικίλῳ, καλαχαράλῳ τόξῳ.

(2) Cod. ὰ Jam sæpius eo modo peccavit librarius. In Pluto 458, velim scribi, ὦ πρὸς τῶν θεῶν, non ὢ πρ. τ. θ.: in Libanio t. III, pag. 23, ὦ πρὸς Διὸς, non ὦ̃ πρ. Δ. Philostratus Epist. 26, extr. φέρε εἰπὲ σὺ τὸν ἐπιτάφιον τῆς κόμης· ὦ̃ καλλους ἀκρόπολις, ἔρωλος ἄλσος, ὦ̃ ἀσπὶς κεφαλῆς: codex Reg. 1696, et Vatic. 140, σοι, quod æque bonum est, et ille ὦ̃ inserit apte ante ἔρωπος: ter scripserim ὦ̃: sunt enim exclamationes. Heliodorus II, 4, ἀλλ' ὦ̃ πί ἄν σέ πς ὀνομάσειε; νύμφην; ἀλλ' ἀνύμφευλος..... cod. Venet. 409, ὦ̃: sed malim ὦ̃: nam hic signum est vocativi. Dicturus erat ὦ̃ νύμφη, vel ὦ̃ γαμετὴ, sed se a tali appellatione revocat; unde sic interpungi nitidius velim, ἀλλ', ὦ̃.....πί ἄν σέ—Infra ad XV, 581, ὦ scribam pro codicis lectione ὦ̃: et supra pag. 540, 4, codex ὦ̃ χαῖρε, quod retinere nolui.

(3) Codex, δόξαι. Forsan δόξαιμι.

(4) Legit, idque male, *fragrans* pro *flagrans*. Repone, φλεγομένη.

[redacted]

καὶ Ὄραν (1) προσαγορεύει. Καὶ νῦν τῷ Κυρίνῳ συνημμένη θεός ἐστιν.

(1) Codex, ὁρᾶν: invenit Planudes *Oram*, non *Horam*. Malim supra μετατίθησι, *mutat*.

Chartæ, quæ non est pura relinquenda, grammaticalia illinam paucula, mihi olim e cod. Regio 1630, pag. 249, 3, descripta.

Τὸ κωλύω, ἀπὸ τοῦ κῶλα δεσμεύω. Τὸ ἀρτύω, ἀπὸ τοῦ ἀρτῶ. Τὸ μηνύω, ἀπὸ τοῦ μνῶ, μνύω καὶ μηνύω. Τὸ ῥύω καὶ ἐρύω, ἀπὸ τοῦ ῥῶ.

Τὸ νῶ νοῖς νοῖ, καὶ σῶ σοῖς σοῖ, καὶ χῶ χοῖς χοῖ, μῶ μοῖς μοῖ. Ταῦτα ἀπὸ τῆς τρίτης συζυγίας τῶν περισπωμένων, τουτέστι πληροῖς. Τὸ δὲ θῶ θεῖς, τῆς πρώτης.

Καὶ τὸ χηναλώπηξ οὐχ ὑγιῶς ἀπὸ εὐθείας συντέθειται [sed cf. Etymol. M.]. Τὸ δὲ ποδάνιπτρα, κυνάμυια, ἀπὸ τοῦ ποδόνιπτρα καὶ κυνόμυια, κατὰ τροπὴν τοῦ ο εἰς α. Τὸ δὲ γυναιμανὲς ἀπὸ τοῦ γυναικομανὲς (cod. γυνομανὲς), τὸ μὲν κατὰ συγκοπὴν, τὸ δὲ κατὰ τροπὴν τοῦ ο εἰς α, καὶ προσθέσει τοῦ ι, ὡς καὶ Κλυτομνήστρα.

Ἀπὸ κλητικῆς οὐ γίνεται σύνθεσις· τὸ γὰρ Βακχέκακος κατὰ τροπὴν τοῦ ο εἰς ε.

Ὅτι τοῦ χαίρω παθητικοῦ ὄντος τοῦ σημαινομένου ἐπιλείπει ὁ παθητικὸς ἐνεστώς· οὐ γὰρ λέγομεν χαίρομαι· τὸ δὲ ἐχάρην λέγεται, ἐπειδὴ ὁ ἔχαρον ἐνεργητικὸς οὐ λέγεται.

Ὅτι τὸ «σίζε» καὶ «λίγξε» καὶ «ἔκλαγξαν» καὶ «κρίκε δὲ ζυγὸν» θέμα οὐκ ἔχουσιν, ἐπειδὴ κατὰ μίμησιν τῆς φωνῆς ἐγένοντο [cf. Etym. M. in Σίζω.]

Τὰ ἔχοντα μετάβασιν πρὸς πλαγίαν πτῶσιν, ταῦτα ἔχουσι παθητικὰ γενικῇ συντασσόμενα μετὰ τῆς ὑπὸ προθέσεως· διὰ τοῦτο οὖν τὸ κλαίω μεταβαίνει εἰς πάθος, οἷον κλαίομαι· ὁμοίως καὶ τὸ στενάζομαι, θρηνοῦμαι, πενθοῦμαι. — (Etymol. M. eadem est sententia: αἴτιον, ait, τῆς τῶν παθητικῶν ῥημάτων γενέσεως ἡ τῶν ἐνεργητικῶν ἐστι πλαγίων μετάβασις: leg. ἐπὶ, non ἐστι.)

Διὰ τοῦτο καλεῖται μέση ἡ μέση διάθεσις, καθὸ οἱ αὐτοὶ σχηματισμοὶ καὶ ἐπ' ἐνεργείας λαμβάνονται καὶ ἐπὶ πάθους.

Τί ἐστι διάλογος δεῖξις; Διάλογος δεῖξίς ἐστιν, ἡνίκα τὸ ζητούμενον ἐκ τοῦ ζητουμένου κανονίζεται· οἷον· ποῦ μένει Πλάτων; ὅπου μένει Δίων· καὶ ποῦ μένει Δίων; ὅπου μένει Πλάτων. Ἰστέον δέ ὅτι τῶν δείξεων αἱ μέν εἰσιν οὐσιώδεις, αἱ δὲ ἐπουσιώδεις ἤγουν τεκμηριώδεις· οὐσιώδεις μὲν, ὅταν τόπον μελανὸν (sic) ἐν οἴκῳ εἴπω στοχαζόμενος ὅτι ἀπὸ καπνοῦ ἐμελάνθη· εἰκὸς δὲ ἦν αὐτὸν μελανθῆναι ἀπὸ μέλανος ἢ ἀπὸ κάρβωνος.

Ex eodem codice eorum qui in quaque arte excelluerint nomina virorum proferam pleraque satis ignorabilia: cf. Bibl. Græca t. XI, pag. 575.

Ἀπελλῆς βοτανικῆς. Δημοσθένης ῥητορικῆς. Παππιανὸς (sic) νομι-

θεσίας. Ἄντυλος (forsan Ἄντυλλος vel Ἀντύλος) λοχοποιΐας (non λογοποιΐας quæ est Fabricii lectio). Εὐρύνοος τοξοσύνης. Εὐρύδαμνος (sic) Μεσήνιος θώρακος πολεμικοῦ. Εὔανδρος κνημίδος καὶ ἀσπίδος. Ὀππιανὸς ἁλιευτικῆς. Τριπτόλεμος σπορᾶς σίτου. Πάμφιλος ζωγραφικῆς. Τίφυς ναυτικῆς. Ἄργος ναυπηγίας, ἐξ οὗ καὶ Ἀργοναῦται. Ἀρχιμήδης μηχανικῆς.

Sit pro coronide inscriptio quæ, si bene memini, Athenis fuit a Fauvellio lecta; unde vero illam ego possideam jam dicere non habeo: ΤΟΝ ΘΕϹΜΩΝ ΤΑΜΙΗΝ ΕΡΚΟΥΛΙΟΝ ΑΓΝΟΝ ΥΠΑΡΧΟΝ ΠΛΟΥΤΑΡΧΟϹ ΜΥΘΩΝ ΤΑΜΙΗϹ ΕϹΤΗϹΕ... Desunt in fine tres syllabæ quibus posterior hexameter rite claudebatur. Præfectus quidam Cretensium ἁγνὸς pariliter nuncupatur in inscriptione quam inter Analectorum Incerta (612[b]) sibi quærat ὁ βουλόμενος.

ARGUMENTUM

LIBRI XV

EX CANTERI NOVIS LECTIONIBUS.

Romulum secutus est *Numa*, qui, quum de originibus Crotonis quæreret, *nigros calculos* quondam in *albos* fuisse commutatos comperit, et *Pythagoram* de *perpetuis* rerum *transformationibus* disputantem audivit. Mortuum deinde Numam deflet *Egeria*, nec *Hippolyti*, qui suas ipsi *conversiones* narrabat, consolationem admittens, in *fontem* liquescit. Id quod non minus fuit mirandum, quam quod *Tages* e *gleba* ortus, Romuli *lancea arbor*, et *cippus* cornutus factus. Tum transit poeta ad præsentia, narratque quomodo *Æsculapius* coli a Romanis in insula Tiberis cœptus sit, *Julius*que *Cæsar* in *stellam* commutatus.

ΟΒΙΔΙΟΥ

ΜΕΤΑΜΟΡΦΩΣΕΙΣ.

ΒΙΒΛΙΟΝ ΠΕΝΤΕΚΑΙΔΕΚΑΤΟΝ.

Ζητεῖται μετὰ τοῦτο τίς ἂν τὸ τοσοῦτο τῆς ἀρχῆς ἀναδέξαιτο βάρος, καὶ τὸν τοσοῦτον ἰκανὸς εἴη διαδέξασθαι βασιλέα. Ἡ μέντοι τοῦ ἀληθοῦς ἄγγελος Φήμη τὸν περιφανῆ Νουμᾶν ἐπὶ τὴν βασιλείαν αἱρεῖται. Ἀλλ' οὐκ ἀποχρώντως ἐκεῖνος τὰ πάτρια τοῦ Σαβίνων γένους ἔχει γινώσκειν· μείζονα δέ τινα τῇ διανοίᾳ χωρητικῇ τυγχανούσῃ περινοεῖ, καὶ τί ποθ' ἂν εἴη τῶν πραγμάτων ἡ φύσις ἐπιζητεῖ. Ταύτης οὖν τῆς φροντίδος ὁ ἔρως πεποίηκε τοῦτον, καταλιπόντα παλαίδα τε καὶ πολίτας, ἐλθεῖν εἰς τὴν Κρότωνος πόλιν, τοῦ τὸν Ἡρακλῆν (1) πάλαι ξενίσαντος. Καὶ γὰρ τούτῳ δὴ τῷ Νουμᾷ, ζηλοῦντι τίς Γραικῶν ἐν τοῖς Ἰταλικοῖς ἀείοις ἀνήγειρε τεῖχος, εἷς τις τῶν ἰθαγενῶν γεραιτέρων, πράξεων τῶν ἀρχαίων οὐκ ἀμαθής, οὕτως ἀπήγγειλεν· « Ὁ τοῦ » Διὸς παῖς Ἡρακλῆς λέγεται, πλούσιος τοῖς Ἰβε» ρικοῖς βουσὶν (2) ἐπανιὼν ἐξ ὠκεανοῦ, σὺν εὐτυχεῖ » πορείᾳ τὴν ἠϊόνα τοῦ Λακινίου καταλαβεῖν, καὶ, » τῆς ἀγέλης ἐπὶ πόας μαλακῆς νεμομένης, αὐτὸς

(1) Hanc accusativi formam firmant exempla a Schæfero viro cel. adlata ad Scholiastam Argonaut. Apollonii Rhodii p. 103.

(2) Glossa in margine : τοῦ Γηρυόνου.

» τὴν τοῦ μεγάλου Κρήτωνος οἰκίαν καὶ τὴν οὐκ
» ἄξενον εἰσελθεῖν βασιλείαν, καὶ ἀναπαυσάμενος τὸν
» μακρὸν πόνον κουφίσαι· καὶ οὕτως, ἀπαίρων, Καλὰ
» τὴν τῶν ἐμῶν ἐγγόνων ἡλικίαν, εἰπεῖν, πόλις οὗτος
» ὁ τόπος ἔσται. Καὶ ἀληθεῖς (1) αἱ ἐπαγγελίαι γεγέ-
» νασι. Καὶ γὰρ ἐγεννήθη τις Ἀλήμονι τῷ Ἀργολικῷ
» Μίκαλος (2), θεοῖς κεχαρισμένος κατ' ἐκεῖνο τοῦ
» χρόνου. Τούτῳ δ' ὁ τὸ ῥόπαλον πάλαι (3) φέρων
» Ἡρακλῆς, ὑπὸ τῆς τοῦ ὕπνου πολὺ νικωμένῳ βα-
» ρύτητος, ἐπιπεσών, Ἴθι, ζήτει, φησὶ, τὰς ὑποπέ-
» τερους Αἴσακος δίνας· ἄγε, τὴν πατρῴαν οἰκίαν ἀπό-
» λιπε. Καὶ, εἰ μὴ ὑπείξεις (4), πολλὰ καὶ φοβερὰ
» ἀναλείνεται. Μετὰ δὲ τοῦτο ἀναχωροῦσιν ὅ, τε
» ὕπνος καὶ ὁ θεός. Ἐξεγείρεται δ' ὁ Ἀλημονίδης,
» καὶ ἐν τῷ τῶν λογισμῶν ἀφανεῖ τὸν ποσσφάλιον
» ὄνειρον ἀνελίττει, καὶ ἡ κρίσις τούτων ἐπὶ πολὺ
» καθ' ἑαυτῆς μάχεται. Ὁ μὲν γὰρ θεὸς, ἔλεγεν,
» ἀπιέναι κελεύει· ἀποχωρεῖν δ' οἱ νόμοι κωλύουσι,
» καὶ ἡ ποινὴ θάνατος κεῖται τῷ τὴν ἐνεγκαμένην
» ἀμείβειν θέλοντι. Ὁ μὲν οὖν λαμπρότατος Ἥλιος
» τὴν ἑαυτοῦ καθαρὰν κεφαλὴν τῷ ὠκεανῷ παρέ-
» θηκε· ἡ δὲ ξυνηρεφὴς Νὺξ τὴν καλάσιριν ἐξῆρε

(1) Cod. ἀληθῶς. « Promissa » que *vera* fuerunt. »

(2) Verum nomen est Μύσκελος.

(3) Nescio quid hoc adverbium sibi nunc velit; malam esse puto syllabarum finalium vocis ῥόπαλον iterationem, ideoque delendum.

(4) Cod. ὑπήξεις. Sic codex ad 289, συνεχεῖ pro συνεχῆ : ad 420, ἤδη pro εἴδη : ad 846, ἐγκαπήσῃ κτλ. Hac variatione utamur ut Scholiastam Iliadis Venetum ad librum Θ, 221, emendemus: θεὸς τὸ γελωτέμεν, ὅπ οὐ ψιλῶς ἐσὶ φωνὴν, ἀλλ' ἀκουσὸν φθέγγεσθαι. Reponendum, puto, φωνεῖν, etsi vir doctissimus nuper bis proposuerit φωνᾷν.

» κεφαλήν. Ἔδοξε δὲ πάλιν ὁ αὐτὸς παρεῖναι θεὸς
» καὶ τὰ αὐτὰ συμβουλεύειν, καὶ, εἰ μὴ ὑπείξειε,
» πλείω καὶ βαρύτερα συμβουλεύει (1). Ὁ δ' ὑπερε-
» τρόμαξε, καὶ τὴν πατρῴαν ἑστίαν αὐτίκα μάλα
» πρὸς νεώτερον μεταφέρειν ἡτοιμάζετο χῶρον. Γίνε-
» ται δὴ θόρυβος ἐν τῇ πόλει, καὶ, ὡς τῶν νόμων
» καταφρονουμένων, ἄγεται ὁ Μίκαλος ὑπ' εὐθύνην.
» Ὡς δ' ἡ προτέρα δίκη διήνυστο καὶ τὸ ἁμάρτημα
» φανερὸν ἦν κυρωθὲν καὶ δίχα μαρτύρων, στυγνὸς, ὡς
» ἤδη κατακριθεὶς, πρὸς τοὺς θεοὺς ὀφθαλμοὺς
» ἀνατείνας καὶ χεῖρας, Ὦ, ᾧτινι τὸν οὐρανὸν ἐπο-
» ρίσαντο τὰ δὶς ἓξ ἆθλα, ὄρεξον βοήθειαν, ἱκετεύω·
» σὺ γάρ μοι τοῦ πλημμελήματος αἴτιος. Ἦν δ'
» ἔθος τοῖς παλαιοῖς λευκαῖς τε καὶ μελαίναις ψη-
» φίσι, ταύταις μὲν καταδικάζειν τοὺς κατηγορου-
» μένους, ἐκείναις δὲ τῆς αἰτίας αὐτοὺς ἀπολύειν.
» Καὶ τότε τοίνυν σχέτλιος ἐξηνέχθη γνώμη, καὶ
» πᾶσα ψῆφος εἰς τὴν δεινὴν ὑδρίαν ἐμβάλλεται μέ-
» λαινα· ἥτις ἅμα τε, καταστραφεῖσα, τὰς ψή-
» φους, ὡς ἂν ἀριθμηθεῖεν, ἐξέχεε, καὶ πάσαις ἐκ
» τοῦ μέλανος εἰς λευκὸν μετεμείφθη τὸ χρῶμα, καὶ
» ἡ ψῆφος, τῇ τοῦ Ἡρακλέους θειότητι λευκαν-
» θεῖσα, τὸν Ἀλημονίδην ἀπέλυσεν. Ὁ δ' ὁμολογεῖ
» χάριτας ἐπακούσαντι τῷ Ἀμφιτρυωνίδῃ, καὶ ἐπι-
» φόροις ἀνέμοις τὸ Ἰόνιον διαπλεῖ πέλαγος. Καὶ
» δὴ παραμείβει τὸν Λακεδαιμόνιον Τάραντα, καὶ

(1) Ovidius : « Visus adesse » idem deus est, eademque mo- » nere, Et, nisi paruerit, plura » et graviora *minari.* » Planudes legit bis *monere*, et bis συμβουλεύειν scripsit : nam reformandum saltem τὸ συμβουλεύει videtur in συμβουλεύειν. Sed ad meliorem lectionem rescribendum, πλείω καὶ βαρύτ. ἀνατείνεσθαι.

» Σύβαριν, καὶ τὸν Σαλεντῖνον Νέρηθον, καὶ τὸν
» Θούριον κόλπον, Τεμέσην τε καὶ τὰ Ἰάπυγος πε-
» δία πρὸς τούτοις. Καὶ μόλις, πλανηθεὶς ἀνὰ πᾶ-
» σαν τὴν ἐκεῖ γῆν, ὅση τὴν θάλατταν βλέπει, εὖ-
» ρίσκει τὸ τοῦ πεπρωμένου Αἴσαρος πολαμοῦ σλό-
» μα, καὶ ἐκεῖθεν οὐ πόρρω χῶμα, ὑφ' οὗ καθιερω-
» μένα τὰ τοῦ Κρότωνος ὀστᾶ ἡ γῆ συνεκάλυπλε.
» Καὶ καλὰ τὴν γῆν, ἣν Ἡρακλῆς ἐνείλαλο, πόλιν
» ἀπήγειρε, καὶ τὴν τοῦ τεθαμμένου προσηγορίαν
» εἴλκυσεν εἰς τὴν πόλιν. Τοιαῦτα συνέπεσε τὰ τῆς
» χώρας προοίμια καλ' ἁπλανῆ φήμην γενέσθαι,
» καὶ τῆς ἐν τοῖς Ἰταλῶν ὁρίοις κλισθείσης πόλεως.»
Ἀνὴρ δέ τις ἐνταῦθα γέγονε, τοὔνομα Πυθαγό-
ρας, τὸ γένος Σάμιος· ἀλλ' ἔφυγεν ὁμοῦ καὶ Σά-
μον καὶ δεσπότας, καὶ, μίσει τῆς τυραννίδος, ἐξόρι-
στος ἑκὼν γένεται. Οὗτος τῇ διανοίᾳ τῶν θεῶν ἐφι-
κνεῖτο, καίτοι τῷ ὀφρανίῳ χώρῳ ἀπωκισμένος, καὶ,
ἅπερ ἡ φύσις τοῖς ἀνθρωπίνοις ὀφθαλμοῖς ἀπηγόρευε,
ταῦτα τοῖς τοῦ νοὸς ἔμαθεν ὀφθαλμοῖς. Καὶ δὴ,
διανοίᾳ καὶ ἀγρύπνῳ ἐπιμελείᾳ ἅπαντα καλανοήσας,
εἰς μέσον καὶ τοῖς ἄλλοις μανθάνειν ἐδίδου, καὶ ὁμή-
γυριν φοιτητῶν σιωπώντων καὶ τὰ λεγόμενα θαυ-
μαζόντων ἀθρόισας, τήν τε καλαρχὴν τοῦ μεγάλου
κόσμου, καὶ τὰς τῶν ὄντων αἰτίας, καὶ τίς πολὲ ἐσλὶ
φύσις ἐδίδασκε, τίς ὁ θεὸς, πόθεν χιὼν, τίς ἡ κε-
ραυνοῦ γέννησις, πότερον ὁ Ζεὺς ἢ τὸ πνεῦμα, τοῦ
νέφους διαῤῥηγνυμένου, βροντᾷ, τί τὸ τὴν γῆν σεῖον,
τίνι νόμῳ διΐασιν ἀσλέρες, καὶ πᾶν ὅ, τιπερ ἄλλο
λανθάνει. Καὶ πρῶτος φαῦλον ἐλέγχει τὸ ζώων ἐπὶ
τραπέζῃ σάρκας παραλιθέναι. Καὶ πρῶτος τοιοῖσδε

ῥήμασι τὴν γλῶτταν ἔλυσε, πεπαιδευμένην (1) μὲν, οὐ μὴν καὶ πιστήν.

« Φείδεσθε, ὦ ἄνθρωποι, βρώμασιν ἀθέσμοις τὰ » ὑμῶν αὐτῶν σώματα διαφθείρειν. Πάρεστι σπέρ- » ματα· πάρεισιν ὀπῶσι τῷ ἑαυτῶν βάρει καθαι- » ροῦσαι τοὺς κλῶνας, καὶ σφιγγῶντες ἐν τοῖς » κλήμασι βότρυες· πάρεισιν εὔχυμοι βολάναι· » πάρεστιν ἃ δύναται διὰ πυρὸς ἀπαλύνεσθαι (2). » Οὐδ' ἀφαιρεῖταί τις ὑμῶν τὴν χρῆσιν τοῦ γά- » λακτος, οὐδὲ τὸ θύμων ἄνθους ὄζον ἡδέως μέλι. » Ἀφειδῶς ἡ γῆ πλοῦτόν τε καὶ ἡμέρους τροφὰς » χορηγεῖ, καὶ ἀναιμάκτους παρέχεται καὶ χωρὶς » σφαγῆς ἐδωδάς. Κρέασι δὲ τὰ θηρία θεραπεύει » τὴν πεῖναν· οὐ μέντοι πάντα· καὶ γὰρ ἵπποι μὲν » καὶ ποίμνια καὶ ἀγέλαι χόρτῳ διαγίνονται· οἷς » δὲ φύσις ἀγρία τε καὶ ἀνήμερος, ὡς Ἀρμένιαι » τίγρεις καὶ ὀργίλοι λέοντες, καὶ σὺν λύκοις ἄρκτοι, » τροφαῖς σὺν αἵμασι χαίρουσιν. Ὦ πόση τόλμα τις » ἐστὶν ἐγκατα εἰς ἐγκατα κρύπτεσθαι, καὶ ἁπλη- » στον παίνεσθαι σῶμα σώματι πεπλομένῳ, καὶ ἄλλου » θανάτῳ ἐμψύχου τὸ ἔμψυχον διαζῆν! Περίδηλον » ὡς ἐπὶ τῆς τοσαύτης ἀφθονίας, ἣν ἡ κακλίστη » μητέρων τίκτει, οὐδενὶ χαίρεις, ὅτι μὴ δύστηνα » τραύματα τοῖς δεινοῖς ὀδοῦσιν ἐσθίειν, καὶ τὸ τῶν

(1) Cod. πεπαιδυμένην. Eadem vocalium αι et ε variatione infra ad 236, cod. ἐξαναλίσκεται pro ἐξαναλίσκεται: ad 275, καλαπόδε. Titulus Syntipæ codicis ap. Matthæium Præf. pag. x, sic est conceptus: οἱ ἀρχὴ τῆς βίβλου ἔτι οὕτως. Editor sic correxit, ἡ ἀρχὴ τ. Σ. ἔχει οὕτως: bene quidem; sed et voluit forsan librarius scribere εἶναι, quo recentiores loco τοῦ ἐστὶ utuntur.

(2) Sed sensus latinis est, πάρεισιν αἱ δύνανται διὰ πυρὸς ἁπαλ.

» Κυκλώπων ἔθος ἀνακαινίζειν, κἂν, εἰ μὴ ἕτερον
» ἀπολέσαις, οὐκ ἂν δύναιο τῆς παμφάγου καὶ
» κακῶς ἀχθείσης κοιλίας τὴν ἔνδειαν θεραπεῦσαι.
» Ἀλλ' ἡ ἀρχαία σέβεσθεν ἡλικία ἐκείνη, ἣ τὸ
» χρυσοῦν πεποιήκαμεν ὄνομα, τῇ τε τῶν δένδρων εὐ-
» θηνίᾳ, καὶ λαχάνοις ἅπερ ἡ γῆ τρέφει, εὐδαίμων
» ἦν, οὐδ' ἐμόλυνε λύθρῳ τὸ σῶμα. Τότε καὶ τὰ
» πτηνὰ θαρροῦντα διεκίνει τὰς πτέρυγας ἐν ἀέρι,
» καὶ λαγὼς ἄτρεστος ἐν μέσοις τοῖς πεδίοις περι-
» ενόστει, καὶ τὸν ἰχθῦν ἥκιστα τὸ οἰκεῖον ἕτοιμό-
» πιστον ἀπ' ἀγκίστρου ἑκρέμα. Πάντα δ' ἀνεπι-
» βούλευτα καὶ δόλον δεδοικότα μηδένα, καὶ εἰρήνης
» ἦν πλήρη. Ἐπεὶ δὲ νομοθέτης, οὗτος λυσιτέλης,
» ὅστις ποτὲ θεῶν (1) ἦν ἐκεῖνος, ἐφθόνησε ταῖς τρο-
» φαῖς, καὶ σάρκινα βρώματα πρὸς τὴν λάβραν
» γαστέρα καπήνευσεν, ὁδὸν ἐποίησε τῷ τολμήματι.
» Καὶ πρῶτα μὲν ἐκ φόνου θηρίων αἵματι χερ-
» θεὶς ὁ σίδηρος ἔσχηκε θερμανθῆναι· καὶ τοῦτο δ'
» ἀποχρῶν ἦν. Καὶ τὰ ζηλοῦντα τὸν ἡμέτερον θάνατον
» σώματα θανάτῳ παραδίδοσθαι, σωζομένης μέντοι
» τῆς εὐσεβείας, ὁμολογοῦμεν· ἀλλ' ὅσον ἦν τῷ θα-
» νάτῳ παραδοθέα, τοσούτῳ ἔδει καὶ ἄβρωτα μένειν.
» Ἐντεῦθεν τὸ ἄθεσμον πορρωτέρω ἐβάδισε. Καὶ
» πρῶτον κάπρος θῦμα θανάτου ἔδοξεν ὀφείλειν,

(1) « Victibus invidit (quis-» quis fuit ille) deorum. » Sic legendum puto, et victibus deorum invidere dicitur qui primus animalia mensis imposuit, quod, quum deis boves et alia viva corpora immolarentur, et ipsis quasi vescenda apponerentur, voluerit et ille homo, male moratus venter, corporeas, exemplo cœlitum, dapes mandere. Rep. ὅστις ποτὲ ἦν ἐκεῖνος, ἐφθόνησε ταῖς τῶν θεῶν τροφαῖς. Ceterum non minimæ sunt hic loci turbæ.

» ὅτιπερ ἀναπεπλαμένη (1) τῇ πτερομῇ ἀνασπρέφει,
» καὶ τὴν ἐλπίδα διαλέμνει τοῦ θέρους· ὁ δ' ἀγρεὺς
» αἴξ, τὴν ἄμπελον φαγὼν, πρὸς τὸν βωμὸν
» ἀγεται τυθησόμενος τοῦ τιμωροῦ Διονύσου. Καὶ
» ἀμφοτέρους τὸ οἰκεῖον πλημμέλημα ἔβλαψε. Τί
» δ' ὑμεῖς ὠφλήσατε, πρόβατα, κλῆνος ἥμερον καὶ
» πρὸς τὴν ἀσφάλειαν γεννηθὲν τῶν ἀνθρώπων; ἃ
» νέκταρος τὸ οὖθαρ ἔμπλεων φέρετε, ἃ μαλακώ-
» ταλον ἡμῖν ἔριον τὴν ὑμῶν αὐτῶν σκέπην παρέ-
» χεσθε, καὶ ζῶντα μᾶλλον ἢ θανόντα ὄφελος γί-
» νεσθε. Τί δ' ὠφλησαν οἱ βόες; ζῶον ἐκλὸς ἀπάτης,
» καὶ δόλου παντὸς ἀπολελυμένον, ἁπλοῦν, γεννη-
» θὲν εἰς τὸ πόνους φέρειν. Ἀγνώμων ἐστὶ τὸ λοιπὸν (2)
» καὶ τοῦ δώρου τῶν σπερμάτων ἀνάξιος, ὃς ὑπέ-
» μεινεν, ἀρτι τῆς βαρύτητος ἀρθείσης τοῦ καμπύ-
» λου ἀρότρου, τὸν συγγεωργὸν αὐτῷ βοῦν καλα-
» θοῦσαν, ὃς τὸν καλαλελειμμένον τοῖς πόνοις ἐκεῖνον
» τένοντα, δι' οὗ τοσάκις τὸ ξηρὸν ἐνέωσε γήδιον
» καὶ τόσους ἀμήτους ἤνυσεν, ἔπαισε τῷ πελέκει.
» Ἀλλ' οὐδ' ἀπέχρησε τὸ τοσοῦτον τολμᾶσθαι
» ἀθέμιτον· αὐτοῖς ἐπέγραψαν τοῖς θεοῖς τὸ ἀνό-
» σιον, καὶ πιστεύονται νῦν οἱ οὐράνιοι θεοὶ φερεπό-
» νου χαίρειν αἱμαλῆ ταύρου. Καὶ δὴ θῦμα νόσου
» πάσης ἀπηλλαγμένον καὶ τῷ κάλλει πρέχον
» (καὶ γὰρ ἔβλαψε καὶ τὸ καλὸν γεγονέναι), τοι-
» νίαις ἐπίσημον καὶ χρυσῷ, παρίσταταί τε πρὸ
» τοῦ βωμοῦ, καὶ μὴ συνιὲν τοῦ ἱερέως εὐχομένου
» ἀκούει, καὶ ὀρῷ μεταξὺ τῶν κεράτων, ἐν τῷ

(1) Repone, *πρτῇ* : *pando rostro.*

(2) Habuit Planudes bonam lectionem *demum.*

» μελώπῳ ἑαυτοῦ, ὃν καρπὸν ἐγεώργησεν ἐπικείμενον,
» καὶ σπηγὴν καλαχρώννυσι τὰς μαχαίρας ἐν ὕδατι
» τάχα διαφανεῖ σεσοφθείσας. Αὐτίκα δ' ἔτι
» ζῶντος τοῦ σίέρνου τοὺς λοβοὺς ἁφαρπάσαντες
» ἐπισκοποῦνται, καὶ τὸν τῶν θεῶν νοῦν ἐν ἐκείνοις
» δὴ πολυπραγμονοῦσι. Πόθεν τοῖς ἀνθρώποις ἡ το-
» σαύτη τῶν ἀπειρημένων βρωμάτων ὄρεξις; Τολ-
» μᾶτε κρεοφαγεῖν, ὦ θνητὸν γένος! ὅπερ, ἀντι-
» βολῶ, μὴ ποιεῖτε· ἀλλὰ σεὸς τὰς ἐμὰς ὑποθήκας
» ἐπισίρέψαίε τὴν διάνοιαν. Καὶ, ἵνίκα ἂν βοῶν
» φονευθέντων σάρκας δίδῶτε τῷ σίόμαίι, ἴσίε καὶ
» αἰσθάνεσθε ὑμᾶς αὐτοὺς τοὺς ὑμῶν αὐτῶν γεωρ-
» γοὺς θοινουμένους.

» Κἀπειδήπερ ὁ θεὸς τὸ ἡμέτερον σίόμα κινεῖ,
» ἕψομαι καὶὰ τὰ εἰθισμένα τῷ τὸ σίόμα κινοῦντι
» θεῷ καὶ Δελφοῖς τοῖς ἐμοῖς (1), καὶ αὐτὸν ἀναπίύξω
» τὸν αἰθέρα, καὶ θείας διανοίας χρησμοὺς διανοίξω.
» Ἄσομαι δὲ μεγάλα καὶ τοῖς τῶν σεσίέρων λογι-
» σμοῖς οὐδαμῶς ἐξερευνηθέντα, καὶ ἅπερ ἐπὶ μα-
» κρὸν ἔλαθον. Ἤθελον σεὸς τὸ τῶν ἀσίέρων ὕψος
» ἀνελθεῖν· ἤθελον, τὴν γῆν καὶ τὸν νωθρὸν χῶρον
» τόνδε καλαλιπὼν, ὑπὸ νέφους ἀχθῆναι, καὶ ἐπὶ
» τῶν ὤμων σίῆναι τοῦ καρίερικοῦ Ἄτλαντος, καὶ
» σλανωμένους ὅποι σοί' ἔτυχε τοὺς ἀνθρώπους
» καὶ ἀμοιρσῦντας λόγου πόρρωθεν ἀποβλέπειν, καὶ
» τρέμοντάς τε καὶ δεδοικότας τὸν θάναίον οὕτωσὶ
» νουθείεῖν (2)·

(1) Male distinxit Iatina Plan. Rescribe.... θεῷ, καὶ Δελφοὺς τοὺς ἐμοὺς αὐτόν τε ἀναπλύξω—

(2) Ovidius addit, *seriemque evolvere fati;* καὶ τὸν τῶν Μοιρῶν εἱρμὸν ἐξελίσσειν.

» Ὦ γένος ἐμβρόντητον τῷ τοῦ ψυχροῦ δέει
» θανάτου, τί Στύγα, τί σκότος καὶ ὀνόματα
» φοβεῖσθε κενὰ, καὶ τὴν τῶν ποιητῶν ὕλην, καὶ
» τοὺς τοῦ πεπλασμένου κόσμου κινδύνους; Τὰ
» σώματα γὰρ ἤν τε πυρᾶς φλόγωσις, ἤν τε πα-
» λαιωθεῖσα σῆψις ἀφέληται, μηδὲν κακὸν δύνα-
» σθαι παθεῖν οἴεσθε. Αἱ ψυχαὶ δ' ἀπηλλαγμέναι
» τυγχάνουσι θανάτου (1), καὶ πολλάκις, ἐκλι-
» ποῦσαι τὰς προτέρας οἰκίας, ἐν καινοῖς ἄλλοις
» βιοῦσιν οἰκήμασι, καὶ εἰσδεχθεῖσαι οἰκοῦσιν. Ἐγὼ
» γὰρ αὐτὸς (καὶ γὰρ μέμνημαι), τὸν τοῦ Τρωϊκοῦ
» πολέμου χρόνον, ὁ Πανθοίδης Εὔφορβος ἦν (2),

(1) Addidi θανάτου, et ad 251, ὕδατος: ad 331, εἰ quod absorbuit vicina vocula ἤ: τε ad 425; ad 750, αὐτοῦ γόνος. Obiter lacunas nonnullas impleamus, sed jam e libris, non e conjectura, in aliis scriptoribus. Theophylactus Sim. Ep. 37: αἱ γὰρ ἐλπίδες μετὰ τοῦ ὕπνου συνανίπτανται: codex Reg. 2991 A, μετὰ τοὺς ὕπνους (melior edita lectio) εὐθὺς συναν. Idem Ep. 13, ὑπάρχων γὰρ παῖς ἀνδρὸς σοφιστοῦ, τὰ πατρῷα ἐκλελάκτικας: cod. idem addit ἔθη, quod fere glossam sapere videtur. Rursus Ep. 34, ὁ μῦθος, ὦ Χρύσιππε, τὴν ἀλήθειαν καθάπερ ὕπαρ φθέγγεται: cod. bene, ὁ μ. οὗτος, ὦ Χρ. Crates Epist. 1, ἐγγὺς γὰρ ἤδη τῆς βίου τελεύτης: codd. Vatic. 1353 et Mazar. A 87, bene, τῆς τοῦ β. Sic caret articulo Theophyl. Sim. Ep. 61, τὸν Πηνελόπης ἐδόξαμεν ὑφαίνειν ἱστόν: cod. τὸν τῆς Π. Pari morbo laborat Libanius t. IV, pag. 198: παραχωρῶ σοι τῆς μισανθρώπου προσηγορίας: cod. Reg. 3017, τῆς τοῦ μισ. Heraclitus Ep. 4: Εὐθυκλῆς ὁ Νικοφῶντος τοῦ συλήσαντος τὴν θεόν: cod. Mazar. A 87, τοῦ συλ. προπέρυσι τὴν θ. Myia Phyllidi: ἄριστον ἐὰν καὶ τοῦ γάλακτος πιμπλάμενον τὸ νεογνὸν οὕτως εἰς ὕπνον τρέπηται: cod. Mazar. γαλ. χρηστῶς πιμπλ. ἐς ὕπνον τρέπεσθαι: et sic forsan, ἐᾷν pro ἐάν. Theano Nicostratæ: βουλόμενόν σε λεληθέναι ἐλέγχουσα: cod. Maz. λελ. δοκεῖν. Aldina editio voces χρηστῶς et δοκεῖν recte jam exhibebat, quas omisit Lipsiensis nupera.

(2) Æneas Gaz. in Theophr. pag. 22: λέγεται Πυθαγόρας ἀναμνησθῆναι ὡς εἴη ποτ' Εὔφορβος ὁ ἐν Τροίᾳ: ubi cf. Barth. Diogenes qui fertur Epist. 19: Πυθαγόρας ἑαυτὸν ἔλεγεν Εὔφορβον γεγενῆσθαι τὸν Πάνθου: de quo loco cf. Notitt. MSS. t. X, part. II, pag. 170.

[redacted]

» οὗπερ ἐν ἀντιμετώπῳ ποτὲ τῷ στέρνῳ τὸ τοῦ
» ἐλάττονος Ἀτρείδου βαρὺ δόρυ προσέσχετο. Ἔγνων
» γὰρ νεωστὶ τὴν ἀσπίδα, τὸ τῆς ἐμαυτοῦ λαιᾶς
» φόρημα, ἐν τοῖς Ἀβαντείοις ἀγροῖς (1) ἐπὶ τοῦ
» τῆς Ἥρας ἱεροῦ. Πάντα μὲν γὰρ μεταβάλλεται,
» ἀπόλλυται δὲ οὐδέν. Πλανᾶται δ' ἐκεῖθεν ἡ ἡμε-
» τέρα ψυχὴ, καὶ δεῦρο κἀκεῖσε πορεύεται, καὶ ὅπερ
» ἂν τύχῃ σῶμα καταλαμβάνει, καὶ ἐκ θηρείων
» εἰς ἀνθρώπεια μεταβαίνει, καὶ εἰς θηρία δὲ αὖθις,
» καὶ οὐκ ἀπόλλυται κατὰ χρόνον οὐδένα. Ὡς δὲ
» κηρὸς εὐπειθὴς καινοῖς ἐνσημαίνεται χαρακτῆρσιν
» ἀεὶ, καὶ οὐ μένει μὲν ὥσπερ δῆτα καὶ ἦν, οὐδὲ
» τοὺς αὐτοὺς τύπους φυλάττει, ὅμως δ' ὁ αὐτὸς
» οὗτός ἐστιν· οὕτω διὰ παντὸς τὴν αὐτὴν μὲν
» εἶναι ψυχὴν ἀναδιδάσκω, εἰς διάφορα δὲ μετα-
» φοιτᾷν σώματα. Τοιγαροῦν, μὴ νικάσθω ἡ φι-
» λανθρωπία πρὸς τῆς τῆς (2) κοιλίας ἐπιθυμίας, φεί-
» δεσθε (χρησμοὺς λέγω καὶ γάρ) τοὺς συγγενεῖς
» ἐκσοβεῖν ψυχὰς ἀθεμίτῳ θανάτῳ, μηδὲ αἵματι
» τὸ αἷμα τρεφέσθω.

» Ἀλλ' ἐπείπερ ἐπὶ μεγάλου πελάγους φέρομαι,
» καὶ ὅλα τὰ ἱστία τοῖς πνεύμασι δέδωκα, φημὶ
» μηδὲν εἶναι συμμένον ἐν ὅλῳ τῷ κόσμῳ, πάντα
» δὲ ῥεῖν· καὶ πᾶσα δὲ μορφὴ πρὸς ἑτέραν πλα-
» νωμένη μεταμορφοῦται. Καὶ αὐτὸς δ' ὁ χρόνος
» συνεχεῖ κυλίεται τῇ κινήσει οὔκουν ἕτερον τρόπον
» ἢ ποταμός. Οὔτε γὰρ ποταμὸς στῆναι, οὔθ' ὁ
» κοῦφος δύναται χρόνος. Ἀλλ', ὡς ὕδωρ ὕδατι προ-

(1) Legit *agris*, non *Argis*. Repone ἐν τῷ Ἀβαντείῳ Ἄργει.

(2) De duplici articulo conf. not. pag. 73. — Codex, πρό.

» ωθεῖται, καὶ τὸ αὐτὸ ἐπισπέρχειν μὲν πρὸς
» τοῦ ἑπομένου, ἐπισπέρχει δέ γε τὸ πρόσθιον, τοῦτον
» τὸν τρόπον καὶ τοῦ χρόνου τὸ μὲν ἐπίσης φεύ-
» γει, τὸ δ' ἐπίσης διώκει, καὶ καινὸς οὗτός ἐστιν
» ἀεί. Καὶ γὰρ ὃς μὲν πρότερος γέγονε, καλαλέ-
» λειπται, καὶ ὅσπερ οὐκ ἦν γένεται, καὶ πᾶσα ῥοπὴ
» καινή τίς ἐστιν. Ὁρᾷς δὲ καὶ τὰς νύκτας παρα-
» μειβούσας καὶ σπευδούσας εἰς φῶς, καὶ τὴν λαμ-
» πηδόνα τὴν καθαρὰν ταύτην ὑπεξισταμένην τῇ
» μελαίνῃ νυκτί. Οὐδὲ γὰρ οὐδὲ τὸ αὐτό ἐστιν ἐν
» οὐρανῷ χρῶμα, ἡνίκα τε κεκμηκότα τὰ πάντα
» ἐν ἠρεμίᾳ κεῖται πολλῇ, καὶ ἡνίκα ἐφ' ἵππου
» λευκοῦ ὁ φαιδρὸς ἐξεισιν Ἑωσφόρος, καὶ αὖ πάλιν
» ἡνίκα ἡ τοῦ φωλὸς πρόδρομος Παλλαντὶας Ἠώς,
» παραδιδοῦσα τὸν οὐρανὸν τῷ Ἡλίῳ, διαχρώννυσιν
» αὐτόν. Καὶ αὐτὸς δ' ὁ τοῦ Φοίβου θυρεὸς ἐρυ-
» θραίνεται μὲν καὶ καλὰ τὸ ἑωθινόν, ἐρυθραίνεται
» δὲ καὶ ὑπὸ τὴν γῆν καλαδύνων, τῆς δὲ γῆς ἐξαι-
» ρόμενος, ὅσον μέλεως πρότερον, λευκὸς φαίνεται·
» κρείττων γὰρ πέφυκε φύσις ὅπερ ἔχει τοῦ αἰθέ-
» ρος ἐστὶ, καὶ πόρρω τὴν γειτνίασιν τῆς γῆς ἀπο-
» φεύγει. Ἀλλ, οὐδ' ἡ τῆς νυκτερινῆς σελήνης ὄψις,
» ἤτοι ἴση, ἢ ἡ αὐτή πολε, δύναται εἶναι· ἀεὶ δὲ
» δήπολε τῆς ἐπιούσης ἡ σήμερον μείων μέν ἐστιν,
» αὐξανομένης, μείζων δὲ, συστελλούσης τὸν κύκλον.
» Τί δ' οὐχ ὁρᾷς τὸν ἐνιαυτὸν εἰς τέτταρας ἀπο-
» χρῶντα (1) μορφὰς, καὶ μίμημα διανύοντα τῆς

(1) Editio Gierig. *succedere, secedere,* quod in aliis editionibus receptum fuit, Editorque nec vertit. Puto legisse illum quod utique Planudes nec legit noster vir cl. in uno e suis codd.

» ἡμῶν ἡλικίας; Καὶ γὰρ ἁπαλὸς μὲν, καὶ οἱονεὶ
» θηλάζων, καὶ ἡλικίᾳ παιδὸς ἐμφερέστατος, κατὰ
» τὸ νέον ἔαρ ἐστί. Τότε γὰρ καὶ ἀρτιγενὴς ἡ πόα,
» καὶ ξυλώδους οὑτινοσοῦν ἀμοιροῦσα, σφριγᾷ καὶ
» ἀπαγίωτός ἐστι, καὶ ταῖς ἐλπίσι εὐφραίνει τοὺς
» γεωργούς· καὶ ἀνθεῖ δὲ πάντα τότε, καὶ τῇ πο-
» λυχροίᾳ τῶν ἀνθέων οἱ λειμῶνες διαγελῶσι, καὶ
» οὔπω τις ἐν τοῖς φύλλοις ἐμπέφυκε δύναμις.
» Μέτεισιν εἰς θέρος μετὰ τὸ ἔαρ στεγανούμενος ὁ
» ἐνιαυτὸς, καὶ ῥωμαλέος γίνεται μείραξ. Οὐδὲ γάρ
» ἐστι στερρότέρα ταύτης ἡλικία, οὐδὲ γονιμωτέρα,
» οὐδ' ἥτις ἂν μᾶλλον ἐκκαίοιτο. Διαδέχεται τὸ
» μὲν μετόπωρον τὴν τῆς νεότητος ἀποθέμενον θέρ-
» μην, καὶ καθεστὼς εὐσταθὴς ἀνὴρ γίνεται μεταξὺ
» νεανίου καὶ γέροντος, τὴν κρᾶσιν μέσος, καὶ τοὺς
» κροτάφους πολιαῖς διερραντισμένος. Ἐντεῦθεν ὁ
» γηραλέος χειμὼν τρομεροῖς βήμασι φρικώδης
» ἔπεισιν, ἤτοι τῶν ἑαυτοῦ τριχῶν γυμνωθεὶς, ἢ,
» ἃς ἔχει, πάσας ἔχων λευκάς. Καὶ τὰ σώματα
» δ' ἡμῶν αὐτῶν ἀεὶ δήποτε μεταβάλλεται καὶ
» ἀπαύστως, καὶ οὔθ' ὅπερ ἦμεν, οὔθ' ὅπερ ἐσμὲν,
» αὔριον ἐσόμεθα. Ἐγένετο δὲ κἀκείνη ἡ ἡμέρα, καθ'
» ἣν σπέρμα μόνον καὶ ἐλπὶς ἦμεν ἀνθρώπου, καὶ
» πρῶτα μὲν τὴν νηδὺν ᾠκήσαμεν τῆς μητρός· ἐκεῖ
» δ' ἡ Φύσις τὰς δημιουργοὺς χεῖρας εἰσέπεμψε, καὶ,
» μηκέτι ἄγχεσθαι θέλουσα τὸ ἐγκεκλεισμένον ἐν
» τοῖς σπλάγχνοις τῆς μητρὸς οὕτω διαταθείσης
» σῶμα, ἐξ ἐκείνου τοῦ οἰκήματος εἰς τὸ πλάτος

reperit, scripsisseque ἀποχωροῦντα, quod indiligens librarii calamus deinceps in ἀποχρῶντα mutaverit.

» τοῦ ἀέρος ἐξέπεμψε. Καὶ, περελθὸν εἰς φῶς,
» ἀσθενέστατον ἔκκειται βρέφος· εἶτα δ' εὐθὺς τε-
» τράπουν γίνεται, καὶ τὰ οἰκεῖα μέλη θηείων δίκην
» κομίζει· καὶ καλὰ βραχὺ τρέμον καὶ μήπω τῶν
» γνάτων στερεωθέντων ἵστασθαι, ὠθισμῷ (1) τινὶ τῶν
» νεύρων βοηθουμένων. Ἐντεῦθεν ἰσχυρός τε καὶ
» ταχὺς γίνεται, καὶ παίπσι τῆς νεότητος τὸ διά-
» στημα, καὶ, τῶν τοῦ μέσου δὲ χρόνου παραδρα-
» μόντων ἐνιαυτῶν, ὁδῷ καλάστει πρὸς τὸ δῦνον
» καλασύρεται γῆρας. Ὑπορρεῖ (2) δὲ καὶ τοῦτο, καὶ
» τὴν τῆς περιλαβούσης ἡλικίας ῥώμην ἀποχαυνοῖ.
» Καὶ ὁ Μίλων θρηνεῖ γεγηρακὼς, καὶ κενὸν (3) ὁρῶν καὶ
» παρηρτημένον καὶ ἐκλυτον τῶν χειρῶν ἐκείνων τὸ
» δέρμα, αἰ, δίκην θηείων, σφιγξῶσα καὶ εὐπαγεῖς
» καὶ παραπλήσιοι ταῖς Ἡρακλέους ἐγένοντο. Θρη-
» νεῖ δὲ καὶ ἡ Τυνδαρὶς Ἑλένη, ὡς εἶδεν ἐν ἐσόπτρῳ
» πρεσβυτικὰς ῥυτίδας, καὶ καθ' ἑαυτὴν, ὅτου χάριν
» δὶς ἡρπάγη, ἐπιζητεῖ. Ὦ χρόνε παιδαμάτορ, καὶ
» σὺ, φθονερὸν γῆρας, ὡς ἅπαντα καθαιρεῖτε, καὶ
» πάντα, τοῖς ὀδοῦσι λυμαινόμενα τοῦ αἰῶνος,
» καλὰ μικρὸν μέλανι θανάτῳ ἐξαναλίσκετε!
» Οὐ μὴν ἀλλ' οὐδὲ ταῦθ', ἅπερ ἡμεῖς στοι-
» χεῖον (4) καλοῦμεν, συμμένει· τίνα γε μὴν τά-
» ξιν ἐξελίττει (μόνον πρόσεχέ μοι τὸν νοῦν)·
» ἐγὼ διδάξω.
» Τέτταρα γενικὰ σώματα ὁ ἀίδιος κόσμος οὗτοσὶ
» παρέχει· ὧν βαρέα μὲν ὄντα τυγχάνει τὰ δύο,

(1) Cod. ἐθισμῷ. Lat. *conamine.*
(2) *Subruit* non est ὑπορρεῖ, sed καθασπάπει, ἀναστρέφει.
(3) Delenda videtur copula.
(4) Forte, στοιχεῖα, vel πῦθ' ὅπερ ἡμεῖς στοιχεῖον.

» καὶ τῷ ἑαυτῶν ἄχθει (γῆ ταῦτα καὶ ὕδωρ ἐστίν)
» εἰς τὸ κάτω φέρεται. Τοσαῦτα δ' ἕτερα ταυτὸς
» ἀπήλλαξεν βάρους, καὶ μηδενὸς πιέζοντος, ἀεὶ
» δήπουθε τὸ ὕψος ζητεῖ (1). Ἆπερ εἰ καὶ τὰ μά-
» λιστα ταῖς χώραις διίστανται, γένεται μέντοι τὰ
» πάντα ἐκ τούτων, καὶ αὖθις εἰς αὐτὰ καταπί-
» πτει. Ἀναλυομένη δ' ἡ γῆ εἰς ὕδωρ διαφανὲς
» ἀραιοῦται· τὸ δ' ὕδωρ εἰς ἀέρα λεπτύνεται, καὶ
» τὸν ἀέρα καταλαμβάνει ἀποβαλὸν (2) τὴν βαρύ-
» τητα· αὖθις δ' ὁ ἀὴρ, λεπτότατος γενόμενος, εἰς
» τὸ μετεωρότατον πῦρ ἐφάλλεται. Κἀντεῦθεν αὖθις
» ἀναποδίζει ταῦτα, καὶ τάξις ἡ αὐτὴ ἀνυφαίνεται.
» Πῦρ μὲν γὰρ συμπιληθὲν εἰς ἀέρα πυκνὸν δια-
» βαίνει, καὶ οὗτος εἰς ὕδωρ· ἐκ δὲ παχυνθέντος
» ὕδατος συμπήγνυται γῆ. Ἀλλ' οὐδὲ τὸ οἰκεῖον
» εἴδός τινι συμμένει, ἀλλ' ἡ καινοτόμος τῶν ὄντων
» Φύσις ἐξ ἑτέρων ἑτέρας μορφὰς ἀνασκευάζει. Καὶ
» ἐν ὅλῳ τῷ κόσμῳ (πείθεσθέ μοι) ἀπόλυσις οὐδὲ
» ἕν, ἀλλὰ ποικίλλει τὴν μορφὴν καὶ μεταῤῥυθμίζει,
» καὶ γεννᾶσθαι μεταχειρίσασθαι τὸ ἄρχεσθαι ἕτε-
» ρόν εἶναι ἢ ὁποῖον τὸ πρόσθεν ἦν, καὶ θνήσκειν
» τὸ παύεσθαι τοῦτ' αὐτό. Καὶ ταῦτ' ἴσως, δεῦρο
» μὲν μεταφερομένων ἐκείνων, ἐκεῖσε δὲ τούτων, ἐν
» τῷ καθόλου μέντοι τὰ πάντα συνίσταται.
» Οὐδὲν τοιγαροῦν πιστεύσαιμ' ἂν ἐπὶ τῆς αὐτῆς
» ἰδέας ἐπὶ πολὺ διαρκεῖν. Οὕτω πρὸς τὸν σίδηρον
» ἐκ τοῦ χρυσοῦ καταλήλυθας, χρόνε· οὕτω καὶ ἡ

(1) Omisit Plan. vel librarius latina, « aer atque aere purior » ignis », sic fere vertenda, ἀὴρ δὴ καὶ πυῦ ἀέρος καθαρώτερον πῦρ.

(2) Codex simul ἀποβαλών et ἀποβαλόν.

» τῶν τόπων μεταβέβληται τύχη πολλάκις. Εἶδον
» ἐγώ γε, ὃ πάλαι πολὺ στερεὰ ἐτύγχανεν οὖσα ἡ γῆ,
» γενόμενον θάλατταν· εἶδον μεταποιηθεῖσαν γῆν ἐκ
» θαλάττης· καὶ πόρρω τοῦ πελάγους κόγχαι θα-
» λάττιαι ἔκειντο, καὶ ἐπὶ κορυφῆς ὄρους ἄγκυρα
» παλαιὰ εὑρηται. Καὶ ὃ πεδίον τὸ μεταξὺ ἦν ἡ τῶν
» ὑδάτων ἔφοδος διάσφαγα πεποίηκε, καὶ κατα-
» κλυζόμενον ὄρος μεταφορήθη πρὸς θάλατταν, καὶ ἐξ
» ἑλώδους ἀνίκμῳ νῦν ἄμμῳ ξηραίνεται γῆ, καὶ ἡ
» πρότερον ὑπομένουσα δίψαν νῦν λιμνωθεῖσα διά-
» βροχός ἐστιν ἕλεσιν. Ὧδε μὲν πηγὰς ἡ Φύσις
» καινὰς ἀναδέδωκεν, ἐκεῖ δ' ἔκλεισε. Καὶ ὑπὸ τῶν
» τῆς γῆς ἀρχαίων σεισμῶν πάμπολλοι ἐξήλαντο
» ποταμοὶ, ἢ τυφλωθέντες συνίζησαν. Οὕτω, χά-
» σμαλι γῆς ὁ Λύκος καταποθεὶς, πόρρω ἐντεῦθεν
» ἀφίσταται, καὶ ἐν ἄλλῳ ἀναγεννᾶται θέματι (1).
» Οὕτω νῦν μὲν καταπέπτωται, νῦν δ' ὅλῳ ῥυεὶς τῷ
» ῥεύματι ἐν τοῖς τῶν Ἀργείων πεδίοις ἀνίσχων ἀπο-
» δίδοται ὁ Ἐρασινος. Φασὶ δὲ καὶ τὸν Κάυκον ἐξυ-
» βρίσαντα (2), μεταμεμελημένον τούτῳ τῆς τε
» οἰκείας κεφαλῆς καὶ ὀχθης τῆς περιέρρει, νῦν δὲ
» ῥεῖν ἀλλαχόθι. Ναὶ μὴν καὶ ὁ τὴν Σικελικὴν ἄμ-
» μον καταστρώσας Ἀμασηνὸς, ἔστι μὲν ὅτε ῥεῖ, ἔστι
» δ' ὅτε, τὰς πηγὰς συμπλύξας, ἐξήρανται. Πρό-
» τερον μὲν πότιμος ὁ Ἀνίγρος ἦν· νῦν δ' ὕδωρ
» καταφέρει, οὗπερ οὐκ ἂν ἅψασθαι βούλοιο, ἐξ

(1) Legit *orbe*, non *ore*. De voce θέμα vide pag. 280, coll. pag. 250, 1.

(2) Ovid. «*Mysum* Caicum.» Nescio quid epitheti Noster legerit, forsan *et missum, emissum*, quod e codd. multis enotavit Burmannus.

» οὔπερ οἱ Κένταυροι (εἰ μή τι πᾶσα πίστις ἀφαι-
» ρεῖται τῶν ποιητῶν ἐστίν) ἐκεῖ τὰ τεκμήρια ἀπε-
» λούσαντο, ἃ τὸ τοῦ Ἡρακλέους τόξον αὐτοῖς
» ἐνεποίησε. Τί δ'; οὐχὶ καὶ ὁ Ὕπανις, ἐκ τῶν
» Σκυθικῶν ἀνίσχων ὀρῶν, ὃς πρόσθεν γλυκὺς ἦν,
» νῦν δ' ἁλσὶ πικρολάτοις λελύθηται; Κύμασι πε-
» ριεκλύζοντο Ἄντισσά τε καὶ Φάρος, καὶ ἡ Φοί-
» νισσα Τύρος, ὧν οὐδεμία νῦν ἐστὶ νῆσος. Τὴν δὲ
» Λευκάδα συνεχῆ τῇ ἠπείρῳ οἱ παλαίτεροι τῶν
» οἰκητόρων ἐνέμοντο· νῦν δὲ κύματα ταύτην περι-
» σποιχίζει. Ἀλλὰ καὶ ἡ Ζάγκλη συνημμένη λέγεται
» γεγονέναι τῇ Ἰταλίᾳ, μέχρις οὗ τὴν Θάλατταν
» τὸ μεθόριον ἀφελέσθαι, καὶ ὕδατι μεσιτεύσαντι
» τὴν χέρσον ἀπῶσασθαι. Εἰ τὴν Ἑλίκην καὶ Βοῦραν
» τὰς Ἀχαϊκὰς πόλεις ζηλοίης (1), εὑρήσεις ὑποβρυ-
» χίους· καὶ νῦν δ' εἰσέτι δεικνύναι (2) φιλοῦσιν οἱ
» ναῦται ἐπικλινεῖς κειμένας τὰς πόλεις, τείχεσιν
» αὐτοῖς καταποντισθείσας. Ἔστιν ἔγγιστα τῆς Πιτ-
» θείας Τροιζῆνος λόφος, ὑψηλὸς μέν, ἀδενδρος δέ,
» πάλαι μὲν πεδίον ὁμαλώτατον ὥσπερ ἄλως, νῦν
» δὲ λόφος· καὶ γὰρ (πρᾶγμα φευκτὸν καὶ λεγό-
» μενον) πνευμάτων ἀγεία δύναμις, ταῖς σκοπιαῖ-
» ναῖς τῆς γῆς σήραγξιν ἐγκλεισθεῖσα, ἐκπνεῦσαί
» ποθεν ἐπειγομένη, καὶ δι' μάτην διαπαλαίσασα
» ὡς ἐλευθέρου τυχεῖν οὐρανοῦ, ἐπεὶ μηδὲν ἦν καθ'

(1) Philostratus Her. p. 744: ὤμην δὲ καὶ ἐπικλυσθήσεσθαί ποτε τῶν ἐν Θετταλίᾳ πόλεων, οἷα Βοῦρά τε καὶ Ἑλίκη καὶ ἡ περὶ Λεκροὺς Ἀταλάντη ἔπαθε: ubi Olearius videndus, ut et recentior editor pag. 636. Adde Schol. Luciani ad Deor. Conc. 6.

(2) Cod. δεικτῦναι: pravo accentu, jam notato p. 580. Vide Schæferum ad Schol. Apollonii Rhod. p. 12.

» ὅλην ἐκείνην τὴν εἰρκλὴν ῥῆγμα, οὐδέ τις διέξοδος
» τοῖς πνεύμασι, τὴν ἐκλελαμένην ἐξώγκωσε γῆν,
» ὥσπερ που καὶ πνοὴ διὰ σίόμαλος κύσιν εἴωθε
» διαλείνειν, ἢ ἀσκὸν, δέρμα δίχερω τεράγου. Ἡ δ'
» ὄγκωσις κείνου τοῦ χώρου διέμεινε, καὶ εἶδος ὑψη-
» λοῦ φέρει λόφου, καὶ τῷ μακρῷ χρόνῳ ἐσκλή-
» ρυνται.

» Πολλὰ μὲν ἔπεισί μοι λέγειν ἅπερ εἶδον ἠ
» ἤκουσα· ὀλίγα (1) μέντοι πρὸς τοῖς εἰρημένοις
» ἐρῶ. Τί δ' ἄρα; οὐχὶ καὶ τὸ ὕδωρ μορφὰς καινὰς
» δίδωσί τε καὶ λαμβάνει; Καὶ γὰρ μεσημβείας
» μὲν, Ἄμμων χερσαφόρε, τὸ σὸν ὕδωρ ψυχρόν
» ἐστιν, ἀνίσχοντος δὲ καὶ δύνοντος τοῦ ἡλίου, ὑπο-
» θερμαίνεται. Κινηθέντων (2) τῶν ὑδάτων Ἀθάμαντος

(1) Quum simili πολλῶν et ὀλίγων antithesi Timarionis auctor cap. 8 esset usus, hisce nempe verbis, ὀλίγα ἴσως ἐκ πολλῶν.... ἱσλορηθέντα μοι, editor ejus vir eruditiss. notat esse desumta ex Luciano, cujus tria apponit exempla. Sed, quum plurimi scriptores hanc oppositionem verborum exhibeant, cur Lucianus fuerit peculiarius indicandus non intelligo. Æschylus enim P. 336: Πολλῶν παρόντων δ' ὀλίγ' ἀπαγγέλλω κακά. Idem 805, πανδρογί γε πολλῶν: 1023, βαιά γ' ὡς ἀπὸ πολλῶν. Appianus Frontoni: ἐκ πολλῶν ὀλίγα σοι γέγραφα. Gregorius Naz. Stel. p. 13, Mont. ὀλίγα ἐκ πολλῶν διελθόντες. Idem or. XXIII, p. 416, C: πῶς ἂν ἐν ὀλίγῳ τὸ πολὺ παρεσπήσαιμι; pag. 417, C: ὀδύρομαι δ' ὅμως ὀλίγα ἐκ πολλῶν. Theodoretus H. Eccl. III, 7: ὀλίγα ἐκ πολλῶν διηγήσομαι. Manasses Chron. pag. 116, B: Εἰ χρὴ δ' ὀλίγοις τὰ πολλὰ καὶ τὰ μακρὰ γνωρίσαι. Basilius Sel. Vita Theclæ, p. 230, D: ὡς ἐκ πάνυ πολλῶν ὀλίγα εἰπεῖν: p. 231, D: ἵνα ἐκ πάνυ πολλῶν ἄγαν ὀλίγα εἴπωμεν. Demosthenes opposuit μικρὰ et πολλὰ t. I, pag. 232 T. Auctor Actorum S. Silvestri, pag. 269: ταῦτα μικρά πνα τῆς αὐτοῦ διδασκαλίας ἐκ πολλῶν παρεθέμεθα. Atque ego quoque πολὺς fui ἐν μικρολάπις, etsi tenuitatem hujus reculæ solide noverim, sed ob viri doctissimi, a quo dissentire visum est, auctoritatem.

(2) Latinum *admotis* interpres non intellexit. Repone, προσαχθέντων.

» ἀνάπλειν λέγεται ξύλον, τῆς σελήνης εἰς ἐλάχι-
» στον φῶς ἀποχωρησάσης. Πολαμὸν οἱ Κίκονες
» ἔχουσιν, ὃς ποθεὶς λίθους τὰ ἔγκατα ἀποδίδωσιν,
» ὅς, οὕπερ (1) ἂν ἅψηται, λίθον ἐκείνοις ἐπάγει. Ὁ
» Κρᾶθις καὶ ὁ ἐντεῦθεν Σύβαρις, ὁ τοῖς ἡμελέσθαις
» πεδίοις συνομορῶν, ἠλέκτρῳ καὶ χρυσῷ περιπλη-
» σίους ἀπολελοῦσι τὰς τείχας. Καὶ, ὃ μᾶλλόν ἐστι
» θαυμαστὸν, εἰσὶν ὕδατα, ἃ μὴ μόνον τὰ σώματα,
» ἀλλὰ καὶ τὰς ψυχὰς αὐτὰς πέφυκε μεταβάλλειν.
» Τίνι καὶ γὰρ οὐκ ἠκούσθαι τὸ τῆς Σαλμακίδος
» αἰσχρὸν ὕδωρ; καὶ αἱ Αἰθίοπες λίμναι; ὧν εἴ τις
» ἀρύσαιτο σίδηρον, ἤτοι μαίνεται, ἢ θαυμαστὸν
» τῇ βαρύτητι καὶ ὑφίσταται. Ὃς δ' ἂν ἐκ τῆς
» ἐν Κλειτορίῳ πηγῆς τὴν δίψαν κουφίσειεν, ἐξ
» ἐκείνου τὸν οἶνον φεύγει, καὶ χαίρει τῷ ὕδατι,
» ἀκράτου μὲν ἐγκρατὴς, ἀκρατέστερος δὲ ποτὸς
» ὕδωρ τὸ τῷ θερμῷ οἴνῳ ἐναντιούμενον (2)· εἶγε,
» ὅπερ οἱ ἐγχώριοι διαμυθεύουσιν, ὁ τοῦ Ἀμυθάο-
» νος παῖς (3) Μελάμπους τὰς Προιτίδας μανείσας
» ἐπῳδαῖς τε καὶ φαρμάκοις τῶν μανιῶν ἀφῆρ-
» πασε, καὶ τὰ τῆς διανοίας καθάρματα εἰς ἐκεῖνο
» τὸ ὕδωρ ἀφῆκε, καὶ τὸ τοῦ οἴνου μῖσος διέμεινεν
» ἐν αὐτῷ. Ταύτῃ γε μὴν τῇ πηγῇ ἀνόμοιος τὴν

(1) Imo scr. ὥνπερ, ob ἐκείνοις.

(2) A sensu latinorum aberravit, sic ferme vertendorum: καὶ καθαρῷ ἄοινος ὕδατι χαίρει, εἴπε τῷ ὕδατι τούτῳ θερμοῦ ἐναντία οἴνου δύναμις ἔνεστι· εἴπε, ὅπερ—

(3) Codex, παῖς. Permutari π et τ notissimum est. Heraclitus Epist. ad Hermodorum: τοῖς μὲν (ζώοις) κέρατα τὰ ὅπλα, τοῖς δὲ ῥύγχη, τοῖς δὲ πτερὰ, τοῖς δὲ πάχος, ἄλλοις μέγεθος, ἄλλοις ὀλιγότης, ὧν δὲ πάχος, οἷς δὲ πῆξις: male πάχος iterari quis non videt? Codex Mazarineus A 87, optime, οἷς δὲ πάχος.

» ἐνέργειαν ἕτερος ῥεῖ ποταμὸς ὁ Λυγκέστιος (1), οὗπερ
» εἰ καὶ ὀλίγον τις μελεμάζοντι στόματι σπάσειεν,
» οὐκοῦν ἕτερον (2) σφάλλεταί τε καὶ δονεῖται ἢ εἰ
» οἶνον ἔπιεν ἄκρατον. Ἔστιν ἐν Ἀρκαδίᾳ λίμνη
» (Φενεὸν οἱ παλαιότεροι ταύτην ὠνόμασαν) ἐπαμ-
» φοτερίζουσιν ὕδασιν ὑποπλος, ἅπερ νύκτωρ δέδιθι·
» νυκτὸς μὲν γὰρ ποθέντα βλάπτει· ἀβλαβῶς δὲ
» μεθ' ἡμέραν πιεῖν αὐτὰ δύνῃ. Οὕτως ἑτέρας
» λίμναι καὶ ποταμοὶ δυνάμεις εἰσδέχονται. Καὶ
» μὴν καὶ χρόνος ἦν, καθ' ὃν ἡ Ὀρτυγία ἐνήχετο ἐν
» τοῖς ὕδασι· νῦν δὲ καθίδρυται. Ἔδεισεν ἡ Ἀρτὼ τὰς
» Συμπληγάδας, ταῖς τῶν προσαρτωμένων κυ-
» μάτων ἐμβολαῖς ῥαινομένας, αἳ νῦν εἰς ὄρος (3)
» συμμένουσι, καὶ τοῖς ἀνέμοις ἀνθίστανται. Ἀλλ'
» οὐδ' ἡ κινομένη ταῖς τοῦ θείου καμίνοις Αἴτνη
» δι' ὅλου τοῦ αἰῶνος ἔσται διάπυρος· οὐδὲ γὰρ ἀεὶ
» διάπυρος ἦν. Καὶ γάρ, εἴ τε ζῷόν ἐστιν ἡ γῆ, καὶ ζῇ
» καὶ ἀναπνοὰς ἔχει φλόγα καὶ πολλοὺς χώρους ἀνα-
» διδούσας, οἷα τέ ἐστι τὰς τῆς ἀναπνοῆς ὁδοὺς
» ὑπαλλάττειν, καὶ, ὁσάκις κινεῖται, ταύτας μὲν
» λήγειν, ἑτέρους δ' ὑπανοίγειν κρατῆρας· εἴ τε
» κοῦφα πνεύματα ἐν τοῖς ὑπογείοις ἄντροις συνέ-
» χεται, καὶ λίθους ἐπὶ λίθοις καὶ ὕλην σπέρματα
» πυρὸς ἔχουσαν ἀναβάλλει, καὶ ὑπὸ τῆς ῥύμης πῦρ
» αὖτη γεννᾷ, ψυχρὰ, τῶν πνευμάτων λωφησάν-
» των, τὰ ἄντρα καταλειφθήσεται· εἴ τε αὖ πάλιν

(1) Codex, λιγκέστιος: sic ad 471, φρυκώδους pro φρυκτώδους.

(2) Vel ἑτέρως legendum; vel τρόπον addendum, ut supra p. 664, recte, οὐκοῦν ἕτερον τρόπον ἢ ποταμός.

(3) Pro *immotæ*, ἀκίνητοι, invenit vel invenisse putavit *in montem*.

» ἀσφαλιώδης τις δύναμις τὸ πῦρ ἐπισπᾶται, εἴ
» τε κεχνῶδες θεῖον ἀμυδρῷ πόᾳ ἀναζωπύσειαν τῷ
» καπνῷ. Καὶ γὰρ, ἐπειδὰν ἡ γῆ ὕλην τε καὶ τρο-
» φὴν λιπωδεστέραν μὴ διδῷ τῷ πυρὶ, τῆς δυνά-
» μεως κατὰ τὸν μακρὸν αἰῶνα δαπανηθείσης, καὶ
» τῇ παμφάγῳ φύσει ἡ τροφὸς ἐδωδὴ ἐπιλί-
» πῃ (1), ἤπιστα τὸν λιμὸν ὑποίσει, ἀλλ' ἐγκατα-
» λειφθεῖσα καὶ αὐτὴ ἐγκαταλείψει τὴν φλόγα.
» Φήμη τίς ἐστιν ἐν τῇ Ὑπερβορέᾳ Παλλήνῃ ἄνδρας
» εἶναι, οἷς εἴωθε τὰ σώματα τρέφεσθαι κούφοις κα-
» λύπτεσθαι, ἐννεάκις ὑπὸ τὴν Τριτωνιακὴν λίμνην
» ὑποδύσιν· οὐ μέντοι καὶ πιστεύω· καὶ δὴ καὶ αἱ
» Σκυθίδες, φαρμάκοις τὰ μέλη ῥάναται, τὰς αὐτὰς
» μελιέναι διαμνημονεύονται (2) τέχνας.

» Εἴ γε μὴν πίστιν τινὰ δίδοναι τοῖς δεδοκιμασμέ-
» νοις τρόποις χρὴ, οὐχ ὁρᾷς ἅπερ ἂν σώματα
» τῷ τε χρόνῳ καὶ τῇ σηπτικῇ θέρμῃ ταχῇ, εἰς
» ζωύφια μεταβεβλημένα; Ἴθι νῦν, καὶ σφατ-
» μένους τοὺς ταύρους κάλυπτε· τρόπαιον τῇ χρή-
» σει γνώριμον· τῶν ἐγκάτων σαπέντων τε καὶ δια-
» λυθέντων, ἀνθολόγοι γεννῶνται μέλιτται, αἳ, τῷ
» τῶν γεννησαμένων ἔθει, ἐν ἀγρῷς τε νέμονται καὶ
» τοῖς ἔργοις ἐνασμενίζουσι, καὶ ἐπ' ἐλπίδι ποιοῦσι.
» Καὶ ἵππος δὲ πολεμιστήριος, γῆ κεκλυφθεὶς, σφη-
» κῶν (3) γένεσιν γέννα. Καὶ εἰ τὸν παρακαλίτην
» καρκῖνον τοὺς ἐπικαμπεῖς ἀφαιρήσεις βραχίονας,

(1) Legitur in cod. ἐπιλίποι.

(2) Cod. διαμνημονεύουσι. Lat. *memorantur.*

(3) Cod. σφικῶν. Eodem modo, ad 348, ὕλιν pro ὕλην: ad 373, σκώλικες: ad 731, εὐθυμοῦσι pro εὐθυμούσῃ: ad 834, ῥυθμίσει pro ῥυθμίσει.

» τὰ λοιπὰ δ' ὑποθήσεις τῇ γῇ, σκορπίος ἐκ τοῦ
» ταφέντος ἐξελεύσεται μέρους, καὶ διὰ τῆς καμ-
» πύλης οὐρᾶς ἀπειλήσει. Οἱ δ' εἰωθότες ἀγροτι-
» κοὶ σκώληκες, εἴτουν κάμπαι, τοὺς τῶν δένδρων
» ἀκρέμονας λευκοῖς νήμασι συνυφαίνειν (πρᾶγμα
» ὅπερ οἱ φυτηκόμοι παραφυλάττονται), ἀμείβουσι
» τὴν μορφὴν ἅμα τῇ ὀλεθρίῳ τούτων σκηνῇ (1).
» Καὶ σπέρμα δ' ὁ πηλὸς ἔχει, τὸ τοὺς χλωροὺς

(1) *Papilionem* putavit esse *conopeum*, *tentorium*, *involucrum* vermis; pessime omnino. Repone: τὴν οἰκείαν μορφὴν νεκρικῇ ἀλλάττουσι ψύχῃ. Putat Gierigius *feralem papilionem* Ovidio dictum esse, quod inter mala medicamina numeraretur, in quo erravit vir doctissimus. Quum papilio animæ symbolum esset, et in sepulcris sæpe exhibitus, ideo feralis et funereus ab Ovidio nuncupatur. Sic locum optime interpretatur Lennepius, qui de hac re dissertationem in Instituti Belgici conventu recitasse se per literas mihi significavit; de qua et mentionem fecit in Historia Classis III, t. I, pag. 27, Stuartus vir clar. hisce verbis: « Lennepius de papilione animæ » imagine apud veteres docte » disseruit »; quam si legissem, nihil puto me desideraturum esse: tanta est in Lennepio ingenii et eruditionis copia. Intereadum optato possim fonte labra proluere, lectorem monebo nonnulla monimenta huc apprime facientia a Sponio esse adposita et illustrata in Miscellan. sect. I, artic. 3; papilionem quoque cerni in sarcophago pulcerrimi operis, quem ingeniose et docte, ut solet, Lessingius interpretatus est in Dissertatione de modo quo antiqui artifices Mortem exhibebant; nonnullasque esse et ingeniosas et eruditas de hoc symbolo ferali observationes Herderi in Supplemento quo Lessingii dissertationem auxit (adeat lector qui germanice non scit gallicam Jansenii collectionem, t. I et III); atque in ægyptiacis monimentis animam corpore post mortem sub volucris aut papilionis forma avolare, quod e St. Quatremerii dissert. in Orientis Fodinis, t. V, didici. Idem symbolum, sed jam non ferale, in opere anaglypho Musei Regii parisiensis cernitur, Minervam exhibente, quæ homines a Prometheo miro quidem formatos artificio, sed inanimes, instruit anima; et animæ, quam eis inspirat, papilio symbolum est. Hoc anaglyphum, num. 322 signatum in Palladis œco collocatum est.

» ἀπολίκλον βαλεάχους· καὶ πρῶτα μὲν ἠκρωλησια-
» σμένους ποδῶν τούτους περφέρει, εἶτα δὲ καὶ
» περσφόρους τῇ νήξει δίδωσι κώπας· ὡς ἂν δ'
» αὗται καὶ τοῖς μακροῖς πηδήμασι περσφυεῖς εἶεν,
» τὸ τῶν ὀπισθεν ποδῶν μέτρον τοῦ τῶν ἔμπροσθεν
» ὑπερέχει. Οὐ μὴν ἀλλ' οὐδὲ σκύμνος ἐστὶν ὃν ἄρ-
» κλος περσφάτῳ τόκῳ περίνεγκεν, ἀλλὰ μάτην
» ἔμψυχος σάρξ· ἡ δὲ μήτηρ διαλιχμάζουσα εἰς
» μέλη διαπλάττει, καὶ εἰς μορφὴν, ὁσονπερ αὐτὴ
» δέχεται, ἐπανάγει. Οὐκουν ὀρθῶς, ἣν τὸ ἐξάγονον
» δέχεται κηρίον, γονὴν, τὸ τῶν μελισσουργῶν με-
» λιτῶν σῶμα δίχα μελῶν γεννώμενον, καὶ οὐκ
» μὲν πόδας, οὐκ δὲ πτερὰ λαμβάνουσαν; Τὸν δὲ
» τῆς Ἥρας ὄρνιν, ὃς ἀστέρας ἐπὶ τῆς οὐρᾶς φέρει,
» καὶ τὸν ὁπλοφόρον τοῦ Διὸς αἰετὸν, καὶ τὰς τῆς
» Ἀφροδίτης περιστερὰς, καὶ σύμπαν τὸ πτηνῶν
» γένος, τίς ἂν ἐκ τῶν μέσων τοῦ ὠοῦ μερῶν, εἰ
» μὴ τοῦτ' οἶδε (1) γινόμενον, δύναιτο γεννᾶσθαι
» νομίσειεν; Εἰσὶ δ' οἱ πιστεύουσι τὸν τῶν ἀνθρώ-
» πων νωθιαῖον μυελὸν τῆς ἀκάνθης ἐγκεκλεισμένῳ
» τῷ τάφῳ διασαπίσης, εἰς ὄφιν ἀμείβεσθαι.
» Ταῦτα μὲν οὖν ἐξ ἑτέρων τῆς γεννήσεως τὴν ἀρ-
» χὴν καλάγει· εἷς δέ τίς ἐστιν ὄρνις, ὃς ἑαυτὸν
» ἀνακλᾶται, καὶ αὐτὸς ἑαυτὸν ἀναστείρει. Φοίνικα
» τοῦτον καλοῦσιν οἱ Ἀσσύριοι. Οὐκουν σπέρμασιν
» ἐκεῖνος οὐδὲ βολάναις, ἀλλὰ λιβάνου δάκρυσι καὶ

(1) Codex, εἶδε, quod latina «ni *sciret* fieri» mutari jubebant. Supra p. 289, εἶδε et οἶδε sic permutata ostendi: adde Bast. ad Aristænet. p. 680 meæ edit.; Creuzer. ad Plotin. de Pulchrit. pag. 300; Jacobs. ad Anth. Pal. t. III, pag. 189.

» ἀμώμου χυλῷ διαζῇ. Οὗτος, πέντε τῆς ἰδίας
» βιοτῆς περάνας αἰῶνας, ἐν πρίνου πρέμνοις καὶ
» πολυδονήτου φοίνικος κορυφῇ τοῖς ὄνυξί τε καὶ τῷ
» καθαρῷ στόματι καλιὰν ἑαυτῷ κατασκευάζει, καὶ
» κασίαν τε ὁμοῦ καὶ λείου νάρδου στάχυας, καὶ
» συντετριμμένα κιννάμωμα, καὶ σμύρναν ξανθὴν,
» ὑποστρώννυσιν, ἑαυτὸν δ' ἄνωθεν ἐπιτίθησι, καὶ
» τελευτᾷ τὸν βίον ἐν τοῖς ἀρώμασιν. Ἐντεῦθεν
» φασὶν ἐκ τοῦ πατρικοῦ σώματος βραχύτατον φοί-
» νικα, ὃς ἄλλα τοσαῦτα ἔτη ζῆν ἂν ὀφέλοι, γεν-
» νᾶσθαι. Τῆς δ' ἡλικίας δύναμιν αὐτῷ δούσης ὡς καὶ
» φόρτον τινὰ δύνασθαι φέρειν, κουφίζει τοῦ τῆς κα-
» λιᾶς βάρους τοὺς τοῦ δένδρου ἀκρέμονας, καὶ εὐσεβῶς
» τό, τε λίκνον ἑαυτοῦ φέρει καὶ τὸν τοῦ πατρὸς τάφον,
» καὶ, διαέριος (1) τὴν τοῦ Ἡλίου πόλιν φθάσας, ἐν τῷ
» τοῦ Ἡλίου νεῷ πρὸ τῶν ἱερῶν πυλῶν ἀποτίθεται. Εἴ
» γε μὴν ἔστι τι θαῦμα καινοτομίας ἐν τούτοις, θαυ-
» μάζωμεν (2) καὶ τὴν ὕαιναν παραλλὰξ τὰς φύσεις
» ἀμείβουσαν, καὶ τὴν μικρῷ πρόσθεν θήλειαν οὖ-
» σαν, νῦν ἄῤῥενα γενομένην. Καὶ τοῦτο δὲ τὸ ζῶον,
» ὃ πνεύμασί τε καὶ αὔρᾳ τρέφεται, εὐθὺς ἐξο-
» μοιοῦται ᾧπερ ἂν προσψαύσῃ χρώματι. Καὶ λύγ-
» κας δὲ ἡ Ἰνδία καταπολεμηθεῖσα τῷ σταφυληφόρῳ
» δέδωκε Βάκχῳ· ὧν, ὡς διαμνημονεύουσιν, ὅ, τιπερ
» ἂν ἀποσκυβαλίσῃ ἡ κύστις, εἰς λίθον ἀμείβεται,
» καὶ τοῦ ἀέρος ἁψάμενον πήγνυται. Οὕτω καὶ τὸ
» κοράλιον, ἡνίκα ἂν τὸ πρῶτον ἀέρος θίγῃ, σκλη-
» ρύνεται· κλάδος δ' ἁπαλὸς ὑπὸ τὸ ὕδωρ ἐστίν.

(1) Codex, διμέριος, et statim θεῷ pro νεῷ.

(2) Lat. *miremur*. Codex, θαυμάζω μέν. Infra post ὧν inserui ὡς.

» Ἐπιλίπει ἂν πρότερον ἡ ἡμέρα (1), καὶ ὁ Φοῖ-
» βος τοὺς πνευστιῶντας ἵππους βάψειεν ἐν τῇ
» βαθείᾳ θαλάττῃ, ἢ ἐγὼ πάντα λόγοις διεξελεύ-
» σομαι τὰ πρὸς εἴδη μετενεχθέντα καινά. Οὕτως
» ἅπαντα μεταβαλλόμενα θεωροῦμεν, καὶ τὰ μὲν
» τῶν ἐθνῶν δύναμιν ἀναλαμβάνοντα, τὰ δὲ κα-
» ταπίπτοντα. Οὕτω μεγάλη γέγονε καὶ πλούτῳ
» καὶ ἀνδράσιν ἡ Τροία, καὶ τοσοῦτον αἷμα δι'
» ἐτῶν δέκα δοῦναι ἠδυνήθη· νῦν δ' ἐστὶ ταπεινὴ,
» καὶ τὰς παλαιὰς συμφορὰς μόνον, ἀντί τε τοῦ
» πλούτου τὰ τῶν πάππων δείκνυσι μνήματα.
» Περιφανὴς ἦν ἡ Σπάρτη· ἴσχυσαν αἱ μεγάλαι Μυ-
» κῆναι, ναὶ μὴν καὶ ἡ Κεκροπὶς, ναὶ μὴν καὶ οἱ τοῦ
» Ἀμφίονος πύργοι· νῦν δ' εὐτελὲς χωρίον ἡ Σπάρτη,
» πεπτώκασιν αἱ ὑψηλαὶ Μυκῆναι, τῶν Οἰδιποδιονίων
» Θηβῶν οὐδέν ἐστιν ὅτι μὴ ὄνομα (2). Καὶ νῦν δὲ
» φήμη φέρεται τὴν Δαρδανίδα (3) Ῥώμην ἀνί-
» στασθαι, ἣ, γείτων τοῖς τοῦ Ἀπεννινογενοῦς
» Θύμβριδος οὖσα ῥεύμασιν, ὑπὸ βάρει καὶ ὄγκῳ
» ὑπερμεγέθει τὰ τῶν πραγμάτων θεμέλια κατα-

(1) Basilius, eadem hyperbole, Hom. de peccato pag. 139, ed. 1556: ταῦτα μὲν ἐὰν θέλω καταλέγειν.... ἐπιλείψει με τάχα διηγούμενον ὁ χρόνος. Joannes Climac. pag. 338: καὶ ἵνα μὴ πολλὰ λέγω, ἐπιλείψει με γὰρ ὁ χρόνος ἤπερ τὸ καθ' ἓν ἐξαιτάζειν βούλομαι, κυρίως... Exemplum editionis Raderianæ, in Bibliotheca Regia servatum, quodque fuit a docto quodam viro ad novam editionem e codicibus correctum, recte exhibet: .... ἐπιλ. γάρ με διηγούμενον ὁ χρόνος, εἴπερ ἐξετάζειν καθ' ἕκαστον βούλ. Diffuse hanc hyperbolam tractavi ad Aristæneti Epistolas, p. 548.

(2) Non fuit reddita ab interprete, vel a librario non descripta, de Athenis sententia. Locus sic fere verti potest: Αἱ Οἰδιποδιονίαι Θῆβαι τί εἰσιν ὅτι μὴ μῦθος; τῶν Πανδιονίων Ἀθηνῶν τι συμμένει, ὅτι μὴ ὄνομα;

(3) Codex, καρδανίδα.

» βάλλεται. Τοίνυν καὶ αὕτη τὴν μορφὴν αὔξουσα
» μεταβάλλει, καὶ πολὺ κεφαλὴ τῆς μεγάλης οἰκου-
» μένης γενήσεται. Οὕτω τοὺς τε μάντεις λέγειν
» φασὶ (1) καὶ τοὺς μοιρολέκτας χρησμούς. Καὶ,
» καθόσον μέμνημαι, εἶπέ πού τε, τῶν Τρωϊκῶν ἤδη
» πεπονηκότων πραγμάτων, ὁ Πριαμίδης Ἕλενος
» τῷ Αἰνείᾳ θρηνοῦντί τε καὶ περὶ τῆς σωτηρίας
» διαλέγοντι· Ὦ παῖ θεᾶς, εἰ ἀποχρώντως ἔγνως
» τὰ τροφοβάσματα τῆς ἐμῆς διανοίας, οὕκουν
» ἅπασα, σοῦ σωζομένου, πεσεῖται ἡ Τροία. Ὀδὸν γάρ
» σοι καὶ πῦρ δώσει καὶ σίδηρος, καὶ ἀπελεύσῃ, καὶ
» ἅμα σαυτῷ τὰ Πέργαμα κομίσεις ἁρπάσας, μέχρις
» ἂν καὶ σοὶ καὶ τῇ Τροίᾳ πεδίον ἀλλότριον, καὶ τοῦ
» πατρῴου ποθεινότερον, ἀπαντήσῃ. Ὁρῶ δὲ καὶ πό-
» λιν τοὺς Φρυγίους ἀπογόνους μέλλοντας ἀνασπᾶ-
» σειν, οἵα οὔτε ἐστὶν, οὔτε ἔσται, οὔτε μὴν τοὺς
» προτέρους ἐφάνη χρόνους. Ταύτην ἄλλοι μέν τι-
» νες ἐν αὐτῇ δυνασπεύσαντες ἰσχυρὰν ἐπὶ μακρὸν
» χρόνον ἀποφανοῦσι· δέσποιναν δὲ πάντων ὁ ἐκ τοῦ
» αἵματος τοῦ Ἰουλίου γεννηθεὶς ἀπεργάσεται, ὃς,
» μετὰ τὸ τῇ γῇ χρήσασθαι (2) καὶ τῆς οὐρανίου
» λήξεως τεύξεται, καὶ τούτῳ τέλος ὁ οὐρανὸς ἔσται.
» Ταῦτα διαμνημονεύων προεῖπόντα τὸν Ἕλενον
» τῷ βασιλεύσαντι τοὺς θεοὺς Αἰνείᾳ, νῦν ἀπαγ-
» γέλλω. Καὶ δή, καὶ τῆς συγγενοῦς μοι πόλεως
» ἐπιδιδούσης, καὶ τοὺς Πελασγοὺς ὁρῶν ἐπ' ἀγαθῷ
» περιγενομένους τῶν Τρώων, ἥδομαι.

(1) Cod. φησί. Lat. *ferunt*. Ubique hæ personæ permutantur.

(2) Latine, « quum tellus erit usa » ; id est, μετὰ τὸ τὴν γῆν αὐτῷ χρήσασθαι, μετὰ τὸ τῇ γῇ λυσιτελῆσαι, vel λυσιτελῆ ἄλις γενέσθαι.

» Ἀλλ' ἵνα μὴ πόῤῥω συναρπασθέντες ἀπενεχθῶ-
» μεν, τῶν ἵππων ἐπιλαθομένων τοὺς τὸ τέρμα
» συντείνειν, οὐρανὸς, φημὶ, καὶ πᾶν ὅ, τι ποτὲ ὑπ'
» ἐκεῖνον ἐστὶ, τας μορφὰς μεταλλάττει, καὶ γῆ πά-
» λιν καὶ πᾶν ὅ, τιπερ ὑπ' ἐκείνην (1) ἐστί. Καὶ δὴ καὶ
» ἡμεῖς, μέρος ὄντες τοῦ κόσμου (ἐπεὶ μὴ σώματα
» μόνον, ἀλλὰ καὶ πτηναὶ δῆτα ψυχαὶ τυγχάνομεν
» ὄντες, καὶ τοὺς θηρίων κάμπτεσθαι μέλη), τὰ σώ-
» ματα τοίνυν, τὰ γονέων ψυχὰς σχεῖν πεφυκότα,
» ἢ ἀδελφῶν, ἢ τῶν ἄλλῳ τινὶ θεσμῷ συνημμένων
» ἡμῖν, ἢ τῶν ἁπλῶν ἀνθρώπων, ἐῶμεν τιμῆς καὶ κα-
» θαρᾶς ἀσφαλείας (2) τυγχάνειν, μηδὲ θυέστεια δεῖ-
» πνα τῇ κοιλίᾳ ἐπισιτοβάζωμεν. Ὦ πόσον κακῶς
» εἴθισται, πόσον ἑαυτὸν ἀπανθρώπως εἰς ἀνθρώπινον
» φόνον ἑτοιμάζει, ὃς μόσχου λαιμὸν σιδήρῳ
» διέῤῥηξε, καὶ ἀτέγκτους τοῖς μυκήμασιν ὑπέσχε τὰς
» ἀκοάς! ἢ εἰφον οἷός τ' ἐγένετο σφάξαι, κλαυθμυ-
» ερισμοὺς (3) τοῖς βρεφικοῖς παραπλησίους προφέ-
» ροντα, ἢ ὄρνιθι τροφῆναι ὥπερ αὐτὸς τροφὴν ἔδωκε!
» Πόσον τι τὸ ἐνδέον ἐν τούτοις πρὸς τὸ πλῆρες
» τῆς ἀνθροποκτονίας ἀνοσιούργημα; Ποῖ τὰ τῆς ὀρ-
» μῆς τῆσδε προτείνει; Οὐκοῦν βοῦς μὲν ἀροῦτω,
» ἢ τὸν θάνατον τοῖς ἐνιαυτοῖς προλοιδόσθω τοῦ
» γήρως· οἷς δὲ ὅπλα καὶ τοῦ φερεκώδους βορᾶ
» παρεχέτω· οὐθαλα δ' αἶγες χορεσθεῖσαι ταῖς χερ-
» σὶν ἀμέλγειν διδότωσαν. Δίκλυα δὲ καὶ βόχους
» καὶ παγίδας καὶ τέχνας τὰς δολίους ἐξάρτιε, μηδὲ

(1) Codex habet ὑπ' ἐκείνης.
(2) Latina, « tuta esse et ho-nesta sinamus », optime intellexit.
(3) Codex, κλαυθμηερισμούς.

» πρέμνοις ἰξωθεῖσι καλασοφίζεσθε τὰ πίνακα, μηδὲ
» τὰς δειλὰς ἐλάφους ἄρκυσιν ἐγκλείετε, μηδὲ τὰ
» ἐπικαμπῆ ἀγκίστρα δελέασι κρύπτετε. Φθείρετε δὲ
» ἄτινά πού βλάπτει· ἀλλὰ καὶ ταῦτα φθείρετε
» μόνον· τὸ δὲ σῶμα τῆς ἐντεῦθεν τροφῆς ἀπλα-
» λάχθω, τροφὴν δ' ἥμερον λαμβανέτω.»

Τοιούτοις καὶ ἑτέροις τὸν Νουμᾶν μυσταγωγηθέν-
τα λόγοις ἐπανελθεῖν εἰς τὴν ἐνεστακυῖαν φασὶ, καὶ
ζητηθέντα καθ' αἵρεσιν τοῦ τῶν Λατίνων δήμου τὰς
πύλας λαβεῖν· ὃς, εὐδαίμων τῷ συνοικεῖν Νύμφῃ
γενόμενος, καὶ τὰς Μούσας ἡγεμόνας ἔχων, τὰ τῶν
θυσιῶν ἐδίδαξεν ἔθη, καὶ τὸ ἔθνος, ἀγελίοις εἰθισμέ-
νον πολέμοις, ἐπὶ τὰς τῆς εἰρήνης μελήτας τέχνας·
ὧν, γεγηρακότα, καὶ τὴν βασιλείαν καὶ τὸν βίον δι-
νυκτότα, καὶ ἀποιχόμενον, αἱ τῶν Λατίνων γυναῖκες,
καὶ ὁ δῆμος, καὶ ἡ γερουσία ἐπένθησεν. Ἡ γάρ τοι
σύζυγος Αἰγερία, τὸ ἄστυ καταλιποῦσα, καὶ, πρὸς
τὴν τῆς Ἀεικίνης φάραγγος (1) δασυλάτην εἰσιοῦσα
λόχμην, ἐκρύπτετο, καὶ τοῖς τῆς Ὀρεστείας Ἀρτέμι-
δος ἱεροῖς ὑπό τε τῶν οἰμωγῶν καὶ τῶν θρήνων ἐμπο-
δὼν ἵστατο. Ἃ ποσάκις ἐκείνην αἱ τῶν ὀρῶν τε καὶ
λιμνῶν Νύμφαι μὴ ταῦτα ποιεῖν ἐνουθέτουν! καὶ
ποσάκις θρηνούσῃ παραμυθίας προσῆγον ῥήματα!
Ἀλλὰ καὶ ὁ Θησεὺς ἥρως Ἱππόλυτος « Στῆσον τοῦ-
» τον σοὶ τὸν τρόπον (2)» εἶπεν. « Οὐδὲ γὰρ ἡ σὴ

(1) Codex, φάλαγγος. Hæc nomina supra, pag. 4, vidimus permutata: conf. Schæf. ad Schol. Apoll. Rhod. pag. 48.

(2) Forsan, σύ. Latina *siste modum* verba verbis reddidit. Heinsius loci difficultatem bene intellexit. Vel est quærendum nomen, pro *modum*, quod *fletui, dolori*, synonymum sit; vel, pro *siste*, verbum quod idem ac *tene* significet; vel probandum Latinos

» τύχη μόνη θρηνητέα ἐστίν. Ὅρα δὲ καὶ ἑτέρων
» ὁμοίας συμφορὰς, καὶ πρεσβυτέρων οἴσεις ταῦτα.
» Ἀλλὰ γὰρ μὴ ὄφελε καὶ ἐμὸν ὑπόδειγμα δύνα-
» σθαί σε τῆς ἀνίας κουφίζειν· νῦν δὲ καὶ ἐμὸν δύ-
» ναλαι.

» Εἰ γὰρ λεγόντων ἴσως καὶ πρὸς τὰς ὑμετέρας
» ἔφθασεν ἀκοὰς, Ἱππόλυτόν τινα, τῷ τοῦ πατρὸς
» ἑτοιμοπίστῳ καὶ τῷ τῆς τολμητρὸς μητρυιᾶς δόλῳ,
» περιπεσεῖν θανάτῳ, θαυμάσεις· μόλις μὲν ἂν
» ἐπαινέσαιμι τοῦτο (1)· ἐκεῖνος μέντοι ἔγωγε εἰμί.
» Καὶ ἐμὲ ἡ τῆς Πασιφάης κακοδαίμων θυγάτηρ
» πολὺ μάτην πειρῶσα, τὴν τοῦ πατρὸς ὑποφθεῖ-
» ραι κοίτην, ὅπερ ἤθελεν αὐτὴ ἐμὲ θελήσασα
» ἠλεγξε, σιρέψασα τὴν καλοκοείαν δέει τε τοῦ μὴ
» μηνυθῆναι τὸ πάθος, καὶ μᾶλλον (2) ὅτιπερ αὐτῇ
» προσέκρουσα διωσάμενος. Καί με μηδὲν ὀφλοντα
» τοιοῦτον ὁ πατὴρ ἀπελαύνει τῆς πόλεως, καὶ ἀπόν-
» τος ἀρὰς ἀρᾶται τῇ κεφαλῇ δυσμενεῖς. Πρόσφυ-
» γι τοίνυν ἅρμαλι πρὸς τὴν Πιτθείαν ἦειν Τροιζῆνα.
» Καὶ τὴν τοῦ Κορινθιακοῦ πελάγους ἠϊόνα παρή-
» μειβον ἤδη· ἐξηγέρθη δ' ἡ θάλασσα, καὶ ὑπερφυὴς
» ὑδάτων σωρεία εἰς ὄρους εἶδος (3) κυρτουμένη τε καὶ

æque dixisse et eodem sensu *siste modum* et *tene modum*.

(1) Lat. *vixque probabo* non intellexit, quorum hic est sensus: θαυμάσῃ, καὶ μόλις μὲν ἂν τοῦτο φανερὸν ποιῆσαι οἷός τ' εἶην, καὶ ἐξελέγχειν.

(2) Latina, « Indiciine metu » magis, offensane repulsæ », sic erant ferme vertenda: πότερον δέει μᾶλλον τοῦ μὴ μηνυθῆναι τὸ πάθος, ἢ ὅτιπερ αὐτῇ προσέκρουσα...

(3) Lat. « In montis speciem »: frequens comparatio. Philostr. Her. pag. 228, θάλαττα.... ἀρθεῖσα, λόφῳ μεγάλῳ ἴσον. Libanius Ep. 1139, τοῦ Ποσειδῶνος ἐδεήθην ὅπως ὑμῖν ἐπαγάγοι κύματα οὔρεσιν ἴσα: ubi Wolf. videndus, collato Jacobs. ad Achill. Tat. I, 1, p. 402, et Weitz. Ind. in Dracont. p. 71. Constantinus Por-

» αὐξάνουσα κατεφαίνετο, μυκηθμούς τε ἀποδιδοῦσα
» καὶ ἀπ' ἄκρας τῆς κορυφῆς καταῤῥέουσα (1). Ἐκεῖ-
» θεν δὲ, τοῦ κύματος ῥαγέντος, ταῦρος κερασφόρος
» ἐξωθεῖται, καὶ, μέχρις τῶν στέρνων ἀνορθωθεὶς πρὸς
» ἀέρα, ἔκ τε τῶν μυκτήρων καὶ τοῦ στόματος ἀνα-
» πεπταμένου μέρος θαλάττης ἐξήμεσεν. Αἱ ψυχαὶ
» μὲν οὖν ἔδεισαν τῶν ἑταίρων· ἐμοὶ δ' ὁ νοῦς ἄτρε-
» στος ἔμεινεν, ἀποχρώσης αὐτῷ τῆς ὑπερορίας.
» Ἡνίκα δ' οἱ ταχεῖς ἵπποι τοὺς τραχήλους πρὸς
» τὴν θάλασσαν ἔστρεψαν, τὰ ὦτά τε ὀρθώσαντες
» ἔφριξαν, καὶ τῷ τοῦ τέρατος φόβῳ ταράττονται,
» καὶ ἐν ὑψηλοῖς σκοπέλοις τὸ ἅρμα κατακρημνίζου-
» σιν. Ἐγὼ δὲ τὰς ἡνίας ἀφρῷ λευκῷ διαβεβρεγμένας
» μάτην ἐπισπᾶσθαι τῇ χειρὶ διαμάχομαι, καὶ, εἰς
» τοὐπίσω γενόμενος ὕπτιος, τείνω. Καὶ οὐκ ἂν ἡ τῶν
» ἵππων λύττα τῆσδε περιεγένετο (2) τῆς ἀλκῆς, εἰ
» μὴ ὁ περὶ τὸν συνεχῆ στρεφόμενος ἄξονα τροχὸς,
» στύπει συναντήσας, διεστράφθη καὶ διεῤῥίφη. Ἐκτι-
» νάττομαι δ' αὐτίκα τοῦ ἅρματος, καὶ, τῶν ἱμάν-

phyr. Them. I, 17: τὸ δὲ Αἰγαῖον πέλαγος βαρύπλουν ἐστὶ καὶ δυσπέρατον, καὶ κύματα μακρὰ καὶ ὄρεσιν ἐοικότα προσανεγεῖρον τοῖς πλέουσιν. Eumathius XI, pag. 417: κυκᾷ τὴν θάλασσαν Ποσειδῶν, ἴσα καὶ ὄρεσιν ἐγείρει τὰ κύματα, τὴν ναῦν καταδῦσαι φιλονεικεῖ· λυτρὸν ὁ κυβερνήτης τεθῆναι νομοθετεῖ: cod. Reg. 2897, τυθῆναι, optime: sic VIII, pag. 302: ναῦς ὑπηρέτης (cod. id. ὑπηρέτις, bene) ἡμῖν τῇ φυγῇ, πρὸς ἣν Ποσειδῶν ἀντιπνεῖ, καὶ θῦμα ζητεῖ, καὶ τὸ θῦμα πληρούμεθα (imo κληρούμεθα, ut est recte in codice). Archias Ep. 30, de delphine in litus ejecto: Ἦ γὰρ ἴσον πρηῶνι Μαλείης ὡς ἐκυκήθη Κῦμα πολυξάνθους σ' ὦσεν ἐπὶ ψαμάθους: Ilgen. Opusc. t. II, p. 78, Archiam ridet quod *delphinem* dixerit ἴσον πρηῶνι Μαλείης, ridendus ipse, ni aliud egisse virum doctiss. esset manifestum.

(1) Imo σχιζομένη, ut melior lectio *findi* (non *fundi*) vertatur.

(2) Codex, περιεγένοντο. Statim cod. τύπει.

» των συνεχόντων τὰς χεῖρας, εἶδες ἂν τὰ σπλάγ-
» χνα ζῶντα συρόμενα, καὶ προσεχόμενα τὰ νεῦρα
» τοῖς θάμνοις, καὶ τὰ μέλη ἐν μέρει μὲν διαφεύ-
» γοντα (1), ἐν μέρει δ' ἐμπλεκόμενά τε καὶ κατα-
» λιμπανόμενα, καὶ τὰ ὀστᾶ καταγνύμενα καὶ βαρὺν
» ἦχον ἀποδιδόντα, καὶ τὴν ψυχὴν ἀπειρηκυῖαν ἐξι-
» πταμένην. Καὶ οὐκ ἦν οὐδὲν ἐν τῷ σώματι μέρος,
» ὅπερ ἔσχες ἂν διαγνῶναι, ὄψις δ' ἦν ἅπαντα μία.
» Μήποτε, Νύμφη, δύνασαι ἢ τολμᾷς τῷ ἐμῷ θα-
» νάτῳ τὸ σαυτῆς πάθος παρατιθέναι; Ἐγὼ γὰρ δὴ
» καὶ τὸν φωτὸς ἐστερημένον ἐθεασάμην χῶρον, καὶ
» τὸ σῶμα διεσπασμένον ἐν τοῖς τοῦ Φλεγέθοντος
» ὕδασιν ἔλουσα. Καὶ οὐκ ἂν μοι τὸ ζῆν ἀπεδόθη,
» ὅτι μὴ τῇ δραστηρίῳ τοῦ Ἀσκληπιοῦ θεραπείᾳ·
» ὅπερ ἐπειδὴ ταῖς ἰσχυραῖς τε βοτάναις καὶ τῷ
» Παιονείῳ φαρμάκῳ, τοῦ Πλούτωνος ἀγανακτοῦν-
» τος, ἀπέλαβον, αὐτίκα μοι ἡ Ἄρτεμις, ἵνα μὴ
» παῤῥησιαζόμενος τὸν τοῦ δώρου τοῦδε φθόνον αὐ-
» ξάνοιμι, πυκνὴν ἐπιπροσθεῖν νεφέλην ἐποίησεν. Ὡς
» ἂν δὲ καὶ ἀσφαλείας ἀπολαύοιμι, καὶ δυναίμην
» ἀβλαβῶς βλέπεσθαι, καὶ ἡλικίαν προσέθηκε, καὶ
» οὐδὲ γνώριμόν μοι κατέλιπε πρόσωπον. Καὶ δὴ καὶ
» ἐπὶ μακρὸν ἐδίστασε πότερόν μοι τὴν Κρήτην ἢ (2)
» τὴν Δῆλον ἔχειν παραδώσει, καὶ, τήν τε Κρήτην
» καὶ Δῆλον ἐάσασα, ἐνταῦθα μετέθηκεν. Καὶ ἅμα
» μοι τὴν κλῆσιν, ἥτις ἂν τοὺς ἵππους ἀναμιμνή-
» σκειν δύναιτο, ἀποθέσθαι κελεύει· καὶ, Σὺ, φησὶν,
» ὃς ἦσθα πρότερον Ἱππόλυτος, νῦν ὁ αὐτὸς Οὐίρ-

(1) Imo, διαρπασθέντα, vel aliud simile aliquid, ad latinorum ductum «Membra *rapi* partim».

(2) Codex, Κρήτην καὶ τὴν Δ.

» Θιος ἐσο. Ἐντεῦθεν τοδὶ τὸ νέμος οἰκῶ, τῶν ὑπο-
» δεεσ/έρων θεῶν εἷς, καὶ λανθάνω ὑπὸ τὸ τῆς δε-
» σποίνης Ἀρ/έμιδος ὄνομα (1), καὶ εὔνους ἐκείνη δια-
» τελῶ. »

Τῆς Αἰγερίας μέντοι τὸ πένθος πάθος θυερῖον κουφίζειν οὐ δύναμαι. Ἀλλ', ἐν τῷ ταπεινο/άτῳ τῆς τοῦ ὄρους χειμένη ῥίζης, εἰς δάκρυα τήκε/αι, μέχρις ἡ τοῦ Φοίβου σύγγονος, τῷ περὶς αὐτὴν ἐλέῳ καμ-φθεῖσα, πηγὴν ἐκ τοῦ σώμα/ος ἐκείνης ψυχρὰν ἐποίησε, καὶ τὰ μέλη περὶς ἀέννα/ον ὕδωρ ἀπελέ-πλυνε.

Τάς γε μὴν Νύμφας τοῦ περάγμα/ος ἐξέπληξε τὸ καινὸν, καὶ ὁ τῆς Ἀμα/όνος παῖς οὐκουν ἑτέρως ἀχανὴς ἑσ/ι τῷ θαύμα/ι, ἢ ἡνίκα ὁ Τυῤῥηνὸς ἀερ-της τὴν θεοπρόπον βῶλον ἐν μέσοις τοῖς ἀγερῖς ἐθεάσα/ο, αὐτομάτως μὲν τὰ πρῶτα καὶ μηδενὸς κινοῦντος κινουμένην, αὐτίκα δ' ἔπειτα μορφὴν ἀν-θρώπου μὲν δεχομένην, τὴν δὲ τῆς γῆς ἀπο/ιθε-μένην, καὶ τὸ περόσφα/ον σῶμα ταῖς με/λούσαις μοίραις ἀνοίγουσαν· Τάγην τοῦτον οἱ ἐγχώριοι περ-σηγόρευσαν, ὃς πρῶτος τὸ τῶν Τυύσκων ἐδίδαξε γένος τὰς με/λούσας ἀνοίγειν τύχας· ἢ ἡνίκα ὁ Ῥωμύ/ος τὸ ἐν τῷ Παλα/ίνῳ λόφῳ πεπηγὸς πό/ε δόρυ ἐξαπίνης θά/λον ἐώρακεν, ἐπ' ἀρ/ιφυοῦς ῥίζης ι/άμενον, ἀλλ' οὐκ ἐπὶ σιδηροῦ σί/ακος (2) ἔτι,

(1) *Nomine* male legit pro *numine*. Verte ergo, *σέβασμα, τὴν θείαν δύναμιν*. Atque mox non *accenseor* habuit, sed *adsentior*, vel *acceptior*.

(2) Codex, *σιδήρου σίγακος*. Quid sit *σίγαξ* explicabam olim ad Phil. Her. p. 601, ubi vitia sunt typorum vel calami lapsus, *σαυρώτηρ* et *σαυρώτειρ*. Adde Morel. ad Dion. Chrys. t. II, p. 452; Casaub. ad Sueton. Cæs. 62;

καὶ οὐκ ἔτι τυγχάνον ὅπλον, ἀλλ' ἀκαμπὲς δένδρον, καὶ τοῖς ἀποθαυμάζουσι σκιὰν ἀπροσδόκητον παρεχόμενον· ἢ ἡνίκα τὰ ἑαυτοῦ κέρα ἐν τοῖς ποταμίοις ὕδασιν εἶδεν ὁ Κίππος· εἶδε καὶ γὰρ, καὶ, ψευδῆ πίστιν ἐπὶ τῆς εἰκόνος εἶναι πειθόμενος, πολλάκις τῷ μετώπῳ τοὺς δακτύλους ἐπενεγκὼν, ἅπερ εἶδεν ἥψατο, καὶ, μηκέτι τοὺς ἑαυτοῦ μεμφόμενος ὀφθαλμοὺς, ἔστη οὑτωσί πως, ὡς ἀριστεὺς, τῶν πολεμίων ἡττημένων, παρῆν· καὶ, πρὸς οὐρανὸν τοὺς ὀφθαλμοὺς ὁμοῦ καὶ τὰ κέρα διάρας, « Εἴ τί ποτε » εἶπεν « ἐπισημαίνει τὸ τέρας τοῦτο, θεοὶ, εἰ μὲν » περιχαρὲς εἴη, περιχαρὲς ἔστω τῇ πατρίδι καὶ » τοῦ Κυρίνου τῷ δήμῳ· εἰ δ' ἀνιαρὸν, ἐμοῖ ἀπει- » λείσθω μόνον. » Καὶ, ἐκ χλωρῶν βώλων βωμὸν στήσας, εὐώδει πυρὶ τὸ κρεῖττον ἐξευμενίζεται, καὶ οἶνον ἐκ κύλικος σπένδει, καὶ, προβάτου τυθέντος, πυνθάνεται τί ποτ' ἂν αὐτῷ σημαίνει τὰ σπαίροντα ἔτι σπλάγχνα· ἅπερ ὁμοῦ τε ἐπεσκέψατο τοῦ Τυῤῥηνοῦ ἔθνους ὁ θυοσκόπος, καὶ μεγάλα μὲν πραγμάτων ἐπιχειρήματα εἶδεν ἐν τούτοις, δυσσύμβλητα μέντοι. Ὡς δὲ καὶ τοὺς ὀξυδερκεῖς ὀφθαλμοὺς ἐκ τῶν λοβῶν τοῦ θύματος πρὸς τὰ κέρα ᾖρε τοῦ Κίππου, « Βασιλεῦ » εἶπεν, « ὦ χαίροις! Καὶ γάρ » σοι, Κίππε, καὶ τοῖς σοῖς κέρασιν ὁ χῶρος οὗτος

Bernard. ad Nonn. t. I, p. 383; Gevart. Elect. I, c. I, ubi cerni potest τοῦ στύρακος imago; Walpol. in Museo Cant. t. I, p. 199; Jacobs. ad Anal. t. VII, p. 85, 92. Theophylactus Simoc. Epist. 71, quæ in editis Ῥόδωνος est Κυπαρίσσῳ, in codd. Regg. 2991 A, 3047, Ῥόδωνος Κυπαρίσσωνι: τοὺς Λευκανοὺς ἐπιέναι πάλιν φασί· καὶ, τὸ δρέπανον ἀποῤῥίψας, λόγχην καὶ σαρωτῆρα χαλκεύσομαι: iidem codd. σαυρωτῆρα, optime. Στύραξ et σαυρωτὴρ nomina sunt synonyma.

» καὶ τὰ τῶν Λαλίνων ὑπολαγήσεται τείχη. Ῥῆξον
» σὺ μόνον τὴν βεβδυλῆτα, καὶ ἀναπεπταμένας
» τὰς πύλας εἰσελθεῖν σπεῦσον. Οὕτω γὰρ αἱ Μοῖ-
» ραι κελεύουσι, καὶ, καλὰ τὴν πόλιν εἰσδεχθεὶς,
» τύραννος γενήσῃ, καὶ σὺν ἀσφαλείᾳ ἀναφαιρέτου
» ἀπολαύσεις τοῦ σκήπτρου. » Ὁ δὲ Κίππος εἰς
τοὐπίσω τὸν πόδα μεληνεγκε, καὶ βλοσυρωτὺς ἐκ τῶν
τῆς πόλεως πύργων ἀποστρέφων τοὺς ὀφθαλμούς,
« Πόρρω, ἆ! πόρρω » φησὶν, « οἱ θεοὶ, τὰ τοιαῦτα
» σύμβολα ἀποπέμψαιτε. Πολλῷ γὰρ ἂν ἐγωγε δι-
» καιότερον φυγὰς τὸν βίον ἀνύσαιμι ἢ τὸ Καπι-
» τώλιον ἐμὲ θεάσαιτο τύραννον. » Εἶπε, καὶ πα-
ραχρῆμα τὸν δῆμον καὶ τὸ βάρος συγκαλεῖται τῆς
γερουσίας, πρόσθεν μέντοι τὰ κέρα εἰρηνικῇ δάφνῃ
καλύψας. Καὶ, ἀναβάθρας πρὸς τῶν στρατιωτῶν
γενομένης (1), ἀναβὰς ἕστη, καὶ, τὸν ἀρχαῖον τρό-
πον ἐξιλασάμενος τοὺς θεούς, « Ἔστι τις » εἶπεν
« ἐνταῦθα, ὃν ὑμεῖς εἰ μὴ τῆς πόλεως ἀπελάσητε,
» γενήσεται τύραννος. Τοῦτον δ' ὅστις πολέ ἐστιν
» σημείῳ φράσω, καὶ οὐκ ὀνόματι· κέρα ἐπὶ τῷ
» μετώπῳ φέρει· ὃν ὑμῖν ὁ μάντις μηνύει, τὴν Ῥώ-
» μην εἰσελθόντα, νόμους ἐπιθήσειν δουλείους. Ἐκεῖ-
» νος μὲν οὖν εἰς τὰς πύλας ἀναπεπταμένας οἷός
» τ' ἦν εἰσαράξαι· ἀλλ' ἔγωγε ἀντέστην· εἰ καὶ τὰ
